Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

8vo.
B.S.
H.53.

# ΠΑΥΣΑΝΙΟΥ
## ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΙΣ

# PAUSANIAE
## GRAECIAE DESCRIPTIO

GRAECE

BIBLIOTHECA BODLEIANA

RECENSUIT, EX CODD. ET ALIUNDE
EMENDAVIT, EXPLANAVIT
JO. FRIDER. FACIUS.

TOMUS II.

LIPSIAE
in bibliopolio Schaeferiano
cIↃ IↃ cc xcv.

# ΠΑΥΣΑΝΙΟΥ

## ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

### ΗΛΙΑΚΩΝ Α.

# ELIACORUM PRIOR

SEU

# LIB. V.

## CAPUT I.

De quinque Peloponnesi partibus — Eleorum origine, primis regibus, et Endymione — Epeo et Epeis — Endymionis morte — Oenomao ac Pelope — Aetolo, unde Aetoli, et Eleo, unde Elei dicti — Augea et Hercule — Amarynceo et Actore ejusque filiis.

Ὅσοι δὲ Ἑλλήνων Πελοποννήσου πέντε εἶναι μοίρας [1]), καὶ οὐ πλείονάς φασιν, ἀνάγκη σφᾶς ὁμολογεῖν, ὡς ἐν τῇ Ἀρκάδων οἰκοῦσιν Ἠλεῖοι καὶ Ἀρκάδες, δευτέρα δὲ Ἀχαιῶν, τρεῖς δὲ ἐπὶ ταύταις αἱ Δωριέων. γένη δὲ οἰκεῖ Πελοπόννησον, Ἀρκάδες μὲν αὐτόχθονες, καὶ Ἀχαιοί. καὶ οἱ μὲν ὑπὸ Δωριέων ἐκ τῆς σφετέρας ἀνέστησαν· οὐ μέν τοι Πελοποννήσου γε [2]) ἐξεχώρησαν, ἀλλὰ ἐκβαλόντες Ἴωνας νέμον-



1) Ὅσοι δὲ — πέντε εἶναι μοίρας] Ex his est Thucydides, qui L. I. f. 10. de Lacedaemoniis: Πελοποννήσου τῶν πέντε τὰς δύο μοίρας νέμονται.

2) οὐ μέν τοι Πελοποννήσου γε] Post μέν τοι vulgatum fuit alterum γε, quod Codicis Vind. auctoritate delevi. Ad rem ipsam conf. L. VII. C. 1.

νέμονται τὸν Αἰγιαλὸν [3]) τὸ ἀρχαῖον, νῦν δὲ ἀπὸ τῶν Ἀχαιῶν τούτων καλούμενον. οἱ δὲ Ἀρκάδες διατελοῦσιν ἐξ ἀρχῆς καὶ ἐς τόδε τὴν ἑαυτῶν ἔχοντες. τὰ δὲ λοιπὰ ἐπηλύδων ἐςὶν ἀνθρώπων. Κορινθίων μὲν γὰρ οἱ νῦν νεώτατοι Πελοποννησίων εἰσὶ, καὶ σφίσιν ἀφ᾽ οὗ τὴν γῆν παρὰ βασιλέως [4]) ἔχουσιν, εἴκοσι ἔτη καὶ διακόσια τριῶν δέοντα ἦν ἐς ἐμέ. Δρύοπες δὲ καὶ Δωριεῖς, οἱ μὲν ἐκ Παρνασσοῦ, Δωριεῖς δὲ ἐκ γῆς οἱ τῆς Πελοποννήσου [5]) εἰσὶν ἀφιγμένοι. Τοὺς δὲ Ἠλείους ἴσμεν ἐκ Καλυδῶνος διαβεβηκότας καὶ Αἰτωλίας τῆς ἄλλης. τὰ δὲ ἔτι παλαιότερα ἐς αὐτοὺς τοιάδε εὕρισκον. βασιλεῦσαι πρῶτον ἐν τῇ γῇ ταύτῃ λέγουσιν Ἀέθλιον, παῖδα δὲ αὐτὸν Διός τε εἶναι καὶ Πρωτογενείας τῆς Δευκαλίωνος, Ἀεθλίου δὲ Ἐνδυμίωνα γενέσθαι. τούτου τοῦ Ἐνδυμίωνος [6]) Σελήνην φασὶν ἐρασθῆναι, καὶ ὡς θυγατέρες αὐτῷ γένοιντο ἐκ τῆς θεοῦ πεντήκοντα. οἱ δὲ δὴ μᾶλλόν τι εἰκότα λέγοντες, Ἐνδυμίωνι λαβόντι Ἀςεροδίαν γυναῖκα· οἱ δὲ τὴν Ἰτώνου τοῦ Ἀμφικτύονος Χρομίαν· ἄλλοι

3) τὸν Αἰγιαλὸν] De hoc vid. Pauſ. L. VII. C. I. init. et Strab. L. VIII. p. 587., et de pluribus Aegialis Stephan. Byzant. h. v.

4) παρὰ βασιλέως etc.] *Iulio Caeſare.* Vid. Dio Caſſ. Hiſt. rom. L. XLIII. ſ. 50. et ibi Reimar.

5) ἐκ γῆς οἱ τῆς Πελοποννήσου] Haec mendoſa eſſe, non vocula οἱ ſolum declarat, ſed illud etiam, quod Dorienſes non ex Peloponneſo in Peloponneſum venire potuerunt. Quare *Camerar.*, cum quo *Sylb.* et *Kuhn.* ſentiunt, recte emendare videtur ἐκ τῆς Οἴτης ἐς Πελοπόννησον. Ex iſta enim regione Dorienſes in Peloponneſum veniſſe, cum ex Strabone conſtat L. IX. p. 654., tum ex aliis; de quo vid. Heyne V. C. ad Apollodor. p. 98. et 477.

6) τούτου τοῦ Ἐνδυμίωνος etc.] De variis hujus fabulae modis vid. Schol. ad Apollon. Rhod. L. IV. v. 57. Conf. Heyne V. C. ad Apollodor. p. 105. ſq. Inde Endymionis uxorum numero addenda *Seïs* (vel Neïs) vel *Iphianaſſa.*

ἄλλοι δὲ Ὑπερίππην τὴν Ἀρκάδος· γενέσθαι δ' οὖν
φασιν αὐτῷ Παίονα καὶ Ἐπειόν τε καὶ Αἰτωλὸν, καὶ
θυγατέρα ἐπ' αὐτοῖς Εὐρυκύδαν [7]). Ἔθηκε δὲ καὶ 3
ἐν Ὀλυμπίᾳ δρόμου [8]) τοῖς παισὶν ἀγῶνα Ἐνδυμίων
ὑπὲρ τῆς ἀρχῆς, καὶ ἐνίκησε, καὶ ἔσχε τὴν βασι-
λείαν Ἐπειός· καὶ Ἐπειοὶ πρῶτον τότε ὧν ἦρχεν,
ὠνομάσθησαν. τῶν δὲ ἀδελφῶν οἱ, τὸν μὲν [9]) κατα-
μεῖναί φασιν αὐτοῦ, Παίονα δὲ ἀχθόμενον τῇ ἥττῃ,
φυγεῖν ὡς πορρωτάτω, καὶ τὴν ὑπὲρ Ἀξίου ποταμοῦ
χώραν ἀπ' αὐτοῦ Παιονίαν ὀνομασθῆναι. Τὰ δὲ 4
ἐς τὴν Ἐνδυμίωνος τελευτὴν, οὐ κατὰ τὰ αὐτὰ Ἡρα-
κλεῶταί τε οἱ πρὸς Μιλήτῳ [10]), καὶ Ἠλεῖοι λέγουσιν,
ἀλλὰ Ἠλεῖοι μὲν ἀποφαίνουσιν Ἐνδυμίωνος μνῆμα,
Ἡρακλεῶται δὲ ἐς Λάτμον τὸ ὄρος ἀποχωρῆσαί
φασιν αὐτόν· καὶ ἄδυτον Ἐνδυμίωνός ἐστιν ἐν τῷ
Λάτμῳ. Ἐπειῷ δὲ γήμαντι Ἀναξιρόην τὴν Κορωνοῦ,
θυγάτηρ μὲν Ὑρμίνα, ἄρσεν δὲ οὐκ ἐγένετο [11]) αὐτῷ
γένος. Καὶ τάδε ἄλλα συνέβη κατ' Ἐπειὸν βασι- 5
λεύοντα. Οἰνόμαος ὁ Ἀλξίωνος, (Ἄρεως δὲ, καθὰ
ποιηταί τε ἐπεφήμισαν, καὶ τῶν πολλῶν ἐστιν ἐς αὐτὸν
λόγος) οὗτος δυναστεύων περὶ τὴν Πισαίαν καλουμέ-
νην ὁ Οἰνόμαος, ἐπαύθη τῆς ἀρχῆς διαβάντος Πέλο-



7) Εὐρυκύδαν] Codd. Vind. et Mosc. exhibent Εὐρυκοίδαν.

8) δρόμου] Uterque Cod. omittit hanc vocem. Sed C. 8. idem refertur his verbis: καὶ δρόμου τ. ὑ. ἆθλα ἐ. Ὀ. τὴν βασιλείαν ἔθηκε.

9) οἱ, τὸν μὲν] Cod. Vind. pro his dat Αἰτωλὸν μὲν, quae genuina mihi esse videtur lectio. Mox pro τῇ ἥττῃ in utroque Cod. est τῇ ἥσσῃ.

10) Ἡρακλεῶται — πρὸς Μιλήτῳ] De hac *Heraclea*, Cariae oppido, vid. Strab. L. XIV. p. 942. 943., ubi Endymionis sepulcrum in spelunca memoratur.

11) ἄρσεν δὲ οὐκ ἐγένετο] Aliter Eustath. ad Il. β. v. 616., qui Alectora filium Epei memorat.

πος τοῦ Λυδοῦ [12]) ἐκ τῆς Ἀσίας. Πέλοψ δὲ ἀποθα-
νόντος Οἰνομάου τήν τε Πισαίαν ἔσχε, καὶ Ὀλυμπίαν
ἀποτεμόμενος τῆς Ἐπειοῦ χώρας ὅμορον οὖσαν τῇ
Πισαίᾳ. Ἑρμοῦ τε ἐν Πελοποννήσῳ ναὸν ἱδρύσασθαι,
καὶ θῦσαι τῷ θεῷ Πέλοπα ἔλεγον οἱ Ἠλεῖοι πρῶτον,
ἀποτρεπόμενον τὸ ἐπὶ τῷ Μυρτίλου θανάτῳ μήνιμα
6 ἐκ τοῦ θεοῦ. Αἰτωλῷ δὲ μετὰ Ἐπειὸν βασιλεύσαντι,
συνέπεσεν ἐκ Πελοποννήσου φυγεῖν, ὅτι αὐτὸν οἱ
Ἄπιδος παῖδες ἐφ' αἵματι ἀκουσίῳ δίκῃ εἷλον [13]).
Ἆπιν γὰρ τὸν Ἰάσονος ἐκ Παλλαντίου τοῦ Ἀρκάδων
ἀπέκτεινεν Αἰτωλὸς, ἐπελάσας τὸ ἅρμα τεθέντων
ἐπὶ Ἀζᾶνι ἄθλων [14]). ἀπὸ μὲν οὖν Αἰτωλοῦ τοῦ
Ἐνδυμίωνος οἱ περὶ τὸν Ἀχελῷον οἰκοῦντες ἐκλήθησαν,
φυγόντος ἐς ταύτην τὴν ἤπειρον. τὴν δὲ Ἐπειῶν
ἔσχεν ἀρχὴν Ἠλεῖος Εὐρυκύδας τε τῆς Ἐνδυμίωνος,
καὶ (ὅτῳ πιστά) πατρὸς ὢν Ποσειδῶνος. καὶ τὸ
ὄνομα οἱ ἄνθρωποι τὸ νῦν ἀντὶ Ἐπειῶν ἀπὸ τοῦ Ἠλείου
7 μεταβεβλήκασιν. Ἠλείου δὲ ἦν Αὐγέας [15]). οἱ δὲ
ἀποσεμνύνοντες τὰ ἐς αὐτὸν, παρατρέψαντες τοῦ
Ἠλείου τὸ ὄνομα, Ἡλίου φασὶν Αὐγέαν παῖδα εἶναι.
τούτῳ βοῦς τῷ Αὐγέᾳ καὶ αἰπόλια τοσαῦτα ἐγένετο,
ὡς καὶ τῆς χώρας αὐτῷ τὰ πολλὰ ἤδη διατελεῖν
ἀργὰ ὄντα ὑπὸ τῶν βοσκημάτων τῆς κόπρου. Ἡρα-
κλέα

12) τοῦ Λυδοῦ] V. Pindar. Olymp. Od. I. v. 37., et ibi Schol.

13) δίκῃ εἷλον] *judicio oppresserunt.* Uterque Cod. δίκην, quod propter antecedens αὐτὸν hic locum habere nequit, licet alias dictio δίκην ἑλεῖν obvia sit. Aetolum a Salmoneo expulsum esse, Strabo refert ex Ephoro L. VIII. p. 547.

14) τεθ. ἐπὶ Ἀζᾶνι ἄθλων] Ludi funebres sunt intelligendi, in honorem Azanis filii Arcadis editi, de quibus v. L. VIII. C. 4.

15) Ἠλείου δὲ ἦν Αὐγέας] De hoc vid. Heyne V. C. ad Apollodor. p. 360. 361.

κλέα οὖν, εἴτε ἐπὶ μοίρᾳ τῆς Ἠλείας, εἴτε ἐφ᾽ ὅτῳ δὴ καὶ ἄλλῳ [16]) μισθῷ, πείθει οἱ καθῆραι τῆς κόπρου τὴν γῆν. καὶ ὁ μὲν καὶ τοῦτο ἐξειργάσατο ἐκτρέψας τοῦ Μινυηΐου [17]) τὸ ῥεῦμα ἐς τὴν κόπρον. Αὐγέας δὲ, ὅτι τῷ Ἡρακλεῖ σοφίᾳ πλέον καὶ οὐ σὺν πόνῳ τὸ ἔργον ἤνυστο, αὐτός τε ἀποδοῦναί οἱ τὸν μισθὸν ἀπηξίου, καὶ τῶν παίδων τῶν ἀρσένων τὸν πρεσβύτερον Φυλέα ἐξέβαλεν, ἀντειπόντα ὡς οὐ δίκαια ποιοῖτο πρὸς ἄνδρα εὐεργέτην. αὐτός τε τὰ ἄλλα παρεσκευάζετο ὡς τὸν Ἡρακλέα ἀμυνούμενος, ἢν ἐπὶ τὴν Ἦλιν στρατεύηται, καὶ τοὺς παῖδας τοὺς Ἄκτορος [18]) καὶ Ἀμαρυγκέα ἐπηγάγετο ἐς φιλίαν.
Ἦν δὲ ὁ Ἀμαρυγκεὺς, ἄλλως μὲν ἀγαθὸς τὰ ἐς τὸν 8
πόλεμον· ὁ δέ οἱ πατὴρ Πυττίος Θεσσαλὸς [19]) τὰ ἄνωθεν ἦν, καὶ ἐς τὴν Ἠλείαν ἀφίκετο ἐκ Θεσσαλίας. Ἀμαρυγκεῖ μὲν δὴ καὶ ἀρχῆς ἐν Ἠλείᾳ μετέδωκεν ὁ Αὐγέας. Ἄκτορι δὲ καὶ τοῖς παισὶ γένος τε ἦν ἐπιχώριον, βασιλείας τε μετῆν σφίσιν. Ἄκτωρ γὰρ πατρὸς μὲν Φόρβαντος [20]) ἦν τοῦ Λαπίθου,

 μητρὸς

16) δὴ καὶ ἄλλῳ] In Cod. Vind. abest καί.

17) Μινυηΐου] Strab. L. VIII. p. 533., Diodor. Sic. L. IV. s. 13. et Apollodor. L. II. C. 5. 5. hunc fluvium Πηνειὸν vocant. Inde Wesseling. ad Diodor. l. c. etiam in Pausania Πηνειοῦ scribendum censet. Uterque Codex hic exhibet Μηνίου, et similiter Πηνειοῦ et Μηνίου confusa in Theocr. Id. XXV. v. 15. De *Minyëo* fluvio, postea *Anigro* dicto, vid. Strab. L. VIII. p. 533.

18) τοὺς παῖδας τ. Ἄκτορος] Eurytus et Cteatus isti sunt, de quibus vid. Apollod. L. II. C. 7. 2. et ibi Heyne V. C. p. 450. *Molionidae* dicti fuere a matre *Molione*, vid. C. 2. in fine, L. VIII. C. 14. et Perizon. ad Aelian. V. H. L. IV. C. 1.

19) Πυττίος Θεσσαλὸς] Uterque Cod. Πυττ. ὁ Θεσσαλός. Male.

20) Ἄκτωρ γ. π. μ. Φόρβαντος] In Apollod. L. II. C. 7. 2. hic *Actor* est Augeae frater; sic vero Elei filius esset. De pluri-

μητρὸς δὲ Ὑρμίνης τῆς Ἐπειοῦ. καὶ ᾤκισεν [21]) ἀπ' αὐτῆς Ἄκτωρ πόλιν Ὑρμίναν ἐν τῇ Ἠλείᾳ.

## CAPUT II.

De Herculis expeditione adverſus Augeam et Actoris filiorum caede — Elei huius caedis poenas expetunt ab Argivis — Molione Eleos ab Iſthmicis ludis diris arcet — de cauſis, cur Elei Iſthmicos ludos non frequentaverint, duplex narratio.

Τῷ δὲ Ἡρακλεῖ πρὸς τὸν Αὐγέαν πολεμοῦντι, οὐδὲν ὑπῆρχεν ἀποδείκνυσθαι λαμπρόν. ἅτε γὰρ καὶ τόλμῃ καὶ ταῖς ἡλικίαις τοῦ Ἄκτορος τῶν παίδων ἀκμαζόντων, ἐτρέπεθ' ὑπ' αὐτῶν ἀεὶ τὸ συμμαχικὸν τοῦ Ἡρακλέους· ἐς ὃ Ἰσθμικὰς σπονδὰς Κορινθίων ἐπαγγειλάντων, καὶ θεωρῶν ἐς τὸν ἀγῶνα ἐρχομένων τῶν υἱῶν τοῦ Ἄκτορος, ἀπέκτεινε σφᾶς
2 λοχήσας Ἡρακλῆς ἐν Κλεωναῖς. Ἀφανοῦς δὲ ὄντος τοῦ εἰργασμένου τὸν φόνον, μάλιστα ἐποιεῖτο ἡ Μολιόνη σπουδὴν τῶν παίδων τὸν αὐτόχειρα ἐξευρεῖν. ὡς δὲ ἔμαθεν, ἐνταῦθα οἱ Ἠλεῖοι δίκας τοῦ φόνου παρὰ Ἀργείων ἀπῄτουν· τηνικαῦτα γὰρ ἔτυχεν Ἡρακλῆς ἐν Τίρυνθι οἰκῶν. μὴ διδόντων δέ σφισι δίκας τῶν Ἀργείων, οἱ δὲ δεύτερα ἐνέκειντο, Κορινθίων [1]) ἔκσπονδον τὸ Ἀργολικὸν πᾶν τοῦ ἀγῶνος γενέ-

pluribus Actoribus confuſis vid. Heyne V. C. ad Apollodor. p. 100. et 786., quibus addendus *Actor* Axei filius, Pauſan. L. IX. C. 37. in fine.

21) ᾤκισεν] Dedi ex Cod. Moſc. et *Amaſaei* interpretatione pro perperam vulgata ᾤκησεν.

1) Κορινθίων] *Amaſ.* legiſſe videtur Κορινθίοις, interpretatus: *a Corinthiis contenderunt.* Nihil vero mutandum, ſed Κορινθίων jungendum eſt verbis τοῦ ἀγῶνος — τοῦ Ἰσθμ.

γενέσθαι τοῦ Ἰσθμικοῦ. Ὡς δὲ ἡμάρτανον καὶ 3
τούτου, Μολιόνην θέσθαι φασὶν ἐπὶ τοῖς πολίταις
κατάρας, ἢν Ἰσθμίων μὴ θελήσωσιν [2]) εἴργεσθαι.
Φυλάσσουσι δὲ τῆς Μολιόνης καὶ ἐς τόδε ἔτι τὰς
κατάρας, καὶ ὅσοι τὰ σώματα ἀσκοῦσιν Ἠλείων,
οὔ σφισιν ἐς τὸν ἀγῶνα ἐσελθεῖν καθέστηκεν Ἰσθμι-
κόν. Διάφοροι δὲ τῶν εἰρημένων δύο εἰσὶ λόγοι [3]). 4
τούτων δὲ ὁ μὲν Κύψελον τὸν τυραννήσαντα Κορινθίων
φησὶν ἄγαλμα ἀναθεῖναι τῷ Διῒ χρυσοῦν ἐς Ὀλυμ-
πίαν· προαποθανόντος δὲ τοῦ Κυψέλου πρὶν ἐπὶ τῷ
ἀναθήματι τὸ ὄνομα ἐπιγράψαι τὸ αὑτοῦ, τοὺς Κο-
ρινθίους παρὰ Ἠλείων αἰτεῖν, δοῦναι δὲ [4]) σφίσιν
ἐπιγράψαι δημοσίᾳ τὴν πόλιν ἐπὶ τῷ ἀναθήματι,
οὐ τυχόντας δὲ, ὀργῇ τε ἐς τοὺς Ἠλείους χρῆσθαι,
καὶ προειπεῖν σφισιν Ἰσθμίων εἴργεσθαι. πῶς ἂν
οὖν Κορινθίοις αὐτοῖς τοῦ ἀγῶνος μετῆν τοῦ ἐν Ὀλυμ-
πίᾳ, εἰ δὴ ἄκοντάς γε Ἠλείους ἀπὸ τῶν Ἰσθμίων
εἶργον; ὁ δὲ ἕτερος ἔχει τῶν λόγων, Προλάῳ [5]) παῖ-
δας ἀνδρὶ παρὰ Ἠλείοις δοκίμῳ, καὶ τῇ γυναικὶ
αὐτοῦ Λυσίππῃ, Φίλανθον καὶ Λάμπον γενέσθαι·
τούτους ἐπὶ τὸν ἀγῶνα ἐλθόντας τῶν Ἰσθμίων,
παγκρατιάσοντας [6]) ἐν παισὶ, τὸν δὲ αὐτὸν παλαί-
σοντας [7]) ὑπὸ τῶν ἀνταγωνιστῶν, πρὶν ἢ ἐς τὸν ἀγῶνα



2) θελήσωσιν] Uterque Codex θέλωσιν.

3) δύο εἰσὶ λόγοι] Uterque Cod. mendose exhibet δύω εἰσὶν ἄλογοι λόγοι. Alter tamen Liber Vindob. (51.) genuinam lectionem servasse videtur, δύω εἰσὶν ἄλλοι λόγοι.

4) δοῦναι δὲ] Forte δὲ, quod alieno loco est, delendum sit.

5) Προλάῳ] Cod. Mosc. Προμάῳ.

6) παγκρατιάσοντας] Sic cum *Kuhnio* rescribere non dubitavi pro vulgatis παγκρατίας ὄντας. Similiter L. VI. C. 14. παγκρατιάζοντι (vel παγκρατιάσοντι) ἐν παισίν. *Sylb.* conjecerat παγκρατιαστὰς ὄντας.

7) τὸν δὲ αὐτὸν παλαίσοντας] Si haec sana, τὸν αὐτὸν positum

ἐσελθεῖν, ἀποπνιγῆναι σφᾶς, ἢ καὶ ἄλλῳ τῳ τρόπῳ διαχρηθῆναι[8]. καὶ οὕτω τὰς ἐπὶ τοῖς Ἠλείοις, ἣν Ἰσθμίων μὴ ἑκόντες εἴργωνται, Λυσίππης ἀρὰς εἶναι. δείκνυται δὲ καὶ ὅδε εὐήθης ὢν ὁ λόγος. Τίμωνι γὰρ ἀνδρὶ Ἠλείῳ γεγόνασι πεντάθλου νῖκαι τῶν ἐν Ἕλλησιν ἀγώνων, καί οἱ καὶ εἰκών ἐστιν ἐν Ὀλυμπίᾳ, καὶ ἐλεγεῖον, στεφάνους τε ὁπόσους ἀνείλετο ὁ Τίμων λέγον, καὶ δὴ καὶ αἰτίαν δι' ἥντινα Ἰσθμικῆς οὐ μέτεστιν αὐτῷ νίκης. καὶ ἔχει τὰ ἐς τοῦτο τὸ ἐλεγεῖον·

Σισυφίαν δὲ μολεῖν χθόν' ἐκώλυεν ἀνέρα νίκη[9])
Ἀμφὶ Μολιονιδᾶν οὐλομένῳ θανάτῳ.

τάδε μὲν ἡμῖν ἐς τοσοῦτον ἐξετάσθω.

## CAPUT III.

Hercules cum ſociis Elidem capit — Eleam terram Phyleo tradit — Eleorum feminae quam ob cauſam Minervae cognomine Matri templum dedicaverint — de Eleorum regibus poſt Augeae mortem — Dorienſes Eleo regnante in Peloponneſum redeunt Oxylo duce.

Ἡρακλῆς δὲ εἷλεν ὕστερον καὶ ἐπόρθησεν Ἦλιν, στρατιὰν παρά τε Ἀργείων καὶ ἐκ Θηβῶν ἀθροίσας καὶ Ἀρκά-

tum eſſet pro κατὰ τὸν αὐτόν, ſcil. ἀγῶνα. Sed *Kuhn.* haud abſurde ſcribendum eſſe ſuſpicatur τὸν δὲ αὐτῶν καὶ παλαίσαντα. Quae emendatio quodammodo firmari poſſit Codicis Vindob. lectione παλαίσαντα.

8) ἄλλῳ τῳ τρόπῳ διαχρηθῆναι] Scripſi τῳ (τινὶ) pro vulgato τῷ. Pro διαχρηθῆναι Cod. Vind. exhibet διαχρησθῆναι, et Cod. Moſc. διαχρῆσθαι.

9) νίκη] *Amaſ.* forte δίκη legit, vertens *dira poena.* *Sylb.* praefert νείκη, *contentiones, diſſidia.* Pro οὐλομένῳ *Goldhagen* in not. ad verſ. germ. mavult οὐλομένων vel οὐλομένοιν.

Ἀρκάδας. ἤμυναν δὲ καὶ Ἠλείοις οἱ ἐκ Πύλου τοῦ
ἐν τῇ Ἠλείᾳ καὶ οἱ Πισαῖοι. καὶ τοὺς μὲν ἐτιμωρή-
σατο αὐτῶν ὁ Ἡρακλῆς· τῆς δὲ ἐπὶ τοὺς Πισαίους
στρατείας αὐτὸν χρησμὸς ἐπέσχεν ἐκ Δελφῶν ἔχων
οὕτω·

Πατρὶ μέλει Πίσης, Πυθοῦς δέ μοι ἐν γυάλοιο[1]).

τοῦτο μὲν δὴ σωτηρία Πισαίοις τὸ μάντευμα ἐγένετο.
Φυλεῖ δὲ ὁ Ἡρακλῆς τήν τε χώραν ἐνέδωκε τὴν 2
Ἠλείαν[2]) καὶ τἄλλα αἰδοῖ τοῦ Φυλέως μᾶλλον ἢ
αὐτὸς ἑκουσίως· τά τε αἰχμάλωτα ἀφίησιν[3]) ἔχειν
αὐτῷ, καὶ Αὐγέαν μὴ ὑποσχεῖν δίκην. Τῶν δὲ 3
Ἠλείων αἱ γυναῖκες, ἅτε τῶν ἐν ἡλικίᾳ σφίσιν ἠρη-
μωμένης τῆς χώρας, εὔξασθαι τῇ Ἀθηνᾷ λέγονται
κυῆσαι παραυτίκα, ἐπειδὰν μιχθῶσι τοῖς ἀνδράσι.
καὶ ἥ τε εὐχὴ σφίσιν ἐτελέσθη, καὶ Ἀθηνᾶς ἱερὸν
ἐπίκλησιν μητρὸς ἱδρύσαντο. ὑπερησθέντες δὲ ἀμ-
φότεροι τῇ μίξει καὶ αἱ γυναῖκες καὶ οἱ ἄνδρες, ἔνθα
συνεγένοντο ἀλλήλοις πρῶτον, αὐτό τε τὸ χωρίον
Βαδὺ[4]) ὀνομάζουσι, καὶ ποταμὸν τὸν ῥέοντα ἐνταῦθα
ὕδωρ

1) ἐν γυάλοιο] Cod. Vind. (23.) mendose ἐγγυάλυξον et alter (90.) ἐγγυάλιξεν. Genuinae autem lectionis vestigia mihi exstare videntur in Cod. Mosc. exhibente ἐγγυάλοισι. Inde scribendum censeo ἐν γυάλοισι, *in convallibus*. Hesych. γύαλον, κοῖλον — τιθέασι δὲ καὶ ἐπὶ τοῦ κοιλώματος. Hesiod. Theog. v. 499. γυάλοις ὑπὸ Παρνησσοῖο. Conf. Strab. L. IX. p. 639. 640. *Sylb.* et *Kuhn.* ἐγγυάλοιο, *cavae Pythus*, emendant.

2) ἐνέδωκε τὴν Ἠλείαν] Rescripsi Ἠλείαν ex utroque Codice pro vitioso Ἠλαίαν. Pro ἐνέδωκε alter Cod. Vind. haud male dat ἀνέδωκε.

3) ἀφίησιν] Uterque Codex ἐφίησιν.

4) Βαδὺ] Pro ἁδὺ (ἡδὺ), digammate praemisso, quod omnibus vocalibus, praecipue asperatis, praefigebatur, et saepius in β transibat. Sic βὴρ pro ἦρ, Βῖρις pro Ἶρις. Vid. Heyne *Antiqu. Aufs. 1stes St.* p. 65. d. et Dawes Misc. crit. p. 119.

4 ὕδωρ βαθὺ ἐπιχωρίῳ φωνῇ. Φυλέως δὲ, ὡς τὰ ἐν τῇ Ἤλιδι κατεστήσατο, αὖθις ἐς Δουλίχιον ἀποχωρήσαντος, Αὐγέαν μὲν τὸ χρεὼν ἐπέλαβε προήκοντα ἐς γῆρας· βασιλείαν δὲ τὴν Ἠλείων Ἀγασθένης ἔσχεν ὁ Αὐγέου, καὶ Ἀμφίμαχός τε καὶ Θάλπιος. Ἄκτορος γὰρ τοῖς παισὶν ἀδελφὰς ἐσαγαγομένοις διδύμας ἐς τὸν οἶκον, Δεξαμενοῦ θυγατέρας ἐν Ὠλένῳ βασιλεύοντος, τῷ μὲν ἐκ Θηρονίκης Ἀμφίμαχος, Εὐρύτῳ δὲ ἐκ Θηραφόνης[5]) ἐγεγόνει Θάλπιος. οὐ μὴν οὐδὲ Ἀμαρυγκεὺς οὔτε αὐτὸς διέμεινεν ἰδιωτεύων, οὔτε Διώρης Ἀμαρυγκέως. ἃ δὴ καὶ Ὅμηρος[6]) παρεδήλωσεν ἐν καταλόγῳ τῶν Ἠλείων, τὸν μὲν σύμπαντα αὐτῶν στόλον ποιήσας τεσσαράκοντα εἶναι νεῶν, τούτων δὲ τὰς ἡμισείας ὑπὸ Ἀμφιμάχῳ τετάχθαι καὶ Θαλπίῳ· τῶν λοιπῶν δὲ εἴκοσι, δέκα μὲν ναυσὶν Διώρη τὸν Ἀμαρυγκέως ἡγεῖσθαι, τοσαύταις δὲ ἑτέραις Πολύξενον τὸν Ἀγασθένους. Πολυξένῳ δὲ ἀνασωθέντι ἐκ Τροίας ἐγένετο υἱὸς Ἀμφίμαχος (τὸ δὲ ὄνομα τῷ παιδὶ ἔθετο ὁ Πολύξενος κατὰ φιλίαν, ἐμοὶ δοκεῖν, πρὸς Ἀμφίμαχον τὸν Κτεάτου τελευτήσαντα ἐν Ἰλίῳ), Ἀμφιμάχου δὲ Ἠλεῖος.

5 Καὶ ἐπὶ Ἠλείου βασιλεύοντος ἐν Ἤλιδι, τηνικαῦτα ὁ Δωριέων στόλος σὺν τοῖς Ἀριστομάχου παισὶν ἠθροίζετο ἐπὶ καθόδῳ ἐς Πελοπόννησον. γίγνεται δὲ τοῖς βασιλεῦσιν αὐτῶν λόγιον τόδε[7]), ἡγεμόνα τῆς καθόδου ποιεῖσθαι τὸν τριόφθαλμον. ἀποροῦσι δέ σφισιν

σιν

5) Θηραφόνης] Uterque Codex Θηρεφόνης, et paullo infra pro Διώρης Ἀμαρ. Cod. Vind. Διώρης ὁ Ἀμαρ.

6) Ὅμηρος etc.] Vid. Il. β. v. 620. sq.

7) γίγνεται—λόγιον τόδε etc.] De hoc conf. Apollodor. L. II. C. 7. 3. et ibi Heyne V. C. Paullo infra pro ἐθέλει Cod. Mosc. ἐθέλοι.

σιν, ὅ τι ὁ χρησμὸς ἐθέλει, συνέτυχεν ἐλαύνων ἀνὴρ ἡμίονον, ὁ δὲ ἕτερος διέφθαρτο τῷ ἡμιόνῳ τῶν ὀφθαλμῶν. Κρεσφόντου δὲ συμφρονήσαντος, ὡς ἐς τοῦτον τὸν ἄνδρα ἔχοι τὸ μάντευμα, οὕτως ᾠκειώσαντο αὐτὸν οἱ Δωριεῖς. ὁ δὲ σφᾶς ναυσὶν ἐκέλευεν ἐς Πελοπόννησον κατιέναι, μηδὲ στρατῷ πεζῷ διὰ Ἰσθμοῦ πειρᾶσθαι. ταῦτα δὲ δὴ παρήνεσε, καὶ ἅμα τὸν ἐς Μολύκριον [8]) ἐκ Ναυπάκτου πλοῦν καθηγήσατο αὐτοῖς· οἱ δὲ ἀντὶ τούτου δεηθέντι τὴν Ἠλείαν γῆν συνέθεντο αὐτῷ δώσειν [9]). ὁ δὲ ἀνὴρ ἦν Ὄξυλος Αἵμονος τοῦ Θόαντος. Θόας δὲ ἦν οὗτος, ὃς καὶ τοῖς Ἀτρέως παισὶν ἀρχὴν συγκαθεῖλε τὴν Πριάμου. γενεαὶ δὲ ἀπὸ Θόαντος ἀνήκουσιν ἓξ ἐς Αἰτωλὸν τὸν Ἐνδυμίωνος. ἦσαν δὲ Ἡρακλεῖδαι [10]) συγγενεῖς καὶ ἄλλως τοῖς ἐν Αἰτωλίᾳ βασιλεῦσι, καὶ ἀδελφαὶ Θόαντι τῷ Ἀνδραίμονος, καὶ Ὕλλῳ τοῦ Ἡρακλέους ἦσαν αἱ μητέρες. συνεπεπτώκει δὲ τῷ Ὀξύλῳ φυγάδι ἐξ Αἰτωλίας εἶναι. δισκεύοντα γάρ φασιν ἁμαρτεῖν αὐτὸν, καὶ ἐξεργάσασθαι φόνον ἀκούσιον· τὸν δὲ ἀποθανόντα ὑπὸ τοῦ δίσκου, τὸν ἀδελφὸν εἶναι τοῦ Ὀξύλου Θέρμιον· οἱ δὲ, Ἀλκιδόκον τοῦ Σκοπίου.

8) Μολύκριον] Promontorium Aetoliae, ab oppido Μολυκρεία dictum τὸ Ῥίον τὸ Μολύκριον, et ob alterum Ῥίον oppositum Ἀντίρριον. Vid. Thucyd. L. II. ſ. 86. et Strab. L. VIII. p. 517. ibique Caſaub.

9) δώσειν] Uterque Cod. δοῦναι, et Moſc. in margine γρ. δώσειν.

10) δὲ Ἡρακλεῖδαι] Cod. Moſc. οἱ Ἡρακλεῖδαι. Paullo infra pro Ὕλλῳ uterque Cod. Ὕλλου.

CAPUT

## CAPUT IV.

De Oxylo alia narratio — varia, quae ad Oxylum pertinent — post Oxylum Laïas regnum obtinet — dein Iphitus, qui Olympicum certamen restituit — de bellis, quibus interfuerunt Elei.

Λέγεται δὲ καὶ [1]) ἄλλο ἐπὶ τῷ Ὀξύλῳ τοιόνδε, ὡς τοὺς παῖδας ὑποπτεύσειε τοῦ Ἀριστομάχου, μὴ τὴν Ἠλείαν τε ἰδόντες ἀγαθὴν οὖσαν καὶ ἐξειργασμένην διὰ πάσης, οὐκ ἐθελήσωσιν ἔτι αὐτῷ διδόναι τὴν γῆν· καὶ τοῦδε εἵνεκα διὰ τῶν Ἀρκάδων, καὶ οὐ διὰ τῆς Ἠλείας, τοῖς Δωριεῦσιν ἡγήσατο. Ὀξύλῳ δὲ σπεύσαντι ἀμαχεὶ λαβεῖν τὴν Ἠλείων ἀρχὴν, Δῖος οὐκ εἶκε· πρόκλησιν δὲ ἐποιεῖτο, μὴ σφᾶς [2]) παρασκευῇ τῇ πάσῃ διακινδυνεῦσαι, προκριθῆναι δὲ ἀφ᾽ ἑκατέρων στρατιώτην ἕνα ἐς τὴν μάχην. καί πως συνήρεσε ταῦτα ἀμφοτέροις· οἱ δὲ ἐς τὸ ἔργον προταχθέντες [3]), Δέγμενός τε Ἠλεῖος ἦν τοξότης, καὶ παρὰ τῶν Αἰτωλῶν Πυραίχμης σφενδόνην δεδιδαγμένος. κρατήσαντος δὲ τοῦ Πυραίχμου, τήν τε βασιλείαν ἔσχεν Ὄξυλος, καὶ Ἐπειοὺς τοὺς ἀρχαίους τὰ μὲν ἄλλα εἴασεν ἐπὶ τῆς αὐτῶν [4]) μένειν, συνοίκους δὲ σφίσι τοὺς Αἰτωλοὺς ἐπὶ ἀναδασμῷ τῆς χώρας ἐπεισήγαγε. καὶ Διΐ τε ἀπένειμε γέρα, καὶ ἥρωσι τοῖς

1) Λέγεται δὲ καὶ] Ex utroque Codice restitui δέ.

2) μὴ σφᾶς] Duo Codic. Vind. et Mosc. exhibent καὶ σφᾶς, et paullo infra Cod. Vind. προκληθῆναι pro προκριθῆναι.

3) προταχθέντες] Cod. Vind. προσταχθέντες. Rem ipsam pluribus quoque habet Strabo L. VIII p. 548.

4) ἐπὶ τῆς αὐτῶν] Unus Codic. Vind. (90.) ἐπὶ τοῖς αὐτῶν. Mox pro Διΐ Cod. Mosc. exhibet Δίῳ.

τοῖς τε ἄλλοις κατὰ τὰ ἀρχαῖα ἐφύλαξε τὰς τιμὰς,
καὶ Αὐγέᾳ τὰ ἐς τὸν ἐναγισμὸν ἔτι καὶ ἐς ἡμᾶς αὐτῷ
καθεστηκότα. λέγεται δὲ ὡς καὶ τοὺς ἀνθρώπους ἐκ
τῶν κωμῶν ὅσοι τοῦ τείχους οὐ πολὺ ἀφεστήκεσαν,
κατελθεῖν ἔπεισεν ἐς τὴν πόλιν· καὶ πλήθει τε οἰκη-
τόρων μείζονα [5]), καὶ εὐδαιμονεστέραν ἐς τὰ ἄλλα
ἀπέφηνε τὴν Ἦλιν. Ἀφίκετο δὲ αὐτῷ καὶ ἐκ Δελ- 2
φῶν χρησμὸς, τὸν Πελοπίδην ἐπάγεσθαι συνοικιστήν.
Ὄξυλος δὲ τὴν ζήτησιν ἐποιεῖτο σπουδῇ, καὶ ἀναζη-
τῶν εὗρεν Ἀγώριον τὸν Δαμασίου τοῦ Πενθίλου τοῦ
Ὀρέστου, καὶ αὐτόν τε ἐξ Ἑλίκης τῶν Ἀχαιῶν, καὶ
σὺν τῷ Ἀγωρίῳ μοῖραν τῶν Ἀχαιῶν ἐπηγάγετο οὐ
πολλήν. Τῷ δὲ Ὀξύλῳ Πιερίαν [6]) μὲν τῇ γυναικὶ
ὄνομα εἶναι λέγουσι, τὰ δὲ ἐς αὐτὴν οὐ μνημονεύουσιν.
Ὀξύλου δὲ γενέσθαι παῖδας φασὶν Αἰτωλὸν καὶ
Λαΐαν. προαποθανόντος δὲ Αἰτωλοῦ, θάπτουσιν
αὐτὸν οἱ γονεῖς ἐν αὐτῇ ποιησάμενοι τῇ πύλῃ τὸ μνῆ-
μα, ἥτις ἐπ' Ὀλυμπίαν καὶ τὸ ἱερὸν ἄγει τοῦ Διός.
ἔθαψε δὲ αὐτὸν οὕτω κατὰ μαντείαν, ὡς μήτε ἐντὸς,
μήτε ἐκτὸς τῆς πόλεως γένοιτο ὁ νεκρός. ἐναγίζει
δὲ ὁ γυμνασίαρχος ἔτι καὶ ἐς ἐμὲ καθ' ἕκαστον ἔτος
τῷ Αἰτωλῷ. Μετὰ δὲ Ὄξυλον, Λαΐας ἔσχεν ὁ 3
Ὀξύλου [7]) τὴν ἀρχήν. οὐ μὴν τούς γε ἀπογόνους
αὐτοῦ βασιλεύοντας εὕρισκον, καὶ σφᾶς ἐπιστάμενος
ὅμως παρίημι· οὐ γάρ τί μοι καταβῆναι τὸν λόγον
ἠθέλησα ἐς ἄνδρας ἰδιώτας. Χρόνῳ δὲ ὕστερον Ἴφι- 4
τος, γένος μὲν ὢν ἀπὸ Ὀξύλου, ἡλικίαν δὲ κατὰ
Λυκοῦρ-

5) μείζονα] Delevi καὶ ante μείζονα ex Cod. Mosc. auctoritate.

6) Πιερίαν] Ex Cod. Mosc. et Vindob. (90.) dedi pro vulgata Πιερία.

7) ὁ Ὀξύλου] ὁ restitui ex duob. Cod. Vind. (23. et 90.) ac Mosc.

Λυκοῦργον τὸν γράψαντα Λακεδαιμονίοις τοὺς νόμους, τὸν ἀγῶνα διέθηκεν ἐν Ὀλυμπίᾳ, πανήγυρίν τε Ὀλυμπιακὴν αὖθις ἐξ ἀρχῆς καὶ ἐκεχειρίαν [8]) κατεστήσατο, ἐκλιπόντα ἐπὶ χρόνον, ὁπόσος δὴ οὗτος ἦν. αἰτίαν δὲ δι' ἥντινα ἐξέλιπε τὰ Ὀλύμπια, ἐν τοῖς ἔχουσιν ἐς Ὀλυμπίαν τοῦ λόγου δηλώσω [9]). τῷ δὲ Ἰφίτῳ, φθειρομένης τότε δὴ μάλιστα τῆς Ἑλλάδος ὑπὸ ἐμφυλίων στάσεων καὶ ὑπὸ νόσου λοιμώδους, ἐπῆλθεν αἰτῆσαι τὸν ἐν Δελφοῖς θεὸν λύσιν τῶν κακῶν· καί οἱ προσταχθῆναί φασιν ὑπὸ τῆς Πυθίας, ὡς αὐτόν τε Ἴφιτον δέοι καὶ Ἠλείους τὸν Ὀλυμπιακὸν ἀγῶνα σώσασθαι. ἔπεισε δὲ Ἠλείους Ἴφιτος καὶ Ἡρακλεῖ θύειν, τὸ πρὸ τούτου πολέμιον σφίσιν Ἡρακλέα εἶναι νομίζοντας. τὸν δὲ Ἴφιτον τὸ ἐπίγραμμα τὸ ἐν Ὀλυμπίᾳ φησὶν Αἵμονος παῖδα εἶναι· Ἑλλήνων δὲ οἱ πολλοὶ Πραξωνίδου, καὶ οὐχ Αἵμονος εἶναί φασι· τὰ δὲ Ἠλείων γράμματα ἀρχαῖα ἐς πατέρα ὁμώνυμον [10]) ἀνῆγε τὸν Ἴφιτον. Ἠλείοις δὲ μέτεστι μὲν πολέμου [11]) τοῦ πρὸς Ἰλίῳ, μέτεστι δὲ καὶ ἔργων κατὰ τὴν Μήδων ἐς τὴν Ἑλλάδα ἔφοδον. ὑπερβάντι δὲ ὅσοι σφίσιν ἐγένοντο κίνδυνοι πρὸς Πισαί-

8) ἐκεχειρίαν] Fuit ἐκεχειρία *cessatio a bello et opere, vel induciae ludorum causa.* Vid. Suid et Hesych. h. v., et Casaub. ad Strab. L. VIII. p. 539. A. Gell. N. A. L. I. C. 25.: *Graeci cessationem istam pugnae pacticiam* ἐκεχειρίαν *dixerunt — nam quod eo tempore non pugnetur et manus cohibeantur,* ἐκεχειρίαν *appellarunt.* Illam *Iphiti disco* indictam esse, Pausan. refert L. V. C. 20. init. Fuit etiam persona induta Ἐκεχειρία, a qua Iphitus coronatus, arte expressus, memoratur a Pausan. L. V. C. 10. et C. 26.

9) ἐν τοῖς — δηλώσω] Vid. huius Libri C. 8.

10) πατέρα ὁμώνυμον] h. e. *Iphitum Iphiti filium fuisse* dixerunt.

11) πολέμου] Cod. Mosc. τοῦ πολέμου, et paullo infra uterque Cod. ὑπερβάντων pro ὑπερβάντι.

Πισαίους τε καὶ Ἀρκάδας ὑπὲρ τῆς διαθέσεως [12]) τοῦ ἀγῶνος τοῦ ἐν Ὀλυμπίᾳ, συνέβαλον [13]) μὲν Λακεδαιμονίοις ἀκουσίως ἐς τὴν Ἀθηναίων, συνέστησαν δὲ μετὰ οὐ πολὺν χρόνον ἐπὶ Λακεδαιμονίους Μαντινεῦσιν ὁμοῦ καὶ Ἀργείοις, ἐπαγόμενοι καὶ τὸ Ἀττικὸν ἐς τὴν συμμαχίαν [14]). κατὰ δὲ τὴν Ἄγιδος ἐπιστρατείαν ἐς τὴν γῆν καὶ τὴν προδοσίαν τὴν Ξενίου [15]), μάχῃ μὲν περὶ Ὀλυμπίαν νικῶσιν οἱ Ἠλεῖοι, καὶ τροπὴν ἐργασάμενοι τῶν Λακεδαιμονίων, ἐκ τοῦ περιβόλου σφᾶς ἐξήλασαν τοῦ ἱεροῦ. χρόνῳ δὲ ὕστερον ἐπαύθη σφίσιν ὁ πόλεμος κατὰ τὰς συνθήκας, ἃς ἐγὼ πρότερον ἔτι ἐν τῷ λόγῳ τῷ ἐς Λακεδαιμονίους ἐδήλωσα [16]). Φιλίππου δὲ τοῦ Ἀμύντου οὐκ ἐθέλοντος ἀποσχέσθαι τῆς Ἑλλάδος, προσεχώρησαν μὲν ἐς τὴν συμμαχίαν τῶν Μακεδόνων οἱ Ἠλεῖοι, στάσει κακωθέντες ὑπὸ ἀλλήλων, μαχεσθῆναι δὲ οὐχ ὑπέμειναν τοῖς Ἕλλησιν ἐναντία ἐν Χαιρωνείᾳ. τῆς δὲ ἐφόδου Φιλίππῳ τῆς ἐπὶ Λακεδαιμονίους μετέσχον κατὰ ἔχθος ἐς αὐτοὺς τὸ ἀρχαῖον· ἀποθανόντος δὲ Ἀλεξάνδρου, Μακεδόσι καὶ Ἀντιπάτρῳ μετὰ ἀλλήλων [17]) ἐπολέμησαν.

12) ὑπὲρ τῆς διαθέσεως] de *moderatione et praesidio ludorum*. De re ipsa conf. Xenoph. H. G. L. VII. C. 4. f. 28.

13) συνέβαλον] Cum *Sylburgio* sentio, qui scribendum censet συνεσέβαλον.

14) ἐπαγόμενοι — τὴν συμμαχίαν] In Cod. Vind. abest τήν. De re ipsa vid. Thucyd. Lib. V. C. 47.

15) τὴν προδοσίαν τὴν Ξενίου] Vid. supra L. III. C. 8. Mox ante Ἠλεῖοι inserui οἱ ex Cod. Vind.

16) πρότερον ἔτι — ἐδήλωσα] Vid. supra l. c.

17) μετὰ ἀλλήλων] Scribendum esse μετὰ Ἑλλήνων, cum ex sententia ipsa, tum ex L. I. C. 25. manifesto patet. De crebra permutatione vocum ἀλλήλων et Ἑλλήνων vid. not. ad L. IV. C. 11.

## CAPUT V.

Ariſtotimus, qui poſtea Elidis regnum obtinet, a Cylone interficitur — de byſſo, quae in Eleo agro gignitur — regione Samico dicta, Triphylia et urbe Lepreo — urbis Leprei conditore, nominis origine et memorandis — fluvio Anigro ejusque malo odore — antro Anigridum Nympharum.

Χρόνῳ δὲ ὕστερον Ἀριστότιμος ὁ Δαμαρέτου τοῦ Ἐτύμονος, τυραννίδα ἔσχεν ἐν Ἠλείᾳ, συμπαρασκευάσαντος αὐτῷ τὰ ἐς τὴν ἐπίθεσιν Ἀντιγόνου τοῦ Δημητρίου βασιλεύοντος ἐν Μακεδονίᾳ. τὸν δὲ Ἀριστότιμον μῆνας τυραννήσαντα ἓξ, καταλύουσιν ἐπαναστάντες Χίλων καὶ Ἑλλάνικος, καὶ Λάμπις τε καὶ Κύλων. οὗτος δὲ καὶ αὐτοχειρίᾳ τὸν τύραννον ἀπέκτεινεν ὁ Κύλων ἐπὶ Διὸς σωτῆρος βωμὸν καταφυγόντα ἱκέτην. τὰ μὲν δὴ ἐς πόλεμον, τοιαῦτα ὑπῆρχεν Ἠλείοις, ὡς περὶ αὐτῶν ἡμῖν ἐν τῷ παρόντι
2 ἀπαριθμῆσαι μετρίως. Θαυμάσαι δ' ἄν τις ἐν τῇ γῇ Ἠλείᾳ τήν τε βύσσον [1]), ὅτι ἐνταῦθα μόνον, ἑτέρωθι δὲ οὐδαμοῦ τῆς Ἑλλάδος φύεται, καὶ ὅτι ἐν τῇ ὑπερορίᾳ, καὶ οὐκ ἐντὸς τῆς χώρας αἱ ἵπποι σφίσιν ἐκυΐσκον ἐκ τῶν ὄνων [2])· καὶ τούτου μὲν κατάραν τινὰ ἐλέγετο γενέσθαι αἴτιον. ἡ δὲ βύσσος ἡ ἐν τῇ Ἠλείᾳ [3]) λεπτότητος μὲν εἵνεκα οὐκ ἀποδεῖ τῆς Ἑβραίων, ἔστι δὲ

1) ἐν τῇ γῇ Ἠλείᾳ τήν τε βύσσον] Conf. Pauſ. L. VI. C. 26. De *byſſo, lino tenuiſſimo*, vid. Plin. H. N. L. XIX. 4., Olear. ad Philoſtrat. vit. Apoll. L. II. C. 20., Salmaſ. Exerc. p. 998. et not. ad Heſych. v. βύσσινον.

2) καὶ οὐκ ἐντὸς — τῶν ὄνων etc.] Eadem refert Herodot. L. IV. ſ. 30.

3) Ἠλείᾳ] Ex utroque Codice dedi pro mendoſa lectione Ἤλει.

δὲ οὐχ ὁμοίως ξανθή. Ἰόντι δὲ ἀπὸ τῆς Ἠλείας, 3
χωρίον ἐστὶν ἐπὶ θάλασσαν καθῆκον. ὀνομάζεται
μὲν Σαμικὸν[4]), ἐν δεξιᾷ δὲ ὑπὲρ αὐτὸ, ἥ τε Τριφυ-
λία[5]) καλουμένη, καὶ πόλις ἐστὶν ἐν τῇ Τριφυλίᾳ
Λέπρεος[6]). ἐθέλουσι μὲν δὴ οἱ Λεπρεᾶται μοῖρα
εἶναι τῶν Ἀρκάδων, φαίνονται δὲ Ἠλείων κατήκοοι
τὸ ἐξ ἀρχῆς ὄντες· καὶ ὅσοι αὐτῶν Ὀλύμπια ἐνίκησαν,
Ἠλείους ἐκ Λεπρέου σφᾶς ὁ κῆρυξ ἀνεῖπε. καὶ
Ἀριστοφάνης ἐποίησεν[7]), ὡς Λέπρεος εἴη πόλισμα
Ἠλείων. ἔστι δὲ ὁδὸς ἐς Λέπρεον ἀπὸ μὲν Σαμικοῦ
τὸν Ἄνιγρον ποταμὸν ἀφέντι ἐν ἀριστερᾷ, ἑτέρα δὲ ἐξ
Ὀλυμπίας, τρίτη δὲ ἐξ Ἤλιδος· ἡμερήσιος δὲ αὐτῶν
ἐστιν ἡ μακροτάτη. Τεθῆναι δὲ τῇ πόλει τὸ ὄνομά 4
φασιν ἀπὸ τοῦ οἰκιστοῦ Λεπρέου τοῦ Πυργέως[8]). ἐλέ-
γετο δὲ καὶ ὡς πρὸς Ἡρακλέα ἐρίσειεν ὁ Λεπρέος,
μὴ ἀποδεῖν τοῦ Ἡρακλέους ἐσθίων· ἐπειδὴ ἑκάτερος
βοῦν αὐτῶν ἐν ἴσῳ τῷ καιρῷ κατέσφαξεν καὶ εὐτρέπι-
σεν ἐς τὸ δεῖπνον. καὶ ὥσπερ καὶ ὑφίστατο ὁ Λε-
πρέος φαγεῖν οὐκ ἀδυνατώτερος τοῦ Ἡρακλέους,



4) ὀνομάζεται μὲν Σαμικὸν] Cod. Mosc. haud male exhibet ὃ ὀνομάζεται etc. *Samicum* a Strab. L. VIII. p. 534. dicitur πεδίον, a Stephano autem et Polybio L. IV. ſ. 77. urbs.

5) Τριφυλία] A Triphylo, Arcadis filio. Vid. Pauſ. L. X. C. 9. ſeq. et Polyb. l. c.

6) Λέπρεος] In Suida, Strabone et Plinio legitur τὸ Λέπρεον. Callimach. Hymn. in Jov. v. 39. habet Λέπρειον, Ptolem. Λέπριον.

7) Ἀριστοφάνης ἐπ.] Vid. Ariſtoph. Av. v. 149. et ibi Schol. De Lepreatis Eleorum imperio obnoxiis conf. Thucyd. L. V. ſ. 31.

8) Λεπρέου τοῦ Πυργέως etc.] Variat nomen *Leprei* ejusque patris in Athenaeo et Aeliano, qui hoc voracitatis certamen cum Hercule copioſe enarrant. Ab Athenaeo L. X. C. 1. p. 412. dicitur Λεπρεὺς et filius *Cauconis*, ab Aeliano autem V. H. L. I. C. 24. vocatur Λεπρέας, ubi vid. not. Conf. Suid. v. Λέπρεος.

ἐτόλμησε τὸ μετὰ τοῦτο προκαλέσασθαι [9]) καὶ ἐς
ἀγῶνα ὅπλων αὐτόν. καὶ ἀποθανεῖν τε Λεπρέον
κρατηθέντα τῇ μάχῃ, καὶ ἐν τῇ Φιγαλέων [10]) ταφῆ-
ναι λέγουσιν. οὐ μὴν εἶχόν γε οἱ Φιγαλεῖς ἀποφῆ-
ναι Λεπρέου μνῆμα. ἤδη δὲ ἤκουσα θυγατρὶ τοῦ
Πυργέως Λεπρέα προσποιούντων τὸν οἰκισμόν. οἱ δὲ
τοῖς πρῶτον οἰκήσασιν ἐν τῇ γῇ νόσον φασὶν ἐπιγε-
νέσθαι λέπραν, καὶ οὕτω τὸ ὄνομα λαβεῖν τὴν πόλιν
ἐπὶ τῶν οἰκητόρων τῇ συμφορᾷ. γενέσθαι δὲ οἱ Λε-
πρεάται σφίσιν ἔλεγον ἐν τῇ πόλει Λευκαίου Διὸς
ναὸν, καὶ Λυκούργου τάφον τοῦ Ἀλέου, καὶ ἄλλων,
καὶ Καύκωνος [11])· τούτῳ δὲ καὶ ἐπίθημα ἄνδρα ἐπεῖ-
ναι λύραν ἔχοντα. κατὰ δὲ ἐμὲ οὔτε μνῆμα ἐπίση-
μον, οὔτε ἱερὸν ἦν θεῶν σφισιν οὐδενὸς, πλήν γε Δή-
μητρος· πλίνθου δὲ καὶ τοῦτο ἐπεποίητο ὠμῆς, καὶ
οὐδὲν παρείχετο [12]) ἄγαλμα. Λεπρεατῶν δέ ἐστιν οὐ
πόῤῥω τῆς πόλεως Ἀρήνη καλουμένη πηγή· καὶ τὸ
ὄνομα ἀπὸ τῆς Ἀφαρέως γυναικὸς τεθῆναι [13]) λέ-
5 γουσι τῇ πηγῇ. Ἀναστρέψαντι δὲ αὖθις ἐπὶ τὸ Σα-
μικὸν, καὶ διοδεύοντι τὸ χωρίον, Ἄνιγρος ποταμὸς
ἐκδίδωσιν ἐς θάλασσαν. τούτου τὸ ῥεῦμα τοῦ ποτα-
μοῦ, πολλάκις ἀνείργουσιν οἱ ἄνεμοι βίαιοι πνέοντες.
φοροῦντες γὰρ κατ᾽ αὐτὸν τὴν θῖνα ἐκ τοῦ πελάγους
ἐπέχουσι τοῦ πρόσω τὸ ὕδωρ. ὁπότε οὖν ἀμφοτέρω-
θεν

9) προκαλέσασθαι] Cum *Amaf.* et *Camer.* hoc repofui pro vulgata προσκαλέσασθαι.

10) Φιγαλέων] Refcripfi ι pro υ ex Strab., Stephano et ipfo Paufania. Vid not. ad L. III. C. 17.

11) καὶ ἄλλων, καὶ Καύκωνος] Cod. Vind. uterque καὶ ἄλλου Καυκῶνος et Mofc. καὶ ἄλλον καὶ Καυκ.

12) παρείχετο] Vitiofe vulgatum fuit παρεῖχε τὸ, pro quo illud reftitui.

13) τεθῆναι] *Sylb.* monente fic fcripfi pro mendofo τεθεῖναι.

θεν ἡ ψάμμος ὑπό τε τῆς θαλάσσης καὶ τὰ ἐντὸς ὑπὸ τοῦ ποταμοῦ[14]) διάβροχος γένοιτο, ἐνταῦθα καὶ ὑποζυγίοις καὶ ἀνδρὶ ἔτι μᾶλλον εὐζώνῳ καταδῦναι κίνδυνός ἐστιν ἐς αὐτήν. ὁ δὲ Ἄνιγρος οὗτος ἐξ Ἀρκαδικοῦ μὲν κάτεισιν ὄρους Λαπίθου, παρέχεται δὲ εὐθὺς ἀπὸ τῶν πηγῶν ὕδωρ οὐκ εὐῶδες, ἀλλὰ καὶ δύσοσμον δεινῶς. πρὶν δὲ ἢ καταδέξασθαι τὸν Ἀκίδαντα καλούμενον, δῆλός ἐστιν οὐδὲ ἀρχὴν τρέφων ἰχθῦς. μετὰ δὲ τοῦτον ἐσβαλόντα ὅσοι τῶν ἰχθύων ὁμοῦ τῷ ὕδατι αὐτοῦ κατίασιν ἐς τὸν Ἄνιγρον, οὐ σφᾶς ἔτι ἐδωδίμους ἔχουσιν ἄνθρωποι, τὰ πρότερα δ'[15]), ἣν ἐντὸς ἁλῶσι τοῦ Ἀκίδαντος, ἐδωδίμους ὄντας. ὅτι δὲ τῷ Ἀκίδαντι ὄνομα Ἰάρδανος[16]) ἦν τὸ ἀρχαῖον, αὐτὸς μὲν οὐδαμόθεν συνεβαλόμην, ἀκούσας δὲ ἀνδρὸς Ἐφεσίου, λέγω τὸν λόγον. τῷ δὲ Ἀνίγρῳ τὸ ἄτοπον εἶναι τῆς ὀσμῆς ἀπὸ τῆς γῆς[17]) πείθομαι, δι' ἧς ἄνεισι τὸ ὕδωρ· καθὰ δὴ καὶ τοῖς ὑπὲρ Ἰωνίας ἐστὶν ὕδασι τὸ αὐτὸ αἴτιον, ὁπόσων ἡ ἀτμὶς ὀλέθριός ἐστιν ἀνθρώπῳ. Ἑλλήνων δὲ οἱ μὲν Χείρωνα[18]), οἱ δὲ ἄλλον Κένταυρον Πολήνορα τοξευθέντα ὑπὸ Ἡρακλέους, καὶ φυγόντα τραυματίαν φασὶν ἐν τῷ ὕδατι ἀπολοῦσαι τούτῳ τὸ ἕλκος, καὶ ἀπὸ τῆς Ὕδρας τοῦ ἰοῦ γενέσθαι δυσχερῆ τῷ Ἀνίγρῳ



14) καὶ τὰ ἐντὸς ὑπὸ τοῦ ποτ.] Scil. κατὰ τὰ ἐντός. In Cod. Mosc. vero abest ὑπό.

15) ἔχουσιν ἄνθρωποι, τὰ πρότερα δ'] Cod. Mosc. bene dat ἔχ. οἱ ἄνθρωποι, et Cod. Vind. δ' non habet. Ad rem ipsam conf. Strab. L. VIII p. 533., qui eadem de Anigro narrat.

16) Ἰάρδανος] Cod. Vind. Ἰαρδάνης, et sic Strab. L. VIII. p. 534.

17) ἀπὸ τῆς γῆς] Cod. Mosc. ἀπὸ τῆς πηγῆς.

18) Ἑλλήνων δὲ οἱ μὲν Χείρωνα etc.] De hoc ac de subsequentibus conf. Strab. l. c.

τὴν ὀσμήν. οἱ δὲ ἐς Μελάμποδα[19]) τὸν Ἀμυθάονος καὶ ἐς τῶν Προίτου θυγατέρων τὰ καθάρσια ἐμβληθέντα ἐνταῦθα ἀνάγουσι τὴν αἰτίαν τοῦ ἐπὶ τῷ πο-
6 ταμῷ παθήματος. Ἔστι δὲ ἐν τῷ Σαμικῷ σπήλαιον οὐκ ἄποθεν τοῦ ποταμοῦ, καλούμενον Ἀνιγρίδων νυμφῶν[20]). ὃς δ' ἂν ἔχων ἀλφὸν ἢ λεύκην ἐς αὐτὸ εἰσέλθῃ, πρῶτα μὲν ταῖς νύμφαις εὔξασθαι καθέστηκεν αὐτῷ, καὶ ὑποσχέσθαι θυσίαν ὁποιανδήτινα· μετὰ δὲ, ἀποσμήχει τὰ νοσοῦντα τοῦ σώματος. διανηξάμενος δὲ τὸν ποταμὸν, ὄνειδος μὲν ἐκεῖνο κατέλιπεν ἐν τῷ ὕδατι αὐτοῦ· ὁ δὲ ὑγιής τε ἄνεισι καὶ ὁμόχρους[21]).

## CAPUT VI.

De urbe Samia et Samico — Arene — Scilluntis reliquiis — Xenophontis fuga et exilio in Scillunte — monte Typaeo ad viam Olympiam versus, et Callipatira seu Pherenice, femina in Olympico certamine deprehensa.

Κατὰ δὲ τὴν ὁδὸν τὴν εὐθεῖαν διαβάντι τὸν Ἄνιγρον, καὶ ἰόντι ἐς Ὀλυμπίαν, ἔστιν οὐ μετὰ πολὺ ἐν δεξιᾷ τῆς ὁδοῦ χωρίον τε ὑψηλὸν καὶ πόλις Σαμία ἐπ' αὐτοῦ Σαμικοῦ[1]). ταύτῃ τῇ Σαμικῷ Πολυσπέρχοντά φασιν

19) Μελάμποδα etc.] Vid. Apollod. L. II. C. 2. 1. ibique Heyne V.C. Conf. Pauf. L. VIII. C. 18.

20) σπήλαιον — Ἀνιγρίδων νυμφ.] Strabo, qui L. VIII. p. 532. 533. huius antri mentionem facit, habet Ἀνιγριάδων νυμφ.

21) ὁμόχρους] Cod. Mosc. ὁμόχρως, et Vind. mendose ὁμόχως.

1) πόλις Σαμία ἐπ' αὐτοῦ Σαμικοῦ] Strab. L. VIII. p. 532. et 534. hanc urbem Σάμον vocat et editi loci verticem τὸ Σαμικόν. Cave vero, ne hoc *Samicum* confundas cum illo, quod in

φασιν ἄνδρα Αἰτωλὸν ἐπιτειχίσματι[2]) ἐπὶ τοὺς Ἀρκάδας χρήσασθαι. Τὰ δὲ ἐρείπια τὰ Ἀρήνης σα- 2
φῶς μὲν οὔτε Μεσσηνίων εἶχεν οὐδεὶς, οὔτε Ἠλείων ἀποφῆναί μοι. διάφορα δὲ ὑπὲρ αὐτῆς καὶ οὐ κατὰ ταυτὰ πάρεστι τοῖς ἐθέλουσιν εἰκάζειν. πιθανώτατα δὲ ἐφαίνοντό μοι λέγειν, οἱ τὴν Σαμικὸν[3]) τὰ παλαιότερα ἔτι καὶ τὰ ἐπὶ τῶν ἡρώων Ἀρήνην καλεῖσθαι νομίζοντες. οὗτοι δὲ καὶ ἔπη τῶν ἐν Ἰλιάδι[4]) ἔλεγον·

Ἔστι δέ τις ποταμὸς Μινυήιος εἰς ἅλα βάλλων
Ἐγγύθεν Ἀρήνης.

τὰ δὲ ἐρείπια ταῦτα πλησιαίτατά ἐστι τοῦ Ἀνίγρου. καὶ Ἀρήνην μὲν ἀμφίσβητοι ἦσαν μὴ ὀνομασθῆναι τὸ Σαμικόν· τῷ δὲ ποταμῷ Ἀνίγρῳ Μινυήιον τὸ ὄνομα εἶναι[5]) τὸ ἀρχαῖον ὡμολογήκασιν οἱ Ἀρκάδες. ὅρον δὲ Ἠλείοις πρὸς τὴν Μεσσηνίαν τῆς Νέδας τὰ ἐπὶ θαλάσσῃ γενέσθαί τις πείθοιτο ἂν ὁμοῦ τῇ ἐς Πελοπόννησον Ἡρακλειδῶν καθόδῳ. Μετὰ δὲ τὸν 3
Ἄνιγρον ὁδεύσας[6]) ἐπὶ μακρότερον διὰ χωρίου τὰ πλείονα ὑπὸ ψάμμου κεκαλυμμένου, καὶ ἔχοντος



in Cap. praec. memoratum est. Ex Strabonis l. c. res potius ita videtur constituenda. *Samicum*, de quo hic agitur, vel ἡ Σαμικὸς (sc. κορυφὴ) editus locus fuit, in quo urbs Σαμία vel Σάμος sita erat; inde regio (χωρίον vel πεδίον) excurrebat, quae τὸ Σαμικὸν appellabatur, de qua Pausan. Cap. 5. loquitur.

2) ἐπιτειχίσματι] Strab. L. VIII. p. 532. τὸ μὲν οὖν Σαμικόν ἐστιν ἔρυμα.

3) οἱ τὴν Σαμικὸν etc.] Cod. Mosc. οἱ τὸν Σαμ. Ad rem conf. Strab. l. c.

4) ἔπη τῶν ἐν Ἰλιάδι] Vid. Il. λ. v. 721.

5) τῷ — Μινυήϊον τὸ ὄν. εἶναι] Vid. Strab. l. paullo ante cit.

6) ὁδεύσας] Duo Codd. Vind. et Mosc. exhibent ὁδεύσαντι, cui tamen lectioni repugnat subsequens ὄψει.

δένδρα πίτυς ἀγρίας, ὀπίσω ἐπ' ἀριστερὰ Σκιλλοῦντος ὄψει ἐρείπια. τῶν μὲν δὴ πόλεων ἦν τῶν ἐν τῇ Τριφυλίᾳ καὶ Σκιλλοῦς· ἐπὶ δὲ τοῦ πολέμου τοῦ Πισαίων πρὸς Ἠλείους, ἐπίκουροί τε Πισαίων οἱ Σκιλλούντιοι καὶ διάφοροι τοῖς Ἠλείοις ἦσαν ἐκ τοῦ φανεροῦ, καὶ σφᾶς οἱ Ἠλεῖοι τούτων εἵνεκα ἐποίησαν
4 ἀναστάτους. Λακεδαιμόνιοι δὲ ὕστερον Σκιλλοῦντα ἀποτεμόμενοι τῆς Ἠλείας, Ξενοφῶντι ἔδοσαν τῷ Γρύλλου φυγάδι ἤδη γεγονότι ἐξ Ἀθηνῶν. ἐδιώχθη δὲ ὁ Ξενοφῶν ὑπὸ Ἀθηναίων, ὡς ἐπὶ βασιλέα τῶν Περσῶν σφίσιν εὔνουν ὄντα στρατείας μετασχὼν Κύρῳ πολεμιωτάτῳ τοῦ δήμου. καθήμενος γὰρ ἐν Σάρδεσιν ὁ Κῦρος, Λυσάνδρῳ τῷ Ἀριστοκρίτου [7]) καὶ Λακεδαιμονίοις χρήματα ἀνήλισκεν ἐς τὰς ναῦς. ἀντὶ τούτων μὲν Ξενοφῶντι ἐγένετο φυγή· κατοικήσας δὲ ἐν Σκιλλοῦντι, τέμενός τε καὶ ἱερὸν καὶ ναὸν [8]) Ἀρτέμιδι ᾠκοδομήσατο Ἐφεσίᾳ. παρέχεται δὲ ὁ Σκιλλοῦς καὶ ἄγρας θηρίων, ὑῶν τε ἀγρίων καὶ ἐλάφων. καὶ τὴν γῆν τὴν Σκιλλουντίαν Σιλινοῦς [9]) ποταμὸς διέξεισιν. οἱ δὲ Ἠλείων ἐξηγηταὶ κομίσασθαί τε αὖθις Σκιλλοῦντα Ἠλείους ἔλεγον, καὶ Ξενοφῶντα, ὅτι ἔλαβε παρὰ Λακεδαιμονίων τὴν γῆν, κριθῆναι μὲν ἐν τῇ Ὀλυμπιακῇ βουλῇ, τυχόντα δὲ παρὰ Ἠλείων συγ-

7) Ἀριστοκρίτου] Ex Cod. Mosc. et *Camerar.* lectione dedi pro vulgata Ἀριστοκρίτους. Conf. not. ad L. III. C. 6.

8) καὶ ἱερὸν καὶ ναὸν] Discrimen intercedere inter ναὸν et ἱερὸν, jam in not. ad L. I. C. 18. docui. Temere igitur *Sylb.* et *Kuhn.* verba καὶ ἱερὸν mendosa esse judicarunt et emendarunt καθιέρωσε vel καθιερῶν. De re ipsa vid. Xenoph. de Cyri exped. L. V. C. 3. s. 8. sq.

9) Σιλινοῦς] Cum *Amas.* scribendum videtur Σελινοῦς, ex Strab. L. VIII. p. 593. et Xenoph. l. c. In Paus. L. VII. C. 24. idem fluvius vocatur Σέλινος, quod nomen quoque cum Σελινοῦς mutandum est.

συγγνώμης, ἀδεῶς ἐν Σκιλλοῦντι οἰκῆσαι. καὶ δὴ καὶ ὀλίγον ἀπωτέρω τοῦ ἱεροῦ 10), μνῆμά τε ἐδείκνυτο, καὶ τῆς Πεντέλησίν ἐστι λιθοτομίας εἰκὼν ἐπὶ τῷ τάφῳ· εἶναι δὲ αὐτὸ Ξενοφῶντος λέγουσιν οἱ προσοικοῦντες. Κατὰ δὲ τὴν ἐς Ὀλυμπίαν ὁδὸν, πρὶν ἢ διαβῆναι τὸν Ἀλφειὸν, ἔστιν ὄρος ἐκ Σκιλλοῦντος ἐρχομένῳ πέτραις ὑψηλαῖς ἀπότομον· ὀνομάζεται δὲ Τυπαῖον τὸ ὄρος. κατὰ τούτου τὰς γυναῖκας Ἠλείοις ἐστὶν ὠθεῖν νόμος, ἢν φωραθῶσιν ἐς τὸν ἀγῶνα ἐλθοῦσαι τὸν Ὀλυμπιακὸν, ἢ καὶ ὅλως ἐν ταῖς ἀπειρημέναις σφίσιν ἡμέραις διαβᾶσαι τὸν Ἀλφειόν. οὐ μὴν οὐδὲ ἁλῶναι λέγουσιν οὐδεμίαν, ὅτι μὴ Καλλιπάτειραν μόνην. εἰσὶ δὲ οἱ τὴν αὐτὴν ταύτην Φερενίκην, καὶ οὐ Καλλιπάτειραν καλοῦσιν 11). αὕτη, προαποθανόντος αὐτῇ τοῦ ἀνδρὸς, ἐξεικάσασα αὑτὴν τὰ πάντα ἀνδρὶ γυμναστῇ, ἤγαγεν ἐς Ὀλυμπίαν τὸν υἱὸν μαχούμενον 12). νικῶντος δὲ τοῦ Πεισιδώρου, τὸ ἔρυμα, ἐν ᾧ τοὺς γυμναστὰς ἔχουσιν ἀπειλημμένους, τοῦτο ὑπερπηδῶσα ἡ Καλλιπάτειρα ἐγυμνώθη. φωραθείσης δὲ ὅτι εἴη γυνὴ, ταύτην ἀφιᾶσιν ἀζήμιον, καὶ τῷ πατρὶ καὶ ἀδελφοῖς αὐτῆς καὶ τῷ παιδὶ αἰδῶ νέμοντες· ὑπῆρχον δὴ 13) ἅπασιν αὐ-



10) τοῦ ἱεροῦ] Inserui τοῦ ex Cod. Vind.

11) εἰσὶ δὲ οἱ — καλοῦσιν] Ael. Var. H. L. X. C. 1., qui eadem paullo aliter narrat, et hanc feminam appellat Φερενίκην, uti et alii. Variat quoque filii nomen in Valer. Max. L. VIII. C. 15. in fine. De utroque vid. *Kuhn.* et *Perizon.* ad Ael. l. c. Conf. Pauſ. L. VI. C. 7.

12) τὸν υἱὸν μαχούμενον] Reſcripſi τὸν υἱὸν, quod exciderat, ex Cod. Vind., Moſc. et *Amaſaei* interpretatione. Filii nomen fuiſſe Πεισίδωρον, ex Pauſ. L. VI. C. 7. conſtat; quare mox pro Πεισιρόδου repoſui Πεισιδώρου, *Amaſaeo* adſtipulante.

13) ὑπῆρχον δὴ] Cod. Moſc. ὑπῆρχον δέ. Paullo infra pro ἐποίησαν Cod. Vind. dat ἐποιήσαντο.

αὐτοῖς Ὀλυμπιακαὶ νῖκαι. ἐποίησαν δὲ νόμον ἐς τὸ ἔπειτα ἐπὶ τοῖς γυμναςαῖς, γυμνοὺς σφᾶς ἐς τὸν ἀγῶνα ἐσέρχεσθαι.

## CAPUT VII.

De Alpheo et fluviis in eum influentibus — de Alpheo et Arethusa fabula — de aliis fluviis paludem vel mare perlabentibus ac maris mortui mira ratione — Olympicorum ludorum origine et denominatione — Hyperboreis.

Ἀφικομένῳ δὲ ἐς Ὀλυμπίαν, ἐνταῦθα ἤδη τὸ ὕδωρ
ἐςὶ τοῦ Ἀλφειοῦ πλήθει τε πολὺ, ἰδόντι καὶ ἥδιςον,
ἅτε ποταμῶν καὶ ἄλλων καὶ λόγου μάλιςα ἀξίων
ἔτι τε ἐς αὐτὸν ῥεόντων. διὰ Μεγάλης μέν γε πό-
λεως Ἑλισσὼν ἐρχόμενος ἐκδίδωσιν ἐς τὸν Ἀλφειόν·
Βρενθεάτης δὲ ἐκ τῆς Μεγαλοπολιτῶν γῆς· παρὰ
δὲ Γόρτυναν ἔνθα ἱερὸν Ἀσκληπιοῦ, παρὰ δὲ ταῦτα
Γορτύνιος ῥέων· ἐκ Μελαινέων Βουφαγὸς [1]) τῆς Μεγα-
λοπολίτιδος μεταξὺ καὶ Ἡραιίτιδος χώρας· ἐκ δὲ
τῆς Κλειτορίων Λάδων· ἐκ δὲ Ἐρυμάνθου τοῦ ὄρους
ὁμώνυμος τῷ ὄρει [2]). οὗτοι μὲν ἐξ Ἀρκαδίας κατία-
σιν ἐς τὸν Ἀλφειόν. Κλαδέος [3]) δὲ ἐρχόμενος ἐκ τῆς
Ἠλείας συμμίσγει οἱ τὸ ῥεῦμα. αὐτῷ δὲ ἐν τῇ Ἀρ-
κάδων τῷ Ἀλφειῷ, καὶ οὐχὶ ἐκ τῆς Ἠλείας εἰσὶν αἱ
2 πηγαί. Λέγεται δὲ καὶ ἄλλα τοιάδε ἐς τὸν Ἀλφειὸν,
ὡς

1) Βουφαγὸς] Sic scripsi pro vulgata Πουφαγὸς ex Cod. Vind. et constanti Pausaniae scriptura, L. VIII. C. 26. et 27. in fine. Mendosa lectio Aldinae που φαγὸς locum praebuit quorundam interpretationi *Phagus*.

2) ὁμώνυμος τῷ ὄρει] De hoc fluvio *Erymantho* vid. L. VIII. C. 24.

3) Κλαδέος] Vid. not. ad C. 15. hujus Libri.

ὡς ἀνὴρ εἴη θηρευτής· ἐρασθῆναι δὲ αὐτὸν Ἀρεθού-
σης· κυνηγετεῖν δὲ καὶ ταύτην. καὶ Ἀρέθουσαν
μὲν οὐκ ἀρεσκομένην γήμασθαι, περαιωθῆναί φασιν
ἐς νῆσον τὴν κατὰ Συρακούσας, καλουμένην δὲ Ὀρτυ-
γίαν, καὶ ἐνταῦθα ἐξ ἀνθρώπου γενέσθαι πηγήν·
συμβῆναι δὲ ὑπὸ τοῦ ἔρωτος καὶ Ἀλφειῷ τὴν ἀλλα-
γὴν ἐς τὸν ποταμόν. ταῦτα μὲν λόγου τοῦ ἐς Ἀλ-
φειὸν ἐς τὴν Ὀρτυγίαν 4). τὸ δὲ διὰ τῆς θαλάσσης
ἰόντα, ἐνταῦθα ἀνακοινοῦσθαι τὸ ὕδωρ πρὸς τὴν
πηγὴν, οὐκ ἔστιν ὅπως ἀπιστήσω, τὸν θεὸν ἐπιστάμενος
τὸν ἐν Δελφοῖς ὁμολογοῦντά σφισιν· ὃς Ἀρχίαν τὸν
Κορίνθιον ἐς τὸν Συρακουσῶν ἀποστέλλων οἰκισμὸν,
καὶ τάδε εἶπε τὰ ἔπη·

Ὀρτυγίη τὶς κεῖται 5) ἐν ἠεροειδέϊ πόντῳ,
Τρινακίης καθύπερθεν, ἵν' Ἀλφειοῦ στόμα βλύζει,
Μισγόμενον πηγαῖς εὐριπείης 6) Ἀρεθούσης.

κατὰ τοῦτο οὖν, ὅτι τῇ Ἀρεθούσῃ τοῦ Ἀλφειοῦ τὸ
ὕδωρ μίσγεται, καὶ τοῦ ἔρωτος τὴν φήμην τῷ ποτα-
μῷ πείθομαι γενέσθαι. Ὅσοι δὲ Ἑλλήνων ἢ Αἰ- 3
γυπτίων ἐς Αἰθιοπίαν ὑπὲρ Συήνης καὶ ἐς Μερόην
Αἰθιόπων πόλιν ἀναβεβήκασι, λέγουσιν οὗτοι τὸν
Νεῖ-

4) Ἀλφειὸν ἐς τὴν Ὀρτυγ.] *Loeſcher.* legit Ἀλφ. καὶ ἐς τὴν Ἀρέθουσαν. Poſt Ἀλφειὸν excidiſſe καὶ, vix dubium et jam a *Sylb.* et *Kuhnio* notatum eſt. Ingenioſe tamen et admodum probabiliter *Goldhagen* in verſ. germ. conjicit, verba ἐς τὴν Ὀρτυγίαν loco ſuo mota expoſt ἰόντα ponenda eſſe. Mox de Alpheo per mare labente vid. Strab. L. VI. p. 415. 416.

5) κεῖται] Cod. Moſc. καλεῖται. Pro Θρινακίης repoſui Τρινακ. ex Cod. Moſc. et conſtanti ſcriptura.

6) εὐριπείης] *Kuhn.* explicat *bonas auras emittentis*, a ῥιπὴ, *flatus*, et *Amaſ. pulcrae.* Mihi vox iſta corrupta eſſe videtur; nam Codd. Vind. et Moſc. exhibent εὐροπίης et εὐρωπίης. *Sylb.* ſcribendum conjecit εὐῤῥείτης, *pulcrifluae.*

Νεῖλον ἐσιόντα ἐς λίμνην, καὶ διʼ αὐτῆς διεξιόντα ὥσπερ ἐκ χέρσου, μετὰ τοῦτο ἤδη διʼ Αἰθιοπίας τῆς κάτω καὶ ἐπʼ Αἴγυπτον ῥεύσαντα, ἐπὶ Φάρον καὶ τὴν ταύτῃ θάλασσαν κατέρχεσθαι. ἐν δὲ τῇ γῇ ποταμόν τινα [7]) Ἑβραίων καὶ αὐτὸς οἶδα Ἰόρδανον λίμνην Τιβερίδα ὀνομαζομένην διοδεύοντα, ἐς δὲ τὴν λίμνην ἑτέραν καλουμένην θάλασσαν νεκρὰν, ἐς ταύτην ἐσιόντα, καὶ ὑπὸ τῆς λίμνης αὐτὸν ἀναλούμενον. ἡ δὲ θάλασσα ἡ νεκρὰ πάσχει παντὶ ὕδατι ἄλλῳ τὰ ἐναντία· ἐν ᾗ γε τὰ μὲν ζῶντα πέφυκεν οὐ νηχόμενα ἐποχεῖσθαι [8]), τὰ δὲ θνήσκοντα ἐς βυθὸν χωρεῖν. ταύτῃ ἄκαρπος καὶ ἰχθύων ἡ λίμνη, ἅτε ἀπὸ τοῦ φανερωτάτου κινδύνου ἐπὶ τὸ ὕδωρ ἀναφεύγουσιν ὀπίσω τὸ οἰκεῖον. τῷ δὲ Ἀλφειῷ τὸ αὐτὸ πάσχει καὶ ὕδωρ ἄλλο ἐν Ἰωνίᾳ. τούτου δὲ τοῦ ὕδατος πηγὴ μέν ἐστιν ἐν Μυκάλῃ τῷ ὄρει. διεξελθὸν δὲ θάλασσαν τὴν μεταξὺ ἄνεισιν αὖθις κατὰ Βραγχίδας πρὸς λιμένι ὀνομαζομένῳ Πανόρμῳ. ταῦτα μὲν δὴ ἔχει τρόπον τὸν εἰρημένον.

4 Ἐς δὲ τὸν ἀγῶνα τὸν Ὀλυμπικὸν [9]), λέγουσιν Ἠλείων οἱ τὰ ἀρχαιότατα μνημονεύοντες, Κρόνον τὴν ἐν οὐρανῷ σχεῖν βασιλείαν πρῶτον, καὶ ἐν Ὀλυμπίᾳ ποιηθῆναι Κρόνῳ ναὸν ὑπὸ τῶν τότε ἀνθρώπων, οἳ ὠνο-

7) ποταμόν τινα] Ex Cod. Vind. rescripsi ποταμὸν pro vulgata ποταμῶν. Paullo infra pro Τιβερίδα ex Stephano et Evangelist. scribendum videtur Τιβεριάδα.

8) ἐν ᾗ γε τὰ μὲν ζῶντα π. οὐ νηχόμενα ἐποχεῖσθαι etc.] *in quo viventia aquae vi sustinentur non natantia* (h. e. ita, ut non innatent). De qua maris mortui seu lacus Asphaltitis singulari natura vid. Joseph de bell. Jud. L. V. C. 5., Strab. L. XVI p. 1107. 1108., Plin. Hist. Nat. L. V. C. 16 init. et Justin. L. XXXVI. C. 3.

9) τὸν ἀγῶνα τὸν Ὀλυμπικὸν] Cod Mosc. Ὀλυμπιακὸν, uti supra fuit C. 6.

ὠνομάζοντο χρυσοῦν γένος· Διὸς δὲ τεχθέντος ἐπιτρέψαι Ῥέαν τοῦ παιδὸς τὴν φρουρὰν τοῖς Ἰδαίοις Δακτύλοις [10]), καλουμένοις δὲ τοῖς αὐτοῖς τούτοις καὶ Κούρησιν· ἀφικέσθαι δὲ αὐτοὺς ἐξ Ἴδης τῆς Κρητικῆς, Ἡρακλέα [11]), καὶ Παιωναῖον, καὶ Ἐπιμήδην, Ἰάσιόν τε καὶ Ἴδαν· τὸν δὲ Ἡρακλέα παίζοντα (εἶναι γὰρ δὴ αὐτὸν πρεσβύτατον ἡλικίᾳ) συμβαλεῖν τοὺς ἀδελφοὺς ἐς ἅμιλλαν δρόμου, καὶ τὸν νικήσαντα ἐξ αὐτῶν, κλάδῳ στεφανῶσαι κοτίνου· παρεῖναι δὲ αὐτοῖς πολὺ δή τι οὕτω τὸν κότινον, ὡς τὰ χλωρὰ ἔτι τῶν φύλλων ὑπεστρῶσθαι σφᾶς καθεύδοντας. κομισθῆναι δὲ ἐκ τῆς Ὑπερβορέων γῆς [12]) τὸν κότινόν φασιν ὑπὸ τοῦ Ἡρακλέους ἐς Ἕλληνας· εἶναι δὲ ἀνθρώπους οἱ ὑπὲρ τὸν ἄνεμον οἰκοῦσι τὸν Βορέαν. πρῶτος μὲν ἐν ὕμνῳ τῷ ἐς Ἀχαιΐαν ἐποίησεν Ὠλὴν ὁ Λύκιος [13]), ἀφικέσθαι τὴν Ἀχαιΐαν ἐς Δῆλον ἐκ τῶν Ὑπερβορέων τούτων. ἔπειτα ᾠδὴν Μελάνωπος Κυμαῖος ἐς Ὦπιν καὶ Ἑκαέργην [14]) ᾖσεν, ὡς ἐκ τῶν Ὑπερβορέων καὶ αὗται πρότερον ἐς τὴν Ἀχαιΐαν [15]) ἀφί-

10) Ἰδαίοις Δακτύλοις etc.] De his eorumque nominibus ab his diversis plura legi possunt in Schol. ad Apollon. Rhod. I. v. 1129. Conf. Clem. Alex. Strom. I. I. p. 306. 307., Euseb. Praep. Evang. L. I., supra not. ad L. I. C. 4. atque Heyne V. C. ad Apollod. p. 15. 16.

11) Ἡρακλέα] Cod. Vind. et Mosc. πρὸς Ἡρακλέα.

12) ἐκ τῆς Ὑπερβορέων γῆς] De Hyperboreis vid. not. ad L. I. C. 31., et de oleastro ab Hercule allata conf. Pindar. Ol. III. v. 24. et X. v. 51.

13) Ὠλὴν ὁ Λύκιος] In utroque Cod. ὁ abest. De Olene vid. supra not. ad L. I. C. 18.

14) ἐς Ὦπιν καὶ Ἑκαέργην] Vid. supra not. ad Lib. I. C. 43.

15) τὴν Ἀχαιΐαν] Cod. Vind. hic et paullo supra exhibet Ἀχαΐαν, quae usitatior est scriptura. Sylb. Ἀχαιΐαν ionicam formam esse putat, sicuti Πλαταιᾶς L. II. C. 6., Ἡραιΐτις L. V. C. 7. init.

ἀφίκοντο καὶ ἐς Δῆλον. Ἀριστέας[16]) γὰρ ὁ Προκοννήσιος μνήμην ἐποιήσατο Ὑπερβορέων· καὶ οὗτος τάχα τὶ καὶ πλέον περὶ αὐτῶν πεπυσμένος εἴη παρὰ Ἰσσηδόνων, ἐς οὓς ἀφικέσθαι φησὶν ἐν τοῖς ἔπεσιν. Ἡρακλεῖ οὖν προσεστι τῷ Ἰδαίῳ[17]) δόξα τόν τε ἀγῶνα διαθεῖναι πρώτῳ, καὶ Ὀλύμπια ὄνομα θέσθαι. διὰ πέμπτου οὖν ἔτους αὐτὸν κατεστήσατο ἄγεσθαι, ὅτι αὐτός τε καὶ οἱ ἀδελφοὶ πέντε ἦσαν ἀριθμόν. Δία δὴ οἱ μὲν ἐνταῦθα παλαῖσαι καὶ αὐτῷ Κρόνῳ περὶ τῆς ἀρχῆς, οἱ δὲ ἐπὶ κατειργασμένοις[18]) ἀγωνοθετῆσαί φασιν αὐτόν. νικῆσαι δὲ ἄλλοι τε λέγονται, καὶ ὅτι Ἀπόλλων παραδράμοι μὲν ἐρίζοντα Ἑρμῆν, κρατῆσαι δὲ Ἄρεως πυγμῇ. τούτου δὲ εἵνεκα καὶ τὸ αὔλημα τὸ Πυθικόν φασι τῷ πηδήματι ἐπεισαχθῆναι τῶν πεντάθλων, ὡς τὸ μὲν ἱερὸν τοῦ Ἀπόλλωνος τὸ αὔλημα ὄν, τὸν Ἀπόλλωνα δὲ ἀνῃρημένον Ὀλυμπικὰς[19]) νίκας.

16) Ἀριστέας] Sic hoc nomen rescripsi pro vulgato Ἀρισταῖος. De quo vid. supra not. ad L. I. C. 24.

17) Ἡρακλεῖ οὖν πρ. τ. Ἰδαίῳ etc.] Conf. Strab. VIII. p. 544. Mox pro αὐτὸν κατεστήσατο uterque Cod. αὐτὸς κατεστ.

18) ἐπὶ κατειργασμένοις] ob res patratas, bene gestas. Amas. debellatis Titanibus.

19) Ὀλυμπικὰς] Cod. Vind. Ὀλυμπιακάς.

CAPUT

## CAPUT VIII.

De variis regibus, qui post Herculem ludos Olympiacos celebrarunt — ludis Olympiacis post Oxylum usque ad Iphitum cessantibus — primo cursus certamine, reliquisque certaminis generibus institutis.

Τούτων δὲ ὕστερον Κλύμενον τὸν Κάρδιος[1]), πεντηκοστῷ μάλιστα ἔτει μετὰ τὴν συμβᾶσαν ἐπὶ Δευκαλίωνος ἐν Ἕλλησιν ἐπομβρίαν, ἐλθόντα ἐκ Κρήτης, γένος ἀπὸ Ἡρακλέους ὄντα τοῦ Ἰδαίου, τόν τε ἀγῶνα ἐν Ὀλυμπίᾳ θεῖναι, καὶ Κούρησι τοῖς τε ἄλλοις καὶ Ἡρακλεῖ τῷ προγόνῳ λέγουσιν ἱδρύσασθαι βωμὸν, Παραστάτην[2]) ἐπωνυμίαν τῷ Ἡρακλεῖ θέμενον. Ἐνδυμίων δὲ ὁ Ἀεθλίου Κλύμενόν τε ἔπαυσε τῆς ἀρχῆς, καὶ δρόμου τοῖς υἱοῖς ἆθλα ἐν Ὀλυμπίᾳ τὴν βασιλείαν ἔθηκε[3]). Πέλοψ δὲ ὕστερον γενεᾷ μάλιστα μετὰ Ἐνδυμίωνα τὸν ἀγῶνα τῷ Ὀλυμπίῳ Διῒ ἐποίησεν ἀξιολογώτατα ἀνθρώπων τῶν πρὸ αὐτοῦ. Πέλοπος δὲ τῶν παίδων σκεδασθέντων ἐξ Ἤλιδος ἀνὰ πᾶσαν τὴν ἄλλην Πελοπόννησον, Ἀμυθάων ὁ Κρηθέως Ἐνδυμίωνι ἀνεψιὸς πρὸς πατρὸς (εἶναι γάρ φασι καὶ Ἀέθλιον Αἰόλου, Διὸς δὲ ἐπίκλησιν[4]) ) ἔθηκεν ὁ Ἀμυ-

1) Κάρδιος] Cod. Vind. 51. et Mosc. Κάρδυος. De hoc Clymeno vid. et L. VI. C. 21.

2) Παραστάτην etc.] Haec ara memoratur quoque C. 14.

3) καὶ δρόμου — ἔθηκε] Vid. supra C. I.

4) Ἀέθλιον Αἰόλου, Διὸς δὲ ἐπίκλησιν] Non, *Aeolo* Διὸς *cognomen fuisse*, Pausanias hisce innuere vult, uti *Amas.* male interpretatus est, sed *Aëthlium, proprie Aeoli filium, Jovis* (sc. filium) *cognominatum fuisse.* Sic supra C. I. παῖδα δὲ αὐτὸν Διός τε εἶναι καὶ Πρωτογενείας τῆς Δευκαλίωνος. Quare stemma ita se habet:

Aeolus
Cretheus — Aëthlius
Amythaon — Endymion

et

Ἀμυθάων τὰ Ὀλύμπια, μετὰ δὲ αὐτὸν Πελίας τε
καὶ Νηλεὺς ἐν κοινῷ. ἔθηκε δὲ καὶ Αὐγέας καὶ
Ἡρακλῆς ὁ Ἀμφιτρύωνος ἑλὼν Ἦλιν. ὁπόσους δὲ
ἐστεφάνωσεν οὗτος νικῶντας, ἔστιν Ἰόλαος[5]) ταῖς Ἡρα-
κλέους διαδραμὼν ἵπποις. ἦν δὲ ἄρα ἐκ παλαιοῦ
καθεστηκὸς ἀγωνίζεσθαι καὶ ἀλλοτρίαις ἵπποις.
Ὅμηρος[6]) γοῦν ἐν ἄθλοις τεθεῖσιν ἐπὶ Πατρόκλῳ
πεποίηκεν, ὡς Μενέλαος Αἴθῃ τῇ Ἀγαμέμνονος, τῷ
δὲ ἑτέρῳ χρήσαιτο τῶν ἵππων οἰκείῳ. ἡνιοχεῖ δὲ καὶ
ἄλλως Ἰόλαος[7]) Ἡρακλεῖ τὰς ἵππους. αὐτοὺς οὖν
ἅρματι, καὶ Ἰάσιος ἀνὴρ Ἀρκὰς κέλητι[8]) ἐνίκησεν
ἵππου δρόμῳ. Τυνδάρεω δὲ οἱ παῖδες, ὁ μὲν δρόμῳ,
Πολυδεύκης δὲ πυκτεύων. λέγεται δὲ καὶ ἐς αὐτὸν
Ἡρακλέα, ὡς πάλης τε ἀνέλοιτο καὶ παγκρατίου
2 νίκας. Μετὰ δὲ Ὄξυλον (διέθηκε γὰρ τὸν ἀγῶνα
καὶ Ὄξυλος) μετὰ τοῦτον βασιλεύσαντα ἐξέλιπεν
ἄχρι Ἰφίτου[9]) τὰ Ὀλύμπια. Ἰφίτου δὲ τὸν ἀγῶνα
ἀνανεωσαμένου κατὰ τὰ ἤδη μοι λελεγμένα[10]), τοῖς
ἀνθρώποις ἔτι ὑπῆρχε τῶν ἀρχαίων λήθη, καὶ κατ'
ὀλίγον ἐς ὑπόμνησιν ἤρχοντο αὐτῶν, καὶ ὁπότε τι
3 ἀναμνησθεῖεν, ἐποιοῦντο τῷ ἀγῶνι προσθήκην. Δῆλον
δέ·

et prorsus vana sunt, quae Palmer. Exerc. p. 394. disputat de *Aeolo Jove dicto*.

5) ὁπόσους —, ἔστιν Ἰόλαος] *Amas.* et *Sylb.*: *ex omnibus — primus est Iolaus.* Equidem potius ex usu Pausaniae loquendi ὁπόσους positum arbitror pro ἐκείνων, οὓς etc., et sic interpretandum esse: *ex illis vero, quos Hercules victores coronavit, est Iolaus* etc. Mox pro διαδραμὼν uterque Codex dat δραμών.

6) Ὅμηρος] Vid. Il. ψ. v. 295.

7) Ἰόλαος] ὁ ante Ἰόλαος delevi utriusque Codicis auctoritate.

8) κέλητι] Uterque Cod. exhibet κέλητος, quod ferri potest, si jungas ἵππου.

9) ἄχρι Ἰφίτου] Cod. Vind. ἄχρι τοῦ Ἰφίτου.

10) τὰ ἤδη μοι λελεγμένα] Vid. supra C. 4.

δέ· ἐξ οὗ γὰρ τὸ συνεχὲς ταῖς μνήμαις ἐπὶ ταῖς Ὀλυμπιάσιν ἐςὶ [11]), δρόμου μὲν ἆθλα ἐτέθη πρῶτον, καὶ Ἠλεῖος Κόροιβος ἐνίκα. εἰκὼν μὲν δὴ οὐκ ἔςιν ἐν Ὀλυμπίᾳ τοῦ Κοροίβου, τάφος δὲ ἐπὶ τοῖς πέρασι τῆς Ἠλείας. Ὀλυμπιάδι δὲ ὕςερον τετάρτῃ καὶ δεκάτῃ προσετέθη σφίσι δίαυλος. Ὕπηνος δὲ ἀνὴρ Πισαῖος ἀνείλετο ἐπὶ τῷ διαύλῳ τὸν κότινον· τῇ δὲ ἑξῆς Ἄκανθος [12]). ἐπὶ δὲ τῆς ὀγδόης καὶ δεκάτης ὀλυμπιάδος πεντάθλου καὶ πάλης ἀφίκοντο ἐς μνήμην. καὶ τοῦ μὲν Λάμπιδι ὑπῆρξεν, Εὐρυβάτῳ δὲ ἡ νίκη τῆς πάλης, Λακεδαιμονίοις καὶ τούτοις. τρίτῃ δὲ ὀλυμπιάδι καὶ εἰκοςῇ πυγμῆς ἆθλα ἀπέδοσαν· Ὀνομαςὸς δὲ ἐνίκησεν ἐκ Σμύρνης συντελούσης ἤδη τηνικαῦτα ἐς Ἴωνας. πέμπτῃ δὲ ἐπὶ ταῖς εἴκοσι κατεδέξατο ἵππων τελείων δρόμον [13])· καὶ ἀνηγορεύθη Θηβαῖος Παγώνδας κρατῶν ἅρματι. ὀγδόῃ δὲ ἀπὸ ταύτης ὀλυμπιάδι ἐδέξατο παγκρατιαςήν τε ἄνδρα [14]), καὶ ἵππον κέλητα. ἵππος μὲν δὴ Κραννωνίου

11) τὸ συνεχὲς — ἐςὶ] *ex quo tempore continua est Olympiadum memoria.* De Coroebo victore conf. Strab. L. VIII. p. 544. A.

12) Ἄκανθος] Meurs. Miscell. Lacon. L. IV. C. 18 hic ὁ Λακεδαιμόνιος excidisse putat, quod statim sequatur Λακεδαιμονίοις καὶ τούτοις.

13) πέμπτῃ — κατεδέξατο ἵππων τελείων δρ.] Dativus πέμπτῃ et mox ὀγδόῃ duriorem reddit constructionem cum κατεδέξατο et ἐδέξατο. Quare *Sylb.* κατεδέξαντο et ἐδέξαντο scribendum, *Kuhn.* vero in his verbis singularis numeri ἀγὼν Ὀλυμπιακὸς suppiendum esse putavit: *recepit Agon Olympiacus;* quam interpretationem probandam duco. Ἵπποι τέλειοι opponuntur πώλοις, uti paullo infra, et *equi* sunt *adultae aetatis et justae staturae.* De quo vocis significatu copiose egit Perizon. ad Aelian V. H. IV. C. 3. et VII C. 13. Conf. Pauf. C. 12. hujus Libri — ζώῳ τῶν γε ἤδη τελείων.

14) παγκρατιαςήν τε ἄνδρα] *Qui pugilatu et lucta certabant,* pancratiastae dicebantur. Vid. Perizon. ad Aelian. V. H. III. C. 30.

νωνίου Κραυξίδα παρέφθη· τοὺς δὲ ἐσελθόντας ἐπὶ τὸ παγκράτιον, ὁ Λύγδαμις συγκατειργάσατο [15]) Συρακούσιος. τούτῳ πρὸς ταῖς λιθοτομίαις ἐστὶν ἐν Συρακούσαις [16]) μνῆμα. εἰ δὲ καὶ Ἡρακλεῖ τῷ Θηβαίῳ μέγεθος παρισοῦτο ὁ Λύγδαμις, ἐγὼ μὲν οὐκ οἶδα, λεγόμενον δὲ ὑπὸ Συρακουσίων ἐστί. τὰ δὲ ἐπὶ τοῖς παισὶν, ἐς μὲν τῶν παλαιοτέρων οὐδεμίαν ἥκει μνήμην, αὐτοὶ δὲ ἀρέσαν σφίσι [17]) κατεστήσαντο Ἠλεῖοι. δρόμου μὲν δὴ καὶ πάλης ἐτέθη παισὶν ἆθλα ἐπὶ τῆς ἑβδόμης καὶ τριακοστῆς ὀλυμπιάδος· καὶ Ἱπποσθένης Λακεδαιμόνιος πάλην, Πολυνείκης δὲ τὸν δρόμον ἐνίκησεν Ἠλεῖος. πρώτῃ δὲ ἐπὶ ταῖς τεσσαράκοντα ὀλυμπιάσι πύκτας ἐσεκάλεσαν παῖδας, καὶ περιῆν τῶν ἐσελθόντων Συβαρίτης Φιλήτας. τῶν δὲ ὁπλιτῶν ὁ δρόμος ἐδοκιμάσθη μὲν ἐπὶ τῆς πέμπτης ὀλυμπιάδος καὶ ἑξηκοστῆς, μελέτης, ἐμοὶ δοκεῖν, ἕνεκα τῆς ἐς τὰ πολεμικά. τοὺς δὲ δραμόντας ἀσπίσιν ὁμοῦ, πρῶτος Δημάρατος ἐκράτησεν Ἡραιεύς. δρόμος δὲ δύο ἵππων τελείων συνωρὶς κληθεῖσα, τρίτῃ μὲν ὀλυμπιάδι ἐτέθη πρὸς ταῖς ἐνενήκοντα· Εὐαγόρας δὲ ἐνίκησεν Ἠλεῖος. ἐνάτῃ δὲ ἤρεσεν ὀλυμπιάδι καὶ ἐνενηκοστῇ καὶ πώλων ἅρμασιν ἀγωνίζεσθαι· Λακεδαιμόνιος δὲ Συβαριάδης τὸν στέφανον τῶν πώλων ἔσχε τοῦ ἅρματος. συνέθεσαν δὲ

C. 30. Mox Κραννωνίου in Stephano Byz. et Plinio unico ν legitur.

15) *συγκατειργάσατο*] Cod. Vind. et Mosc. *κατειργάσατο*.

16) *ταῖς λιθοτομίαις — ἐν Συρακούσαις*] De his lapicidinis Syracusanorum, quae proprie *Λατομίαι* dicebantur, vid. Aelian. V. H. XII. C. 44. et ibi Perizon. Conf. Cicero in Verr. V. C. 27.

17) *ἀρέσαν σφίσι*] *quum ipsis ita placeret.* Absolute positum est hoc participium, sicut initio Cap. sequentis *μεταδόξαν*, et alia.

δὲ ὕϛερον καὶ συνωρίδα πώλων, καὶ πῶλον κέλητα. ἐπὶ μὲν δὴ τῇ συνωρίδι Βελιϛίχην ἐκ Μακεδονίας [18]) τῆς ἐπὶ θαλάσσῃ γυναῖκα, Τληπόλεμον δὲ Λύκιον ἀναγορευθῆναι λέγουσιν ἐπὶ τῷ κέλητι· τοῦτον μὲν ἐπὶ τῆς πρώτης καὶ τριακοϛῆς τε καὶ ἑκατοϛῆς ὀλυμπιάδος, τῆς Βελιϛίχης [19]) τὴν συνωρίδα ὀλυμπιάδι πρὸ ταύτης τρίτῃ. πέμπτῃ δὲ ἐπὶ ταῖς τεσσαράκοντα καὶ ἑκατὸν ἆθλα ἐτέθη παγκρατίου παισὶ, καὶ ἐνίκα Φαίδιμος Αἰολεὺς ἐκ πόλεως Τρῳάδος.

## CAPUT IX.

Olympica certamina ab Eleis abolentur — de Calpes et Anabatarum curſu — Olympicorum ludorum ordine — ludorum praefectis (Agonothetis) — Hellanodicis.

Κατελύθη δὲ ἐν Ὀλυμπίᾳ καὶ ἀγωνίσματα μεταδόξαν [1]) μηκέτι ἄγειν αὐτὰ Ἠλείοις. πένταθλόν τε γὰρ παίδων ἐπὶ τῆς ὀγδόης ὀλυμπιάδος καὶ τριακοϛῆς ἐτέθη, καὶ ἐπ' αὐτῷ τὸν κότινον Εὐτελίδα Λακεδαιμονίου λαβόντος, οὐκέτι ἀρεϛὰ Ἠλείοις ἦν πεντάθλους εἰσέρχεσθαι παῖδας. τῆς δὲ ἀπήνης καὶ

 κάλ-

18) Βελιϛίχην ἐκ Μακεδονίας] Cod. Vind. Βελιϛιχίδην, et Cod. Moſc. ἐκ Λακεδαιμονίας pro ἐκ Μακεδ. Has voces interdum a Librariis confundi, jam ſupra ad L. III. C. 8. notandi locus fuit.

19) τῆς Βελιϛίχης] Praecedens μὲν non ſinit hic abeſſe δὲ, quod ſine dubio excidit. Quare ſcribendum puto τῆς δὲ Βελιϛ.

1) μεταδόξαν] Cod. Moſc. μετὰ δόξης et ita Fab. Agon. L. III. C. 9. diviſim legit μετὰ δόξαν. Sed vulgata cum Pauſaniae loquendi ratione congruit et interpretanda eſt: *cum, mutata ſententia, viſum eſſet Eleis.* Conf. not. in fine Cap. praec.

κάλπης τὸν δρόμον [2]), τὸν μὲν ὀλυμπιάδι νομισθέντα ἑβδομηκοστῇ, τὸν δὲ τῆς κάλπης τῇ ἐφεξῆς ταύτης, κήρυγμα ὑπὲρ ἀμφοτέρων ἐποιήσαντο ἐπὶ τῆς τετάρτης ὀλυμπιάδος καὶ ὀγδοηκοστῆς, μήτε κάλπης τοῦ λοιποῦ, μήτε ἀπήνης ἔσεσθαι δρόμον. ὅτε δὲ ἐτέθη πρῶτον, Θερσίου μὲν ἀπήνη Θεσσαλοῦ, Παταίκου δὲ
2 Ἀχαιοῦ τῶν ἐκ Δύμης [3]) ἐνίκησεν ἡ κάλπη. Ἦν δὲ ἡ μὲν θήλεια ἵππος, καὶ ἀπ' αὐτῶν ἀποπηδῶντες, ἐπὶ τῷ ἐσχάτῳ δρόμῳ συνέθεον οἱ ἀναβάται ταῖς ἵπποις εἰλημμένοι τῶν χαλινῶν, καθὰ καὶ ἐς ἐμὲ ἔτι οἱ ἀναβάται καλούμενοι. διάφορα δὲ τοῖς ἀναβάταις ἐς τῆς κάλπης τὸν δρόμον τά τε σημεῖά ἐστι, καὶ ἄρσενες σφίσιν ὄντες οἱ ἵπποι [4]). ἀπήνῃ δὲ οὔτε τῷ ἀνευρήματι οὐδὲν ἀρχαῖον [5]), οὔτε εὐπρέπεια αὐτῇ προσῆν, ἐπάρατόν τε Ἠλείοις ἐκ παλαιοῦ καὶ ἀρχὴν γενέ-

2) τῆς δὲ ἀπήνης καὶ κάλπης τὸν δρόμον] Scil. κατὰ, *quod attinet ad cursum* etc. Utriusque cursus generis ratio in subsequentibus declaratur. Conf. Pollux VII. 186., Schol. ad Pind. Olymp. V. v. 6. (ἀπήνη ἐστὶν ἅρμα ἐξ ἡμιόνων ζευχθὲν) et Hesych. h. v. κάλπη non currus fuisse videtur, cui equae junctae erant, sed *cursus equarum singularum cum sessoribus.* Hesych. κάλπις, ἵππος βαδιστὴς καὶ εἶδος δρόμου, ubi vid. not. κάλπην quoque *mulorum clitellariorum* fuisse, in Polluce legimus l. c. Inde καλπάζειν et παρακαλπάζειν, *minuto et citato gradu incedere;* sic in Plutarchi Alex. M. f. 6. Conf. not. ad Hesych. h. v.

3) τῶν ἐκ Δύμης] De his vid. L. VII. C. 17.

4) διάφορα δὲ — οἱ ἵπποι] *Sylb.* recte interpretatur: *sed inter Calpes cursum et Anabatas hoc est discriminis, quod suis Anabatae insignibus et masculis utuntur equis.*

5) ἀπήνῃ — οὐδὲν ἀρχαῖον etc.] Pro vulgata Ἀπήνη dativum rescripsi, qui sequentibus οὐδὲν ἀρχαῖον — προσῆν junctus verborum constructionem reddit planiorem. Meliora οὐδὲν ἀρχ. pro οὐδὲ ἀρχ. dedi ex Codice Vind. (90.) et Mosc.

γενέσθαι 6) σφίσιν ἐν τῇ χώρᾳ τὸ ζῶον. ἦν γὰρ δὴ ἀπήνη κατὰ τὴν συνωρίδα ἡμιόνους ἀντὶ ἵππων ἔχουσα. Ὁ δὲ κόσμος ὁ περὶ τὸν ἀγῶνα ἐφ' ἡμῶν, ὡς 3
θύεσθαι τῷ θεῷ τὰ ἱερεῖα, πεντάθλου μὲν καὶ δρόμου τῶν ἵππων ὕστερα ἀγωνισμάτων 7). οὗτος κατέστη σφίσιν ὁ κόσμος ὀλυμπιάδι ἑβδόμῃ πρὸς ταῖς ἑβδομήκοντα. τὰ πρὸ τούτων δὲ ἐπὶ ἡμέρας ἦγον τῆς αὐτῆς ὁμοίως καὶ ἀνθρώπων καὶ ἵππων ἀγῶνα. τότε δὲ προήχθησαν ἐς νύκτα οἱ παγκρατιάζοντες, ἅτε οὐ κατὰ καιρὸν ἐσκληθέντες· αἴτιοι δὲ ἐγένοντο οἵ τε ἵπποι καὶ ἐς πλέον ἔτι ἡ τῶν πεντάθλων ἅμιλλα· καὶ ἐκράτει μὲν Ἀθηναῖος Καλλίας τοὺς παγκρατιάσαντας. ἐμπόδιον δὲ οὐκ ἔμελλε παγκρατίου τοῦ λοιποῦ τὸ πένταθλον, οὐδὲ οἱ ἵπποι γενήσεσθαι. Τὰ δὲ ἐπὶ τοῖς ἀγωνοθετοῦσιν οὐ κατὰ τὰ αὐτά, ἃ 4
καθεστηκότα ἦν ἐξ ἀρχῆς, καὶ ἐφ' ἡμῶν ἐς αὐτοὺς νομίζουσιν. ἀλλὰ Ἴφιτος μὲν τὸν ἀγῶνα ἔθηκεν αὐτὸς μόνος· καὶ μετὰ Ἴφιτον ἐτίθεσαν ὡσαύτως οἱ ἀπὸ Ὀξύλου. πεντηκοστῇ δὲ ὀλυμπιάδι ἀνδράσι



6) ἐπάρατον τε — καὶ ἀρχὴν γενέσθαι etc.] *Kuhn.* καὶ μὴ ἀρχὴν, vel καὶ ἀρχὴν μὴ, *prorsus non*, scribendum esse adnotavit. At ἀρχὴν absque μὴ hic locum habere possit, si illud interpreteris *prorsus omnino*, de quo significatu vid. not. ad L. II. C. 16. *Et Eleis antiquitus execrabile fuit, ali omnino in ipsorum finibus hoc animal.* Res ipsa legitur quoque in Herodot. IV. f. 30.

7) πεντάθλου μὲν — ὕστερα ἀγωνισμάτων] *Sylb.* et *Kuhn.* ἀγωνισμάτων referunt ad πεντ. et δρόμου τῶν ἵππ., et interpretantur: *post peracta quinquertii cursusque equestris certamina.* Sed quum Pausan. statim subjiciat, antea eodem die hominum et equorum certamina esse inita, forte scribendum esse videatur ὑστέρᾳ vel potius ὑστεραίᾳ δ' ἀγωνισμάτων. Sic sententia esset: *Deo victimae mactabantur primum super quinquertio et equorum cursu, postero autem die super reliquis certaminibus.*

δύο ἐξ ἁπάντων λαχοῦσιν Ἠλείων ἐπετράπη ποιῆσαι τὰ ὀλύμπια· καὶ ἐπὶ πλεῖστον ἀπὸ ἐκείνου διέμεινε τῶν ἀγωνοθετῶν ὁ ἀριθμὸς τῶν β΄. Πέμπτῃ δὲ ὀλυμπιάδι καὶ εἰκοστῇ [8]) ἐννέα Ἑλλανοδίκας κατέστησαν. τρισὶ μὲν δὴ ἐπετέτραπτο ἐξ αὐτῶν ὁ δρόμος τῶν ἵππων, τοσούτοις δὲ ἑτέροις ἐπόπταις εἶναι τοῦ πεντάθλου· τοῖς δὲ ὑπολοίποις [9]) τὰ λοιπὰ ἔμελε τῶν ἀγωνισμάτων. δευτέρᾳ δὲ ἀπὸ ταύτης ὀλυμπιάδι, προσετέθη καὶ ὁ δέκατος ἀθλοθέτης. ἐπὶ δὲ τῆς τρίτης καὶ ἑκατοστῆς, Φυλαί τε Ἠλείοις δώδεκα, καὶ εἷς ἀπὸ Φυλῆς ἑκάστης ἐγένετο Ἑλλανοδίκης. πιεσθέντες δὲ ὑπὸ Ἀρκάδων πολέμῳ, μοῖράν τε ἀπέβαλον τῆς γῆς, καὶ ὅσοι τῶν δήμων ἦσαν ἐν τῇ ἀποτμηθείσῃ χώρᾳ, καὶ οὕτως ἐς ὀκτώ τε ἀριθμὸν Φυλῶν [10]) ἐπὶ τῆς τετάρτης συνεστάλησαν ὀλυμπιάδος καὶ ἑκατοστῆς, καὶ Ἑλλανοδίκαι σφίσιν ἴσοι ταῖς Φυλαῖς ᾑρέθησαν. ὀγδόῃ δὲ ἐπὶ ταῖς ἑκατὸν ὀλυμπιάδι, ἐπανῆλθον αὖθις ἐς ἀνδρῶν δέκα ἀριθμόν· καὶ ἤδη τὸ ἀπὸ τούτου διαμεμένηκεν ἐς ἡμᾶς.

8) Πέμπτῃ δὲ ὀλυμπιάδι καὶ εἰκοστῇ etc.] Numerum Olympiadis cum ceteris conſtare non poſſe, in promptu eſt, quum Pauſanias modo memoraverit, Ol. L. duos primum fuiſſe Hellanodicas. Quare verba πέμπτῃ καὶ εἰκοστῇ mendoſa eſſe, jam alii viderunt, et Meurſ. Attic. lect. L. IV. C. 29. πέμπτῃ καὶ ἑκατοστῇ emendandum eſſe declaravit. At nec ſic numeri congruunt; ſtatim enim ſubſequuntur Olympiades CII. CIII. CIV. Quare potius ſcribendum eſſe πρώτῃ δ. Ὀλ. καὶ ἑκατοστῇ, ſatis liquet. De *Hellanodicis*, Olympicorum certaminum judicibus, vid. Periz. et Kuhn. ad Aelian. Var. Hiſt. IX. C. 31. et X. C. 1.

9) τοῖς δὲ ὑπολοίποις] Cod. Vind. ὑπολειπομένοις, et Moſc. vitioſe ὑπολοιπομένοις.

10) καὶ οὕτως ἐς ὀκτώ τε ἀριθμὸν φυλῶν etc.] Pro vulgata οὕτω ex Cod. Moſc. dedi οὕτως. Cod. Vind. exhibet καὶ οὕτω τε τὸν ἀριθμὸν φυλῶν,

CAPUT

## CAPUT X.

De Jovis luco, Alti dicto — templi Jovis Olympici descriptio.

Πολλὰ μὲν δὴ καὶ ἄλλα ἴδοι τὶς ἂν Ἕλλησι, τὰ δὲ καὶ ἀκοῦσαι θαύματος ἄξια· μάλιστα δὲ τοῖς Ἐλευσῖνι δρωμένοις, καὶ ἀγῶνι τῷ ἐν Ὀλυμπίᾳ μέτεστιν ἐκ θεοῦ φροντίδος. τὸ δὲ ἄλσος τὸ ἱερὸν τοῦ Διὸς, παραποιήσαντες τὸ ὄνομα, Ἄλτιν ἐκ παλαιοῦ καλοῦσι· καὶ δὴ καὶ Πινδάρῳ[1]) ποιήσαντι ἐς ἄνδρα Ὀλυμπιονίκην ᾆσμα, Ἄλτις ἐπωνόμασται τὸ χωρίον. Ἐποιήθη δὲ ὁ ναὸς καὶ τὸ ἄγαλμα τῷ Διῒ ἀπὸ λα- 2
φύρων, ἡνίκα Πίσαν οἱ Ἠλεῖοι καὶ ὅσον τῶν περιοίκων ἄλλο συναπέστη Πισαίοις, πολέμῳ καθεῖλον[2]). Φειδίαν δὲ τὸν ἐργασάμενον τὸ ἄγαλμα εἶναι καὶ ἐπίγραμμά ἐστιν ἐς μαρτυρίαν ὑπὸ τοῦ Διὸς γεγραμμένον τοῖς ποσί·

Φειδίας Χαρμίδου[3]) υἱὸς Ἀθηναῖός μ' ἐποίησε.

Τοῦ ναοῦ δὲ Δώριος μέν ἐστιν ἡ ἐργασία, τὰ δὲ ἐκτὸς περίστυλός ἐστι. πεποίηται δὲ ἐπιχωρίου πώρου[4]). ὕψος μὲν δὴ, αὐτὸ τοῦτο ἐς τὸν ἀετὸν ἀνῆκον[5]), εἰσὶν οἱ



1) Πινδάρῳ] Vid. Olymp. X. v. 55. et ibi Schol.

2) Ἐποιήθη δὲ ὁ ναὸς — καθεῖλον] Ex hoc credibiliter colligi poteſt, quo tempore hoc templum exſtructum ſit, ſcil. poſt Olymp. LXXXI. De quo accurate et copioſe egit *Voelkel* V. C., qui de templo et ſtatua Jovis Olympici libellum docte compoſuit inſcriptum: *Ueber den groſsen Tempel und die Statue des Jupiters zu Olympia.* Lipſ. 1794. 8.

3) Χαρμίδου] Cod. Vind. Χαλμίδου.

4) ἐπιχ. πώρου] De hoc lapide, *tofi* (*Tuffſtein*) genere, vid. Theophraſt. de lapidib. init., Plin. L. XXXVI. C. 17. init. et not. ad Heſych. v. πώρινον.

5) ὕψος μὲν δὴ, αὐτὸ τ. ἐ. τ. ἀ. ἀνῆκον] *quod altitudinem atti-*

οἱ ὀκτὼ πόδες καὶ ἑξήκοντα, εὖρος δὲ πέντε καὶ ἐνενήκοντα, τὰ δὲ ἐς μῆκος, τριάκοντά τε καὶ διακόσιοι. τέκτων δὲ ἐγένετο αὐτοῦ Λίβων ἐπιχώριος. κέραμος δὲ οὐ γῆς ὀπτῆς ἐστιν, ἀλλὰ κεράμου τρόπον λίθος ὁ Πεντέλησιν εἰργασμένος. τὸ δὲ εὕρημα ἀνδρὸς Ναξίου λέγουσιν εἶναι Βύζου, οὗ φασιν ἐν Νάξῳ τὰ ἀγάλματα, ἐφ' ὧν ἐπίγραμμα, εἶναι·

Νάξιος Εὐεργός 6) με γένει Λητοῦς πόρε, Βύζεω
Παῖς, ὃς πρώτιστος τεῦξε λίθου κέραμον.

ἡλικία δὲ ὁ Βύζης οὗτος κατὰ Ἀλυάττην τὸν Λυδὸν καὶ Ἀστυάγην τὸν Κυαξάρου, βασιλεύοντα ἐν Μήδοις. ἐν δὲ Ὀλυμπίᾳ λέβης ἐπίχρυσος ἐπὶ ἑκάστῳ τοῦ ὀρόφου τῷ πέρατι ἐπίκειται· καὶ Νίκη κατὰ μέσον μάλιστα ἕστηκε τὸν ἀετὸν, ἐπίχρυσος καὶ αὐτή· ὑπὸ δὲ τῆς Νίκης τὸ ἄγαλμα ἀσπὶς ἀνάκειται χρυσῆ, Μέδουσαν τὴν Γοργόνα ἔχουσα ἐπειργασμένην. τὸ ἐπίγραμμα δὲ τὸ ἐπὶ τῇ ἀσπίδι, τούς τε ἀναθέντας δηλοῖ, καὶ καθ' ἥντινα αἰτίαν ἀνέθεσαν. λέγει γὰρ δὴ οὕτω·

Ναὸς μὲν φιάλαν χρυσέαν 7) ἔχει, ἐκ δὲ Τανάγρας
Τῆς Λακεδαιμόνιοι συμμαχίδος γε τεθὲν

Δῶρον

*attinet*, *et hanc ipsam usque ad aquilas*. Sic nihil cum *Kuhnio* mutandum, qui αὐτῷ τοῦτο legendum censet. Mox οἱ ante ὀκτὼ π. ejiciendum putem.

6) Εὐεργός] Vulgo εὔεργος. Sed nomen proprium hoc esse, *Loescher.*, *Sylb.* et alii recte viderunt. Vid. *Voelkel* l. c. p. 54. Paullo infra uterque Cod. ἡλικίαν dat pro ἡλικίᾳ. Sic etiam inferius est de Alcamene ἡλικίαν τε κατά etc.

7) φιάλαν χρυσ.] Ob similitudinem cavi clypei ita vocatur. Vid. *Voelkel* l. c. p. 58., ubi mox τᾶς pro τῆς scribendum censet. Cod. Vind. dat τοῖς.

Δῶρον ἀπ' Ἀργείων καὶ Ἀθηναίων καὶ Ἰώνων,
Τὰν δεκάταν[8]) νίκας εἵνεκα τῷ πολέμῳ.

ταύτης τῆς μάχης μνήμην καὶ ἐν τῇ Ἀτθίδι ἐποιησάμην συγγραφῇ[9]) τὰ Ἀθήνησιν ἐπεξιὼν μνήματα. τοῦ δὲ ἐν Ὀλυμπίᾳ ναοῦ τῆς ὑπὲρ τῶν κιόνων περιθεούσης ζώνης κατὰ τὸ ἐκτὸς, ἀσπίδες εἰσὶν ἐπίχρυσοι μία καὶ εἴκοσι ἀριθμὸν, ἀνάθημα στρατηγοῦ Ῥωμαίων Μομμίου, κρατήσαντος Ἀχαιῶν πολέμῳ, καὶ Κόρινθόν τε ἑλόντος, καὶ Κορινθίους τοὺς Δωριέας ποιήσαντος ἀναστάτους. τὰ δὲ ἐν τοῖς ἀετοῖς, ἔστιν ἔμπροσθεν Πέλοπος ἡ πρὸς Οἰνόμαον τῶν ἵππων ἅμιλλα ἔτι μέλλουσα, καὶ τὸ ἔργον τοῦ δρόμου παρὰ ἀμφοτέρων ἐν παρασκευῇ. Διὸς δὲ ἀγάλματος κατὰ μέσον πεποιημένου μάλιστα τὸν ἀετὸν, ἔστιν Οἰνόμαος ἐν δεξιᾷ [τοῦ Διὸς][10]) ἐπικείμενος κράνος τῇ κεφαλῇ· παρὰ δὲ αὐτὸν γυνὴ Στερόπη, θυγατέρων καὶ αὐτὴ τῶν Ἄτλαντος. Μυρτίλος δὲ, ὃς ἤλαυνε τῷ Οἰνομάῳ τὸ ἅρμα, κάθηται πρὸ τῶν ἵππων· οἱ δέ εἰσιν ἀριθμὸν οἱ ἵπποι τέσσαρες. μετὰ δὲ αὐτόν εἰσιν ἄνδρες δύο· ὀνόματα μέν σφισιν οὐκ ἔστι, θεραπεύειν δὲ ἄρα τοὺς ἵππους καὶ τούτοις προσετέτακτο ὑπὸ τοῦ Οἰνομάου. πρὸς αὐτῷ δὲ κατάκειται τῷ πέρατι Κλάδεος· ἔχει δὲ καὶ ἐς τὰ ἄλλα παρ' Ἠλείων τιμὰς ποταμῶν μάλιστα μετά γε Ἀλφειόν. τὰ δὲ ἐπ' ἀριστερὰ ἀπὸ τοῦ Διὸς, ὁ Πέλοψ καὶ Ἱπποδάμεια· καὶ ὅ τε ἡνίοχός ἐστι τοῦ Πέλο-



8) τὰν δεκάταν] *Goldhagen* mavult genitiv. doric. τᾶν δεκατᾶν.

9) ἐν τῇ Ἀτθίδι — συγγραφῇ] Vid. L. I. C. 29.

10) [τοῦ Διὸς] ] Glossemate haec intrusa et ejicienda esse videntur, quippe quae in utroque Codice desint. Quare uncinis illa notavi.

Πέλοπος, καὶ ἵπποι, δύο τε ἄνδρες, ἱπποκόμοι δὴ καὶ οὗτοι τῷ Πέλοπι. καὶ αὖθις ὁ ἀετὸς κάτεισιν ἐς ςενὸν, καὶ κατὰ τοῦτο Ἀλφειὸς ἐπ᾽ αὐτοῦ πεποίηται. τῷ δὲ ἀνδρὶ ὃς ἡνιοχεῖ τῷ Πέλοπι, λόγῳ μὲν τῷ Τροιζηνίων, ἔςιν ὄνομα Σφαῖρος· ὁ δὲ ἐξηγητὴς ἔφασκεν ὁ ἐν Ὀλυμπίᾳ Κίλλαν εἶναι. τὰ μὲν δὴ ἔμπροσθεν ἐν τοῖς ἀετοῖς[11]) ἔςι Παιωνίου, γένος ἐκ Μένδης[12]) δὴ τῆς Θρακίας· τὰ δὲ ὄπισθεν αὐτῶν Ἀλκαμένους ἀνδρὸς ἡλικίαν τε κατὰ ἰδίαν τὰ δευτερεῖα ἐνεγκαμένου[13]) σοφίας ἐς ποίησιν ἀγαλμάτων. τὰ δὲ ἐν τοῖς ἀετοῖς ἔςιν αὐτῷ[14]) Λαπιθῶν ἐν τῷ Πειρίθου γάμῳ πρὸς Κενταύρους μάχη. κατὰ μὲν δὴ τοῦ ἀετοῦ τὸ μέσον, Πειρίθους ἐςί· παρὰ δὲ αὐτὸν, τῇ μὲν Εὐρυτίων, ἡρπακὼς τὴν γυναῖκά ἐςι τοῦ Πειρίθου, καὶ ἀμύνων Καινεὺς τῷ Πειρίθῳ, τῇ δὲ Θησεὺς ἀμυνόμενος πελέκει τοὺς Κενταύρους. Κένταυρος δὲ ὁ μὲν παρθένον, ὁ δὲ παῖδα ἡρπακώς ἐςιν ὡραῖον. ἐποίησε δὲ (ἐμοὶ δοκεῖν) ταῦτα ὁ Ἀλκαμένης, Πειρίθουν

11) ἔμπροσθεν ἐν τοῖς ἀετοῖς] Syllaba εν duplicanda semel exciderat; quare illam restitui. Sic paullo supra et infra τὰ δὲ ἐν τοῖς ἀετ.

12) Παιωνίου, γένος ἐκ Μένδης etc.] C. 26. init. dicitur Μενδαῖος Παιόνιος. Inde *Jun.* in Catologo Artific. *Mendaeum* statuarium temere protulisse, recte arguit Valkenar. Diatr. p. 215.

13) ἡλικίαν τε κατὰ ἰδίαν τὰ δευτερεῖα ἐν.] *Amas.* interpretatur: *aetate sua uno tantum artifice inferiorem.* Sed *Kuhn.* ingeniose et docte emendat ἡλικίαν τε κατὰ Φειδίαν καὶ τὰ δ. ἐ., *qui vixit aetate Phidiae, et secundus ab illo est in signorum artificio.* Sic L. VII. C. 4. ὁ Σμίλις ἐςὶν ἡλικίαν κατὰ Δαίδαλον.

14) αὐτῷ] Scil. Ἀλκαμένει πεποιημένα. Mallem tamen scribere αὐτοῦ sc. Ἀλκαμένους. Sic αὐτῷ cum ὄπισθεν mutare, uti *Goldhagen* vult in vers. germ., minime est necessarium. Mox pro μάχη Cod. Mosc. exhibet ἡ μάχη.

θουν τε εἶναι Διὸς ἐν ἔπεσι τοῖς Ὁμήρου [15]) δεδιδαγμένος, καὶ Θησέα ἐπιςάμενος ὡς εἴη τέταρτος Πέλοπος. ἔςι δὲ ἐν Ὀλυμπίᾳ καὶ Ἡρακλέους τὰ πολλὰ τῶν ἔργων. ὑπὲρ μὲν τοῦ ναοῦ πεποίηται τῶν θυρῶν ἡ ἐξ Ἀρκαδίας ἄγρα τοῦ ὑὸς, καὶ τὰ πρὸς Διομήδην τὸν Θρᾷκα, καὶ ἐν Ἐρυθείᾳ πρὸς Γηρυόνην, καὶ Ἄτλαντός τε τὸ Φόρημα ἐκδέχεσθαι μέλλων, καὶ τῆς κόπρου καθαίρων τὴν γῆν ἐςιν Ἠλείοις. ὑπὲρ δὲ τοῦ ὀπισθοδόμου τῶν θυρῶν τοῦ ζωςῆρος τὴν Ἀμαζόνα ἐςὶν ἀφαιρούμενος, καὶ τὰ ἐς τὴν ἔλαφον [16]) καὶ τὸν ἐν Κνωσσῷ ταῦρον, καὶ ὄρνιθας τὰς ἐπὶ Στυμφήλῳ καὶ ἐς ὕδραν τε καὶ τὸν ἐν τῇ γῇ τῇ Ἀργείᾳ λέοντα.
3 Τὰς θύρας δὲ εἰσιόντι τὰς χαλκᾶς, ἔςιν ἐν δεξιᾷ πρὸ τοῦ κίονος, Ἴφιτος ἀπὸ γυναικὸς ςεφανούμενος Ἐκεχειρίας, ὡς τὸ ἐλεγεῖον τὸ ἐπ' αὐτούς [17]) φησιν. ἑςήκασι δὲ καὶ ἐντὸς τοῦ ναοῦ κίονες· καὶ ςοαί τε ἔνδον ὑπερῷοι, καὶ πρόοδος δι' αὐτῶν ἐπὶ τὸ ἄγαλμά ἐςι [18]). πεποίηται δὲ καὶ ἄνοδος ἐπὶ τὸν ὄροφον σκολιά.

15) ἔπεσι τοῖς Ὁμήρου] Cod. Vind. τοῦ Ὁμ. Vid. Il. ξ. v. 317. 18. Ad τέταρτος ſupple ἀπόγονος. Conf. Plutarch. Theſ. ſ. 3.

16) τὴν ἔλαφον] *Cerva Cerynitis* intelligenda eſt, de qua vid. Apollodor. II. 5. 3.

17) ἐπ' αὐτούς] pro ἐς αὐτοὺς, *quod ad illos* (ſc. Iphitum cum Ecechiria) *pertinet. Sylb.* forte ἐπ' αὐτοῖς legendum eſſe monet, uti ſupra hoc capite ἐπίγραμμα τὸ ἐπὶ τῇ ἀσπίδι, et C. 15. ἐπίγραμμα δὲ ἐπ' αὐτῷ.

18) κίονες· καὶ ςοαί τε ἔνδον ὑπερῷοι, καὶ — ἐςι] Sic rectius interpunxiſſe mihi videor, ut καὶ ςοαί τε ἔνδον ὑπερῷοι non a praecedente ἑςήκασι pendeant, ſed ad ſubſequens ἐςὶ (vel omiſſum εἰσὶ) referantur. Nec ſic ἔνδον redundare, nec corruptum eſſe, videtur. Στοαὶ ὑπερῷοι cum noſtrorum *Porlauben, Porkirchen* quodammodo conveniunt.

## CAPUT XI.

Simulacri Jovis Olympii ejusque throni in templo Olympico accuratior descriptio.

Καθέζεται μὲν δὴ ὁ Θεὸς ἐν θρόνῳ χρυσοῦ πεποιημένος καὶ ἐλέφαντος· στέφανος δὲ ἐπίκειταί οἱ [1]) τῇ κεφαλῇ, μεμιμημένος ἐλαίας κλῶνας. ἐν μὲν δὴ τῇ δεξιᾷ φέρει Νίκην ἐξ ἐλέφαντος καὶ ταύτην καὶ χρυσοῦ, ταινίαν τε ἔχουσαν, καὶ ἐπὶ τῇ κεφαλῇ στέφανον· τῇ δὲ ἀριστερᾷ τοῦ θεοῦ χάριέν ἐστι σκῆπτρον μετάλλοις τοῖς πᾶσιν ἠνθισμένον. ὁ δὲ ὄρνις ὁ ἐπὶ τῷ σκήπτρῳ καθήμενος, ἐστὶν ὁ ἀετός. χρυσοῦ δὲ καὶ τὰ ὑποδήματα τῷ θεῷ, καὶ ἱμάτιον ὡσαύτως ἐστί. τῷ δὲ ἱματίῳ ζώδιά τε καὶ τῶν ἀνθῶν τὰ κρίνα ἐστὶν
2 ἐμπεποιημένα. Ὁ δὲ θρόνος ποικίλος μὲν χρυσῷ καὶ λίθοις, ποικίλος δὲ καὶ ἐβένῳ τε καὶ ἐλέφαντι. ἔστι καὶ ζῶά τε ἐπ' αὐτοῦ γραφῇ μεμιγμένα, καὶ ἀγάλματά ἐστιν εἰργασμένα [2]). Νῖκαι μὲν δὴ τέσσαρες, χορευουσῶν παρεχόμεναι σχῆμα κατὰ ἕκαστον τοῦ θρόνου τὸν πόδα [3])· δύο δέ εἰσιν ἄλλαι πρὸς ἑκάστου πέζῃ ποδός. τῶν ποδῶν δὲ ἑκατέρῳ τῶν ἔμπροσθεν, παῖδές τε ἐπίκεινται Θηβαίων ὑπὸ σφιγγῶν ἡρπασμένοι, καὶ ὑπὸ τὰς σφίγγας, Νιόβης τοὺς παῖδας Ἀπόλλων κατατοξεύουσι καὶ Ἄρτεμις. τῶν

1) ἐπίκειταί οἱ] In utroque Codice οἱ abest, et mox in Cod. Vind. καὶ ante χρυσοῦ.

2) ζῶά τε — καὶ ἀγάλματά ἐ. εἰρ.] Vid. *Heyne* V. C. *Antiqu. Auff.* 2tes *St.* p. 165. q, et de ambiguo significatu vocum ζῶα et ἀγάλματα *Voelkel* l. c. p. 170. sq. Mihi quidem ζῶα et ζώδια *minutiora varii generis simulacra* denotare videntur.

3) ἕκαστον τοῦ θρόνου τὸν πόδα] Cod. Vind. haud male exhibet ἑκ. τ. θ. τῶν ποδῶν.

τῶν δὲ ἐκ τοῦ θρόνου μεταξὺ ποδῶν τέσσαρες κανόνες εἰσὶ, ποδὸς ἐς πόδα ἕτερον διήκων ἕκαστος[4]). τῷ μὲν δὴ κατ' εὐθὺ τῆς ἐσόδου κανόνι, ἑπτά ἐστιν ἀγάλματα ἐπ' αὐτῷ· τὸ γὰρ ὄγδοον ἐξ αὐτῶν οὐκ ἴσασι τρόπον ὅντινα ἐγένετο ἀφανές. εἴη δ' ἂν ἀγωνισμάτων ἀρχαίων[5]) ταῦτα μιμήματα· οὐ γάρ πω τὰ ἐς τοὺς παῖδας ἐπὶ ἡλικίας ἤδη καθειστήκει τῆς Φειδίου. τὸν δὲ αὐτὸν ταινίᾳ τὴν κεφαλὴν ἀναδούμενον ἐοικέναι τὸ εἶδος Παντάρκει λέγουσιν, μειράκιον δὲ Ἠλεῖον τὸν Παντάρκη[6]) παιδικὰ εἶναι τοῦ Φειδίου. ἀνείλετο δὲ καὶ ἐν παισὶν ὁ Παντάρκης πάλης νίκην ὀλυμπιάδι ἕκτῃ πρὸς ταῖς ὀγδοήκοντα. ἐπὶ δὲ τῶν κανόνων τοῖς λοιποῖς, ὁ λόχος ἐστὶν ὁ σὺν Ἡρακλεῖ μαχόμενος πρὸς Ἀμαζόνας. ἀριθμὸς μὲν δὴ συναμφοτέρων ἐς ἐννέα ἐστὶ καὶ εἴκοσι· τέτακται δὲ καὶ Θησεὺς ἐν τοῖς συμμάχοις τῷ Ἡρακλεῖ. ἀνέχουσι δὲ οὐχ οἱ πόδες μόνοι τὸν θρόνον, ἀλλὰ καὶ κίονες, ἴσοι τοῖς ποσὶ μεταξὺ ἑστηκότες τῶν ποδῶν. ὑπελθεῖν[7]) δὲ οὐχ

οἷόν

4) τῶν δὲ ἐκ — εἰσὶ, ποδὸς — διήκων ἕ.] *Inter pedes vero, qui e throno descendunt, quatuor regulae* (transversae) *sunt, quarum quaelibet ex uno pede ad alterum pertinet.* Pro vulgata διώκων *Sylburgii* et aliorum auctoritate διήκων rescripsi. ἐκ ante τοῦ θρ. male transpositum ac voci ποδὸς praeponendum esse, *Goldhagen* censet et *Voelkel* l. c.

5) ἀρχαίων] In utroque Cod. perperam deest; ad ea tamen declaranda, quae statim subsequuntur, abesse non potest. Pausan. scilicet indicare vult, *prisci moris certamina patrorum istis signis expressa fuisse; Phidiae enim aetate, quae ad impuberum certamina abolita pertinent, nondum instituta fuisse.* Sic commode haec explicat *Voelkel*, et de difficiliori hujus loci interpretatione copiose disputat l. c. p. 188 — 192.

6) μειράκιον δὲ Ἠλεῖον τὸν Παντάρκη etc.] Phidiam Jovis Olympii digito inscripsisse Παντάρκης καλὸς *Clem. Alex.* refert *admon. ad gent.* p. 35. C.

7) ὑπελθεῖν] Cod. Vind. ἐπελθεῖν.

οἷόν τέ ἐστιν ὑπὸ τὸν θρόνον, ὥσπερ γε καὶ ἐν Ἀμύκλαις ἐς τὰ ἐντὸς τοῦ θρόνου παρερχόμεθα [8])· ἐν Ὀλυμπίᾳ δὲ ἐρύματα τρόπον τοίχων πεποιημένα, τὰ δὲ ἀπείργοντά ἐστι. τούτων τῶν ἐρυμάτων ὅσον μὲν οὖν [9]) ἀπαντικρὺ τῶν θυρῶν ἐστιν, ἀλήλιπται κυανῷ μόνον, τὰ δὲ λοιπὰ αὐτῶν παρέχεται Παναίνου γραφάς. ἐν δὲ αὐταῖς ἐστι μὲν οὐρανὸν καὶ γῆν Ἄτλας ἀνέχων· παρέστηκε δὲ καὶ Ἡρακλῆς ἐκδέξασθαι τὸ ἄχθος ἐθέλων τοῦ Ἄτλαντος. ἔτι δὲ Θησεύς τε καὶ Πειρίθους, καὶ Ἑλλάς τε καὶ Σαλαμὶς ἔχουσα ἐν τῇ χειρὶ τὸν ἐπὶ ταῖς ναυσὶν ἄκραις ποιούμενον κόσμον [10])· Ἡρακλέους τε τῶν ἀγωνισμάτων τὸ ἐς τὸν λέοντα τὸν ἐν Νεμέᾳ, καὶ τὸ ἐς Κασσάνδραν παρανόμημα Αἴαντος. Ἱπποδάμειά τε ἡ Οἰνομάου σὺν τῇ μητρὶ, καὶ Προμηθεὺς ἔτι ἐχόμενος μὲν ὑπὸ τῶν δεσμῶν, Ἡρακλῆς δὲ ἐς αὐτὸν ὁρῶν. λέγεται γὰρ δὴ καὶ τόδε ἐς τὸν Ἡρακλέα, ὡς ἀποκτεῖναι μὲν τὸν ἀετὸν, ὃς ἐν τῷ Καυκάσῳ τὸν Προμηθέα ἐλύπει, ἐξέλοιτο δὲ καὶ αὐτὸν Προμηθέα ἐκ τῶν δεσμῶν. τελευταῖα δὲ ἐν τῇ γραφῇ, Πενθεσίλειά τε ἀφιεῖσα τὴν ψυχὴν, καὶ Ἀχιλλεὺς ἀνέχων ἐστὶν αὐτήν. καὶ Ἑσπερίδες δύο φέρουσι τὰ μῆλα, ὧν ἐπιτετράφθαι

8) ἐς τὰ ἐντὸς τοῦ θρόνου παρερχ.] Pro τὸν ἐντὸς rescripsi τὰ ἐντ., monente *Heyne* V. C. *Antiqu. Auff.* I. p. 4. c. et οὐ vulgatum ante παρερχ. delevi Codicis Vind. auctoritate, sicuti jam alii viri docti illud tollendum esse conjecerant, ut Pausanias sibi constaret, qui L. III. C. 18. ad interiora throni Amyclaei accedi posse narraverat.

9) οὖν] In utroque Codice recte deest.

10) τὸν ἐπὶ — κόσμον] Hoc *puppis ornamentum* ἄφλαστον dicebatur, lat. *aplustrum*, et pinnarum seu alarum similitudinem referebat. Vid. *Scheffer.* de milit. nav. L. II. C. 6. p. 157. 158. et *Salmas.* Exerc. p. 572. 73.

τεάφθαι λέγονται τὴν Φρουράν. Πάναινος μὲν δὴ
οὗτος ἀδελφός τε ἦν Φειδίου [11]), καὶ αὐτοῦ καὶ Ἀθή-
νησιν ἐν Ποικίλῃ τὸ Μαραθῶνι ἔργον ἐςι γεγραμμένον.
ἐπὶ δὲ τοῖς ἀνωτάτω τοῦ θρόνου, πεποίηκεν ὁ Φειδίας
ὑπὲρ τὴν κεφαλὴν τοῦ ἀγάλματος, τοῦτο μὲν Χάρι-
τας, τοῦτο δὲ Ὥρας, τρεῖς ἑκατέρας. εἶναι γὰρ
θυγατέρας Διὸς καὶ ταύτας ἐν ἔπεσίν ἐςιν εἰρημένα.
Ὅμηρος δὲ ἐν Ἰλιάδι [12]) ἐποίησε τὰς Ὥρας καὶ ἐπιτε-
τράφθαι τὸν οὐρανὸν, καθάπερ τινὰς Φύλακας βα-
σιλέως αὐλῆς. τὸ ὑπόθημα δὲ τὸ ὑπὸ τοῦ Διὸς τοῖς
ποσὶν, ὑπὸ τῶν ἐν τῇ Ἀττικῇ καλούμενον θρανίον [13]),
λέοντάς τε χρυσοῦς, καὶ Θησέως ἐπειργασμένην ἔχει
μάχην τὴν πρὸς Ἀμαζόνας [14]), τὸ Ἀθηναίων πρῶτον
ἀνδραγάθημα ἐς οὐχ ὁμοφύλους. Ἐπὶ δὲ τοῦ βά- 3
θρου τοῦ θρόνου τε ἀνέχοντος καὶ ὅρος ἄλλος κόσμος [15])
περὶ

11) Πάναινος μὲν — ἀδελφός τε ἦν Φειδίου] Strab. L. VIII. p. 542. 43, qui plura de hoc Phidiae operis socio refert, ejus ἀδελφιδοῦς dicitur; cum Pausania vero consentit Plin. H. N. L. XXXV. C. 8. bis et L. XXXVI. G. 23.

12) ἐν Ἰλιάδι] Vid. Il. δ. v. 394 et ε. v. 750.

13) θρανίον] Hesych. θρανίον, ὑποπόδιον. Conf. Suid. et Pollux.

14) Θησέως — Ἀμαζόνας] Haec in Jovis Olympii βάθρῳ expressa fuisse, L. I. C. 17. legimus.

15) καὶ ὅρος ἄλλος κόσμ. etc.] Mendosam esse vocem ὅρος, omnes viderunt interpretes, sed varia ad illam emendandam conjicientes nihil profecerunt (v. *Voelkel* l. c. p. 217. — 221.). Qui Pausaniae scribendi rationem penitus inspexit, is statim ad rectam emendationem deferatur, et sic corrigat ac interpungat necesse est: ἐπὶ δὲ τ. β. τ. θ. τ. ἀνέχοντος καὶ ὍΣΟΣ ἄλλος κόσμος περὶ τὸν Δία, ἐπὶ etc.: *in basi vero, quae thronum sustinet et omnem reliquum, qui circa Jovem est, ornatum, in hac basi* etc. Familiaris enim est Pausaniae hic dictionis ὅσος et ὅσος ἄλλος usus ac constructio. Sic L. I. C. 25. δούλους ἐποίησε τοὺς ὑπεριδόντας καὶ ὅσοι μετὰ Μακεδόνων ἐτάχθησαν. L. X. C. 15. ὡς τὸ δόρυ — καὶ ὅσος καρπὸς ἐπὶ τῷ φοινικίῳ ἐπεποίητο.

περὶ τὸν Δία, ἐπὶ τούτου τοῦ βάθρου χρυσᾶ ποιήματα, ἀναβεβηκὼς ἐπὶ ἅρμα Ἥλιος, καὶ Ζεύς τέ ἐςι καὶ Ἥρα, παρὰ δὲ αὐτὸν Χάρις· ταύτης δὲ Ἑρμῆς ἔχεται, τοῦ Ἑρμοῦ δὲ Ἑςία· μετὰ δὲ τὴν Ἑςίαν Ἔρως ἐςὶν ἐκ θαλάσσης Ἀφροδίτην ἀνιοῦσαν ὑποδεχόμενος· τὴν δὲ Ἀφροδίτην ςεφανοῖ Πειθώ. ἐπείργαςαι δὲ καὶ Ἀπόλλων σὺν Ἀρτέμιδι, Ἀθηνᾶ τε καὶ Ἡρακλῆς· καὶ ἤδη τοῦ βάθρου πρὸς τῷ πέρατι Ἀμφιτρίτη καὶ Ποσειδῶν, Σελήνη τε ἵππον (ἐμοὶ δοκεῖν) ἐλαύνουσα. τοῖς δέ ἐςιν εἰρημένα ἐφ' ἡμιόνου τὴν θεὸν ὀχεῖσθαι, καὶ οὐχ ἵππου, καὶ λόγον γέ τινα
4 ἐπὶ τῷ ἡμιόνῳ λέγουσιν εὐήθη. Μέτρα δὲ τοῦ [16]) ἐν Ὀλυμπίᾳ Διὸς ἐς ὕψος τε καὶ εὖρος ἐπιςάμενος γεγραμμένα, οὐκ ἐν ἐπαίνῳ θήσομαι τοὺς μετρήσαντας· ἐπεὶ καὶ τὰ εἰρημένα αὐτοῖς μέτρα πολύ τι ἀποδέοντά ἐςιν, ἢ τοῖς ἰδοῦσι παρέςηκεν ἐς τὸ ἄγαλμα δόξα· ὅπου γε καὶ αὐτὸν τὸν θεὸν μάρτυρα ἐς τοῦ Φειδίου τὴν τέχνην γενέσθαι λέγουσιν. ὡς γὰρ δὴ ἐκτετελεσμένον ἤδη τὸ ἄγαλμα ἦν, ηὔξατο ὁ Φειδίας ἐπισημῆναι τὸν θεὸν, εἰ τὸ ἔργον ἐςὶν αὐτῷ κατὰ γνώμην· αὐτίκα δ' ἐς τοῦτο τοῦ ἐδάφους κατασκῆψαι κεραυνόν φασιν, ἔνθα ὑδρία καὶ ἐπίθημα ἐς ἐμὲ ἦν
5 ἡ χαλκῆ. Ὅσον δὲ τοῦ ἐδάφους ἐςὶν ἔμπροσθεν τοῦ ἀγάλματος, τοῦτο οὐ λευκῷ, μέλανι δὲ κατεσκεύαςαι τῷ λίθῳ. περιθεῖ δὲ ἐν κύκλῳ τὸν μέλανα λίθου Παρίου κρηπὶς, ἔρυμα εἶναι τῷ ἐλαίῳ τῷ ἐκχεομένῳ [17]). ἔλαιον γὰρ τῷ ἀγάλματί ἐςιν ἐν Ὀλυμ-

16) Μέτρα δὲ τοῦ etc.] De immani magnitudine seu altitudine huius signi conf. Strabo L. VIII. p. 542., Hygin. fab. 223. ac *Voelkel* l. c. p. 119. sq., qui docte et copiose de hoc egit.

17) τῷ ἐλ. τ. ἐκχεομένο] *Sylb.* ἐγχεομένῳ legendum putat Ad rem ipsam conf. Heyne V. C. *über*

Ὀλυμπίᾳ συμφέρον, καὶ ἔλαιόν ἐςι τὸ ἀπεῖργον, μὴ γίνεσθαι τῷ ἐλέφαντι βλάβος διὰ τὸ ἑλῶδες τῆς Ἄλτεως. ἐν ἀκροπόλει δὲ τῇ Ἀθηναίων τὴν καλουμένην παρθένον, οὐκ ἔλαιον, ὕδωρ δὲ τὸ ἐς τὸν ἐλέφαντα ὠφελοῦν ἐςιν. ἅτε γὰρ αὐχμηρᾶς τῆς ἀκροπόλεως οὔσης διὰ τὸ ἄγαν ὑψηλὸν, τὸ ἄγαλμα ἐλέφαντος πεποιημένον, ὕδωρ καὶ δρόσον τὴν ἀπὸ τοῦ ὕδατος ποθεῖ. ἐν Ἐπιδαύρῳ δὲ ἐρομένου μου καθ' ἥντινα αἰτίαν οὔτε ὕδωρ τοῦ Ἀσκληπιοῦ [18]) σφίσιν οὔτε ἔλαιόν ἐςιν ἐγχεόμενον, ἐδίδασκόν με οἱ περὶ τὸ ἱερὸν, ὡς καὶ τὸ ἄγαλμα τοῦ θεοῦ καὶ ὁ θρόνος ἐπὶ φρέατι εἴη πεποιημένα.

## CAPUT XII.

De ebore, elephanti cornu, non dente — velo laneo in templo Jovis Olympii — donariis et fignis hujus templi — Adriani et Trajani imperator. ftatuis operibusque Trajani infignibus — Augufti imperat. figno ex electro et Nicomedis ex ebore confecto — de electro — Neronis et aliis donariis.

Ὅσοι δὲ ἀνθρώπων τὰ διὰ τοῦ ςόματος ἐς τὸ ἐκτὸς ἐλέφασιν ἐξίσχοντα ὀδόντας τῶν θηρίων εἶναι, καὶ οὐ κέρατα ἥγηνται [1]), τούτοις ἐςὶν ἀπιδεῖν μὲν ἐς τὰς ἄλκας

*über das Elfenb. der Alten*, in *Bibl. der fchönen Wiffenfch. XV. B. 1. St.*

18) τοῦ Ἀσκληπιοῦ] Scil. ἀγάλματι. Forte praeftet fcribere τῷ Ἀσκληπιοῦ. Mox pro καὶ τὸ ἄγαλμα uterque Cod. exhibet τὸ ἄγ. omiffo καί.

1) Ὅσοι δὲ — ἥγηνται etc.] Cod. Vind. ἡγοῦνται. Alia loca, quae veterum fententias de ebore declarant, dedit Weffeling. ad Diodor. L. II. C. 19. Iftos autem eboris dentes ex fuperiori elephanti maxilla enafci, noftra aetate fatis compertum habemus; vid. *Heyne* V. C.

ἄλκας τὸ ἐν Κελτικῇ θηρίον [2]), ἀπιδεῖν δὲ ἐς τοὺς Αἰθιοπικοὺς ταύρους [3]). ἄλκαι μὲν γὰρ καὶ κέρατα ἐπὶ ταῖς ὀφρύσιν ἔχουσιν οἱ ἄῤῥενες, τὸ δὲ θῆλυ οὐ φύει τοπαράπαν. οἱ δὲ Αἰθιοπικοὶ ταῦροι τὰ κέρατα φύουσιν ἐπὶ τῇ ῥινί. τίς ἂν οὖν ποιήσαιτο ἔτι ἐν μεγάλῳ θαύματι διὰ ϛόματος ζώῳ κέρατα ἐκφῦναι; πάρεϛι δὲ ἀναδιδάσκεσθαι καὶ τοῖσδε ἔτι· κέρατα γὰρ κατὰ ἐτῶν περίοδον ἀπογίνεται, καὶ αὖθις ἐκβλαϛάνει ζώοις. καὶ τοῦτο ἔλαφοί τε καὶ δορκάδες, ὡσαύτως δὲ καὶ οἱ ἐλέφαντες πεπόνθασιν. ὀδοὺς δὲ οὐκ ἔϛιν ὅτῳ δεύτερα παρέϛαι ζώῳ τῶν γε ἤδη τελείων. εἰ δὲ ὀδόντες τὰ διὰ ϛόματος ἐξίσχοντα, καὶ μὴ κέρατα ἦσαν, πῶς ἂν καὶ ἀνεφύοντο αὖθις; οὐ μὴν οὐδὲ εἴκειν πυρὶ ἔχουσιν ὀδόντες φύσιν. κέρατα δὲ καὶ βοῶν καὶ ἐλεφάντων, ἐς ὁμαλές τε ἐκ περιφεροῦς, καὶ ἐς ἄλλα ὑπὸ πυρὸς ἄγεται σχήματα. Ποταμίοις γε μὴν ἵπποις καὶ ὑσὶν ἡ κάτωθεν γένυς τοὺς χαυλιόδοντας φέρει· κέρατα δὲ ἀναφυόμενα ὁρῶμεν ἐκ γενύων [4]). ἐλέφαντι οὖν τὰ κέρατα ἴϛω τὶς διὰ κροτάφων κατερχόμενα ἄνωθεν, καὶ οὕτως ἐς τὸ ἐκτὸς ἐπι-

V. [C. *über das Elfenbein der Alten* (in *Bibl. der schön. Künste u. Wiss.* XV. *B.* 1. *St.*) p. 22.

2) τὰς ἄλκας — θηρίον] De *alce* (*Elendthier*) plura habet Pausan. L. IX. C. 21. et Plin. H. N. L. VIII. C. 15. init., ubi vid. not. Conf. *Beckman* V. C. ad Aristotel. Mirab. Auscult. p. 68. Quantum scriptores in hac fera describenda inter sese discrepent, notavit Salmas. Exercit. p. 232.

3) Αἰθιοπικοὺς ταύρους] De his vid. L. IX. C. 21., ubi eosdem quoque *rhinocerotas* dici affirmat.

4) κέρατα δὲ — ὁρῶμεν ἐκ γενύων] Sententiae ratio, quam expromere vult Pausanias, requirit negativam particulam, cujus vestigia in mendosa utriusque Codicis lectione ἐκ καινίων mihi latere videntur. Scribendum scilicet — οὐκ ἐκ γενύων, uti *Kuhn.* jam monuit.

ἐπιστρέφοντα. τοῦτο οὐκ ἀκοὴν γράφω [5]), θεασάμενος δὲ ἐλέφαντος ἐν γῇ τῇ Καμπανῶν κρανίον ἐν Ἀρτέμιδος ἱερῷ· σταδίους δὲ ὡς τριάκοντα ἀπέχει μάλιστα Καπύης τὸ ἱερόν· αὕτη δὲ ἡ μητρόπολις ἐστιν ἡ Καπύη τῶν Καμπανῶν. ὁ μὲν δὴ ἐλέφας παρὰ τὰ λοιπὰ ζῶα διάφορον καὶ τὴν ἔκφυσιν παρέχεται τῶν κεράτων, ὥσπερ γε καὶ τὸ μέγεθός ἐστιν αὐτῷ καὶ εἶδος οὐδὲν ἐοικότα ἑτέρῳ θηρίῳ. φιλότιμοι δὲ ἐς τὰ μάλιστά μοι καὶ ἐς θεῶν τιμὴν οὐ φειδωλοὶ χρημάτων γενέσθαι δοκοῦσιν οἱ Ἕλληνες, οἷς γε παρὰ Ἰνδῶν ἤγετο καὶ ἐξ Αἰθιοπίας ἐλέφας ἐς ποίησιν ἀγαλμάτων.

Ἐν δὲ Ὀλυμπίᾳ παραπέτασμα ἐρεοῦν κεκοσμη- 2
μένον ὑφάσμασιν Ἀσσυρίοις καὶ βαφῇ πορφύρας τῆς Φοινίκων, ἀνέθηκεν Ἀντίοχος, οὗ δὴ καὶ ὑπὲρ τοῦ θεάτρου τοῦ Ἀθήνησι ἡ αἰγὶς ἡ χρυσῆ [6]) καὶ ἐπ' αὐτῆς ἡ Γοργὼ, ἡ ἐς τὰ ἀναθήματα [7]). τοῦτο οὐκ ἐς τὸ ἄνω τὸ παραπέτασμα πρὸς τὸν ὄροφον, ὥσπερ γε Ἀρτέμιδος τῆς Ἐφεσίας, ἀνέλκουσι, καλωδίοις δὲ ἐπιχαλῶντες, καθιᾶσιν ἐς τὸ ἔδαφος. Ἀναθήματα 3
δὲ ὁπόσα ἔνδον ἢ ἐν τῷ προνάῳ κεῖται, θρόνος ἐστὶν Ἀρίμνου τοῦ βασιλεύσαντος ἐν Τυρσηνοῖς, ὃς πρῶτος βαρβάρων ἀναθήματι τὸν ἐν Ὀλυμπίᾳ Δία ἐδωρήσατο· καὶ ἵπποι Κυνίσκας χαλκοῖ, σημεῖα Ὀλυμπικῆς νίκης [8]). οὗτοι μέγεθος μὲν ἀποδέουσιν ἵππων, ἑστήκασι δὲ ἐν τῷ προνάῳ τοῖς ἐσιοῦσιν ἐν δεξιᾷ.



5) ἀκοὴν γρ.] Cod. Vindob. dat ἀκοῇ γρ.

6) οὗ — ἡ αἰγὶς ἡ χρυσῆ etc.] Conf. L. I. C. 21.

7) ἡ ἐς τὰ ἀναθήματα] Kuhn. legendum conjicit ἡ ἐς τὰ ἐπιθήματα (de qua voce vid. not. 13. ad L. IV. C. 16.). Sed vulgata bene ferri potest, si ἡ non ad Γοργὼ referas, sed ad αἰγίς.

8) Ὀλυμπικῆς νίκ.] Cod. M. Ὀλυμπιακῆς νίκ., uti aliquoties supra.

κεῖται δὲ καὶ τρίπους ἐπίχαλκος, ἐφ᾽ οὗ, πρὶν ἢ τὴν τράπεζαν ποιηθῆναι, προετίθεντο τοῖς νικῶσιν οἱ στέ-
4 φανοι. Βασιλέων δὲ ἀνδριάντας, Ἀδριανοῦ μὲν αἱ ἐς τὸ Ἀχαϊκὸν τελοῦσαι πόλεις ἀνέθεσαν Παρίου λίθου, Τραϊανοῦ δὲ οἱ πάντες Ἕλληνες. οὗτος προσεκτήσατο ὁ βασιλεὺς Γέτας τοὺς ὑπὲρ Θρᾴκης, Ὀσρόῃ τε τῷ ἀπογόνῳ τῷ Ἀρσάκου καὶ Πάρθοις ἐπολέμησεν. ὁπόσα δὲ ἐς ἔργων [9]) ἔχει οἱ κατασκευὴν, ἀξιολογώτατά ἐστι λουτρὰ ἐπώνυμα αὐτοῦ· καὶ θέατρον μέγα κυκλοτερὲς πανταχόθεν, καὶ οἰκοδόμημα ἐς ἵππων δρόμους, προῆκον καὶ ἐς δύο σταδίων μῆκος· καὶ ἡ Ῥωμαίων ἀγορὰ κόσμου τε εἵνεκα τοῦ λοιποῦ θέας ἀξία, καὶ μάλιστα ἐς τὸν ὄροφον χαλκοῦ πεποιημένον.
5 Αἱ δὲ εἰκόνες αἱ τοῖς κατασκευάσμασι τοῖς περιφερέσιν ἐγκείμεναι, ἡ μὲν τοῦ ἠλέκτρου βασιλέως Ῥωμαίων ἐστὶν Αὐγούστου, ἡ δὲ τοῦ ἐλέφαντος, βασιλέως Νικομήδους ἐλέγετο εἶναι Βιθυνῶν. ἀπὸ τούτου δὲ καὶ τῇ μεγίστῃ τῶν ἐν Βιθυνίᾳ πόλεων μετεβλήθη τὸ ὄνομα Ἀστακῷ τὰ πρὸ τούτου καλουμένῃ. τὰ δὲ ἐξ ἀρχῆς αὐτῇ Ζυποίτης ἐγένετο οἰκιστὴς, Θρᾷξ γένος, εἰκάζοντί
6 γε ἀπὸ τοῦ ὀνόματος. Τὸ δὲ ἤλεκτρον τοῦτο [10]), οὗ τῷ Αὐγούστῳ πεποίηνται τὴν εἰκόνα, ὅσον μὲν αὐτόματον ἐν τοῦ Ἠριδανοῦ ταῖς ψάμμοις εὑρίσκεται, σπανίζεται τὰ μάλιστα, καὶ ἀνθρώπῳ τίμιον πολλῶν ἐστιν ἕνεκα·

9) ὁπόσα δὲ ἐς ἔργων etc.] De operibus Trajani Romae exstructis Pausaniam hic loqui, dubium esse nequit. *Fori* quoque mentio fit L. X. C. 5. Vid. de eo Lipf. de magnit. Rom. L. III.

10) Τὸ δὲ ἤλεκτρον τοῦτο etc.] De *electro*, *succino*, quod Pausanias hic innuit, locus classicus est Plin. H. N. L. XXXVII. C. 2. f. 11. sq. Conf. *Salmas.* Exercit. p. 434—436. et, qui omnia de eo collegit, *Gesner.* in Comment. Soc. scient. Goetting. T. III. p. 88. Mox pro ἐν τοῦ Ἠριδανοῦ uterque Cod. exhibet ἐκ τ. Ἠρ.

ἕνεκα· τὸ δὲ ἄλλο ἤλεκτρον [11]), ἀναμεμιγμένος ἐστὶν ἀργύρῳ χρυσός. Ἐν δὲ τῷ ἐν Ὀλυμπίᾳ ναῷ, Νέρωνος ἀναθήματα, τρίτος μὲν ἐς κοτίνου φύλλα στέφανος, τέταρτος δὲ ἐς δρυός ἐστι μεμιμημένος. κεῖνται δὲ αὐτόθι καὶ ἀσπίδες χαλκαῖ πέντε καὶ εἴκοσι, τοῖς ὁπλιτεύουσιν εἶναι φορήματα ἐς τὸν δρόμον. στῆλαι δὲ ἄλλαι τε ἑστήκασι, καὶ ἡ πρὸς Ἀθηναίους καὶ Ἀργείους τε καὶ Μαντινέας ἔχουσα ὅρκον παρὰ Ἠλείων ἐς συμμαχίαν ἐτῶν ἑκατόν [12]). 7

## CAPUT XIII.

De Pelopio in Alti — facris Pelopis in illo — Pelopis offibus narratio — Pelopis et Tantali fede in Afia — ara Jovis Olympii e cinere congefta et facrificiis, quae in ea fiunt — ara e fanguine conftructa.

Ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως καὶ Πελόπιον ποτὲ τετιμημένον τέμενος. ἡρώων δὲ τῶν ἐν Ὀλυμπίᾳ τοσοῦτον προτετιμημένος ἐστὶν ὁ Πέλοψ ὑπὸ Ἠλείων, ὅσον Ζεὺς θεῶν τῶν ἄλλων [1]). ἔστιν οὖν τοῦ ναοῦ τοῦ Διὸς κατὰ δεξιὰν τῆς ἐσόδου πρὸς ἄνεμον Βορέαν τὸ Πελόπιον, ἀφεστηκὸς μὲν τοῦ ναοῦ τοσοῦτον, ὡς μεταξὺ καὶ ἀνδριάντας καὶ ἀναθήματα ἄλλα ἀνακεῖσθαι· παρήκει δὲ ὡς ἐπὶ τὸν ὀπισθόδομον ἀπὸ μέσου μάλιστα ἀρξά-



11) τὸ δὲ ἄλλο ἤλεκτρον etc.] De electro, metallo, vid. Strab. L. III. p. 217., Plin. H. N. L. XXXIII. C. 4. f. 23. Conf. Salmaf. Exerc. p. 1081. et Ifiodor. Orig. L. XVI. C. 23.

12) καὶ ἡ πρὸς — ἐτῶν ἑκατόν] De hac re, quam Pauf. fupra C. 4. tetigit, vid. Thucyd. L. V. f. 47. In Cod. M. τε poft Ἀργείους abeft.

1) θεῶν τῶν ἄλλων] Uterque Cod. τῶν ἄλλων θεῶν.

ἀρξάμενον τοῦ ναοῦ, καὶ λίθων τε θριγκῷ περιέχεται, καὶ δένδρα ἐντὸς πεφυκότα καὶ ἀνδριάντες εἰσὶν ἀνακείμενοι. ἔσοδος δὲ ἐς αὐτὸ πρὸς δυσμῶν ἐστιν ἡλίου. τοῦτο ἀπονεῖμαι τῷ Πέλοπι Ἡρακλῆς ὁ Ἀμφιτρύωνος λέγεται· τέταρτος γὰρ δὴ ἀπόγονος καὶ οὗτος ἦν Πέλοπος. λέγεται δὲ καὶ ὡς ἔθυσεν ἐς τὸν βόθρον τῷ
2 Πέλοπι. Θύουσι δὲ αὐτῷ καὶ νῦν ἔτι οἱ κατὰ ἔτος τὰς ἀρχὰς ἔχοντες· τὸ δὲ ἱερεῖόν ἐστι κριὸς μέλας. ἀπὸ ταύτης οὐ γίνεται τῷ μάντει μοῖρα τῆς θυσίας· τράχηλον δὲ μόνον[2]) δίδοσθαι τοῦ κριοῦ καθέστηκε τῷ ὀνομαζομένῳ Ξυλεῖ. ἔστι δὲ ὁ ξυλεὺς ἐκ τῶν οἰκετῶν τοῦ Διός· ἔργον δὲ αὐτῷ πρόκειται τὰ ἐς τὰς θυσίας ξύλα τεταγμένου λήμματος καὶ πόλεσι παρέχειν καὶ ἀνδρὶ ἰδιώτῃ[3]). τὰ δὲ λεύκης μόνης ξύλα, καὶ ἄλλων δένδρων ἐστὶν οὐδέν. οἷος δ' ἂν ἢ αὐτῶν Ἠλείων[4]) ἢ ξένων τοῦ θυομένου τῷ Πέλοπι ἱερείου φάγῃ τῶν κρεῶν, οὐκ ἔστιν οἱ ἐσελθεῖν παρὰ τὸν Δία. τὸ δὲ αὐτὸ καὶ ἐν τῇ Περγάμῳ τῇ ὑπὲρ ποταμοῦ[5]) Καΐκου πεπόνθασιν οἱ τῷ Τηλέφῳ θύοντες· ἔστι γὰρ δὴ οὐδὲ τούτοις ἀναβῆναι πρὸ λουτροῦ παρὰ τὸν Ἀσκληπιόν.
3 Λέγεται δὲ καὶ τοῖον· μηκυνομένου τοῦ πρὸς Ἰλίῳ πολέμου, προαγορεῦσαι αὐτοῖς τοὺς μάντεις, ὡς αἱρήσουσιν οὐ πρότερον τὴν πόλιν, πρὶν ἂν τὰ Ἡρακλέους

2) μόνον] Pro vulgata μόνου illud reſtitui ex utroque Codice et Amaſaei interpretatione.

3) ἀνδρὶ ἰδιώτῃ] Cod. Vind. ἀνδράσιν ἰδιώταις exhibet, et mox μόνα ξύλα pro μόνης ξύλα, ac Cod. Moſc. ἄλλου δένδρων pro ἄλλων δένδρων. Similiter C. 14. init. καὶ ἀπ' οὐδενὸς δένδρου τῶν ἄλλων.

4) οἷος δ' ἂν ἢ αὐτῶν Ἠλείων] Pro οἷος mallem ὅς. Poſt αὐτῶν Cod. Vind. inſerit τῶν.

5) τῇ ὑπὲρ ποταμοῦ etc.] Cod. Vind. τῇ ὑπὲρ τοῦ ποταμοῦ. Ad rem ipſam conf. ſupra L. III. C. 36. in fine et L. I. C. 4. in fine.

κλέους τόξα καὶ ὀστοῦν ἐπαγάγωνται Πέλοπος. οὕτω δὴ μεταπέμψασθαι μὲν Φιλοκτήτην φασὶν αὐτοὺς ἐς τὸ στρατόπεδον· ἀχθῆναι δὲ καὶ τῶν ὀστῶν ὠμοπλάτην σφίσιν ἐκ Πίσης τῶν Πέλοπος. ὡς δὲ οἴκαδε ἐκομίζοντο, ἀπόλλυνται [6]) περὶ Εὔβοιαν, καὶ ἡ ναῦς ἀπὸ τοῦ χειμῶνος ἡ τὸ ὀστοῦν φέρουσα τὸ Πέλοπος. ἔτεσι δὲ ὕστερον πολλοῖς μετὰ ἅλωσιν Ἰλίου, Δαμάρμενον ἁλιέα ἐξ Ἐρετρίας ἀφέντα δίκτυον ἐς θάλασσαν, τὸ ὀστοῦν ἑλκύσαι, θαυμάσαντα δὲ αὐτοῦ τὸ μέγεθος, ἔχειν ἀποκρύψαντα ὑπὸ τὴν ψάμμον. τέλος δὲ αὐτὸν ἀφικέσθαι καὶ ἐς Δελφοὺς, ὅτου τε ἀνδρὸς τὸ ὀστοῦν εἴη, καὶ ὅ τι χρηστέον αὐτῷ, διδαχθῆναι δεησόμενον. καί πως κατὰ πρόνοιαν τοῦ θεοῦ τηνικαῦτα παρὰ Ἠλείων ἐπανόρθωμα αἰτούντων [7]) νόσου λοιμώδους, ἀνεῖπε οὖν σφίσιν ἡ Πυθία, τοῖς μὲν ἀνασώσασθαι Πέλοπος τὰ ὀστᾶ, Δαμαρμένῳ δὲ ἀποδοῦναι τὰ εὑρημένα αὐτῶν [8]) Ἠλείοις. καί οἱ ταῦτα ποιήσαντι, ἄλλά τε ἀντέδοσαν Ἠλεῖοι, καὶ Δαμάρμενόν τε αὐτὸν, καὶ ἀπογόνους τοὺς ἐκείνου, φύλακας σφᾶς εἶναι τοῦ ὀστοῦ. ἡ δὲ ὠμοπλάτη τοῦ Πέλοπος ἠφάνιστο ἤδη κατ' ἐμὲ, ὅτι (ἐμοὶ δοκεῖν) ἐκέκρυπτο ἐπὶ πολὺ κατὰ τοῦ βυθοῦ, καὶ ὁμοῦ τῷ χρόνῳ προσέκαμνεν



6) ἀπόλλυνται] *Sylb.* quidem mavult ἀπόλλυται, ſed pluralis numerus praecedenti ἐκομίζοντο magis convenit.

7) παρὰ Ἠλείων ἐπαν. αἰτούντων] ſcil. τινῶν. Inſolens tamen loquendi ratio corruptelae ſuſpicioni locum dat. Forte παρὰ male transpoſitum et ſcribendum ſit παρὰ τοῦ θεοῦ τηνικαῦτα Ἠλείων ἐπ. αἰτούντων etc. Mox ἀνεῖπε *Sylb.* reſcripſit pro ἀνεῖ, quod in Aldina fuit, et Camerar. legit ἀνεῖλεν. Illud vero ſaepius in Pauſania de oraculis, L. VII. C. 1. in fine, L. VIII. C. 23. etc.

8) τὰ εὑρ. αὐτῶν] ſcil. ὀστῶν. Sic cum *Sylb.* αὐτὸν vel cum *Kuhnio* αὐτῷ emendare, prorſus temerarium eſſet.

4 οὐχ ἥκιστα ὑπὸ τῆς θαλάσσης. Πέλοπος δὲ καὶ Ταντάλου τῆς παρ' ἡμῖν ἐνοικήσεως [9]), σημεῖα ἔτι καὶ ἐς τόδε λείπεται. Ταντάλου μὲν λιμήν τε ἀπ' αὐτοῦ καλούμενος [10]), καὶ οὐκ ἀφανὴς τάφος· Πέλοπος δὲ ἐν Σιπύλῳ μὲν θρόνος ἐν κορυφῇ τοῦ ὄρους ἐστὶν ὑπὲρ τῆς Πλαστήνης μητρὸς [11]) τὸ ἱερόν. διαβάντι δὲ Ἕρμον ποταμὸν, Ἀφροδίτης ἄγαλμα ἐν Τήμνῳ [12]) πεποιημένον ἐκ μυρσίνης τεθηλυίας. ἀναθεῖναι δὲ Πέλοπα αὐτὸ παρειλήφαμεν μνήμῃ, προϊλασκόμενόν τε τὴν θεὸν, καὶ γενέσθαί οἱ τὸν γάμον τῆς Ἱπποδαμείας αἰτούμενον.

5 Ἔστι δὲ ὁ τοῦ Διὸς τοῦ Ὀλυμπίου βωμὸς, ἴσον μὲν μάλιστα τοῦ Πελοπίου τε καὶ τοῦ ἱεροῦ τῆς Ἥρας ἀπέχων, προκείμενος μέν τοι καὶ πρὸ ἀμφοτέρων. κατασκευασθῆναι δὲ αὐτὸν οἱ μὲν ὑπὸ Ἡρακλέους τοῦ Ἰδαίου λέγουσιν, οἱ δὲ ὑπὸ ἡρώων τῶν ἐπιχωρίων γενεαῖς δύο ὕστερον τοῦ Ἡρακλέους. πεποίηται δὲ ἱερείων

9) παρ' ἡμῖν ἐν.] h. e. in Phrygia, Aeolia. Patriam hic tangere videtur Pausanias.

10) Ταντάλου μ. λιμήν τε ἀ. ἀ. καλούμενος] Portum in ista regione a mari remota fuisse, vix credibile. Quare cum germanico interprete *Goldhagen* sentio, qui legendum esse Ταντ. μ. λίμνη τε ἀ. ἀ. καλουμένη conjicit ex ipso Pausania L. VIII. C. 17. ἐν Σιπύλῳ — περὶ λίμνην καλουμένην Ταντάλου. Conf. Strab. L. I. p. 101. B. De sepulcro Tantali vid. supra L. II. C 22.

11) Πλαστήνης μητρὸς] *Matrem deum* in monte Sipylo cultam fuisse, ex L. III. C. 22. patet, ubi in Κοδδίνου petra, Sipyli parte, vetustissimum Matris deorum signum positum fuisse narratur. Πλαστήνη igitur *Matris deum* cognomen et a πλάσσω, *fingo*, petitum fuisse videtur: *fictrix, creatrix. Goldhagen* forte Μοστήνης legendum esse putat ab urbe hujus nominis prope Sipylum; vid. Cellarii Geogr. Ant. T. II. p. 132.

12) ἐν Τήμνῳ] Uterque Codex mendose dat ἐν Λήμνῳ. De *Temno*, Aeoliae oppido, vid. Strab. L. XIII. p. 923. A. Paullo infra οἱ post γενέσθαι in utroque Cod. abest.

ἱερείων τῶν θυομένων τῷ Διῒ ἀπὸ τῆς τέφρας τῶν μηρῶν, καθάπερ γε καὶ ἐν Περγάμῳ. τέφρας μὲν γὰρ δή ἐστι καὶ τῇ Ἥρᾳ τῇ Σαμίᾳ [13]) βωμὸς, οὐδέν τι ἐπιφανέστερος ἢ ἐν τῇ χώρᾳ τῇ Ἀττικῇ, ἃς αὐτοσχεδίας Ἀθηναῖοι καλοῦσιν ἐσχάρας. τοῦ βωμοῦ δὲ τοῦ ἐν Ὀλυμπίᾳ κρηπῖδος μὲν τῆς πρώτης, προθύσεως καλουμένης, πόδες πέντε καὶ εἴκοσι καὶ ἑκατόν ἐστι περίοδος· τοῦ δὲ ἐπὶ τῇ προθύσει, περίμετρος ἑκάστου [14]) πόδες δύο καὶ τριάκοντα. τὸ δὲ ὕψος τοῦ βωμοῦ τὸ σύμπαν ἐς δύο καὶ εἴκοσιν ἀνήκει πόδας. αὐτὰ μὲν δὴ τὰ ἱερεῖα ἐν μέρει τῷ κάτω τῇ προθύσει καθέστηκεν αὐτοῖς θύειν· τοὺς μηροὺς δὲ ἀναφέροντες ἐς τοῦ βωμοῦ τὸ ὑψηλότατον [15]) καθαγίζουσιν ἐνταῦθα. ἀναβαθμοὶ δὲ ἐς μὲν τὴν προθυσίαν [16]) ἄγουσιν, ἐξ ἑκατέρας τῆς πλευρᾶς λίθου πεποιημένοι· τὸ δὲ ἀπὸ τῆς προθύσεως ἐς τὸ ἄνω τοῦ βωμοῦ, τέφρας παρέχεται ἀναβαθμούς. ἄχρι μέν τοι [17]) τῆς προθύσεώς ἐστιν ἀναβῆναι καὶ παρθένοις, καὶ ὡσαύτως γυναιξὶν, ἐπειδὰν τῆς Ὀλυμπίας μὴ ἐξείργωνται [18])· ἀπὸ τούτου δὲ ἐς τὸ ἀνωτάτω τοῦ βωμοῦ μόνοις ἐστὶν ἀνδράσιν ἀνελθεῖν. θύεται δὲ τῷ Διῒ καὶ ἄνευ τῆς πανηγύρεως ὑπό τε ἰδιωτῶν καὶ ἀνὰ πᾶσαν



13) μὲν γὰρ — τῇ Ἥρᾳ τῇ Σαμίᾳ] In utroque Cod. μὲν deest. De Junone Samia vid. infra L. VII. C. 4.

14) τοῦ — ἑκάστου] scil. μέρους. Sic paullo infra est ἐν μέρει τῷ κάτω etc.

15) ἀναφέροντες ἐς τοῦ β. τὸ ὑψηλότατον] Restitui ἐς, quod exciderat; illud enim abesse non posse, sententia aperte declarat. Pro ὑψηλότατον uterque Codex dat ὑψηλέστατον.

16) προθυσίαν] Scribendum esse πρόθυσιν, *Sylb.* recte monuit. Paullo infra pro τέφρας παρέχεται ἀναβαθμοὺς Cod. V. exhibet τ. παρέχεται καὶ ἀναβ.

17) μέν τοι] Uterque Cod. μὲν δή.

18) ἐπειδὰν — ἐξείργωνται] De hoc vid. supra C. 6. in fine.

ἡμέραν ὑπὸ Ἠλείων. κατ' ἔτος δὲ ἕκαστον φυλάξαν-
τες οἱ μάντεις τὴν ἐνάτην ἐπὶ δέκα τοῦ Ἐλαφίου μη-
νὸς [19]), κομίζουσιν ἐκ τοῦ Πρυτανείου τὴν τέφραν,
φυράσαντες δὲ τῷ ὕδατι τοῦ Ἀλφειοῦ, κονιῶσιν οὕτω
τὸν βωμόν. ὑπὸ δὲ ἄλλου τὴν τέφραν ὕδατος ποιηθῆ-
ναι πηλὸν, οὐ μή ποτε ἐγγένηται [20]). καὶ τούτου
εἵνεκα ὁ Ἀλφειὸς νενόμισται τῷ Ὀλυμπίῳ Διῒ ποτα-
6 μῶν μάλιστα εἶναι φίλος. Ἔστι δὲ καὶ ἐν Διδύμοις
τῶν Μιλησίων βωμὸς, ἐποιήθη δὲ ὑπὸ Ἡρακλέους
τοῦ Θηβαίου, καθὰ οἱ Μιλήσιοι λέγουσιν, ἀπὸ τῶν
ἱερῶν [21]) τοῦ αἵματος. ἐς δὲ τὰ ὕστερα τὸ αἷμα τῶν
θυμάτων οὐκ ἐς ὑπέρογκον ηὔξησεν αὐτῶν μέγεθος.

19) Ἐλαφίου μην.] Cod. Vind. Ἐλαφηβολιῶνος, et Cod. Mosc. praeter vulgatam in margine quoque exhibet Ἐλαφηβολιῶνος. Sed vulgatam recte se habere, et Eleis mensem *Elaphium* fuisse, qui in aequinoctium vernum incideret, ex ipso Pauſ. L. VI. C. 20. init. constat.

20) ὑπὸ δὲ ἄλλου — ἐγγένηται] Idem legitur in Schol. ad Pindar. Ol. X. v. 58. et in Plutarch. de oracul. def.

21) ἀπὸ τῶν ἱερῶν] *Sylb.* recte praefert ἱερείων, uti alibi semper scribitur. Mox pro αὐτῶν mavult αὐτὸν, sc. βωμόν.

CAPUT

## CAPUT XIV.

De Jove Ἀπομυίῳ — cur Olympica facra albae duntaxat populi lignis adoleantur — de arboribus, quas varii fluvii potiffimum alunt — reliquis Olympiae aris et diis, quibus facra ibi fiunt — ara ignotorum deorum — Καιροῦ, Jovis filii — Telluris ejusque oraculo, aliisque.

Ὁ δὲ ἐν Ὀλυμπίᾳ βωμὸς παρέχεται καὶ ἄλλο
τοιόνδε ἐς θαῦμα. οἱ γὰρ ἰκτῖνες [1]) πεφυκότες ἁρπά-
ζειν μάλιςα ὀρνίθων, ἀδικοῦσιν οὐδὲν ἐν Ὀλυμπίᾳ
τοὺς θύοντας. ἢν δὲ ἁρπάσῃ ποτὲ ἰκτῖνος ἤτοι
σπλάγχνα, ἢ τῶν κρεῶν, νενόμιςαι τῷ θύοντι οὐκ
αἴσιον εἶναι τὸ σημεῖον. Φασὶ δὲ Ἡρακλεῖ τῷ 2
Ἀλκμήνης θύοντι ἐν Ὀλυμπίᾳ δι' ὄχλου μάλιςα
γενέσθαι τὰς μυίας· ἐξευρόντα οὖν αὐτὸν, ἢ καὶ
ὑπ' ἄλλου διδαχθέντα, Ἀπομυίῳ θῦσαι Διΐ, καὶ
οὕτως ἀποτραπῆναι τὰς μυίας πέραν τοῦ Ἀλφειοῦ.
λέγονται δὲ κατὰ ταυτὰ καὶ Ἠλεῖοι θύειν τῷ Ἀπο-
μυίῳ Διΐ [2]), ἐξελαύνοντι τῆς Ἠλείας Ὀλυμπίας [3])
τὰς

1) οἱ γὰρ ἰκτῖνες etc.] Idem memorat Ael. Hift. Animal. Lib. II. C. 47. Conf. Ariftotel. Mirab. Aufc. C. 135 et ibi *Beckman* V. C. Duplex nominis forma eft ἰκτὶν et ἰκτῖνος, *milvus*; pofterius habet Suidas. Mox ἰκτῖνος in utroque Codice perperam abeft.

2) Ἀπομυίῳ Διῒ] Cod. Vind. τῷ Διῒ τῷ Ἀπομ. Ad rem conf. Clem. Alex. Protrept. p. 24. C. et Ael. Hift. Anim. L. V. C. 17. Hujus Jovis caput forma mufcae in gemma expreffum effe, putat Winkelm. *Defcript. du Cab. de Mr. Stofch* p. 45. n. 77.

3) τῆς Ἠλείας Ὀλυμπίας] *Kuhn*. emendat Ὀλυμπίοις, fubintellecto ἐν. Mihi potius alterutrum, utpote ex lectione variante vel correctione intrufum, tollendum, et τῆς Ἠλείας τὰς μ. poffimum legendum effe videtur.

3 τὰς μυίας. Τῆς δὲ λεύκης μόνης τοῖς ξύλοις [4]) ἐς
τοῦ Διὸς τὰς θυσίας, καὶ ἀπ' οὐδενὸς δένδρου τῶν
ἄλλων, οἱ Ἠλεῖοι χρῆσθαι νομίζουσι, κατ' ἄλλο
μὲν οὐδὲν προτιμῶντες (ἐμοὶ δοκεῖν) τὴν λεύκην, ὅτι δὲ
Ἡρακλῆς ἐκόμισεν αὐτὴν ἐς Ἕλληνας ἐκ τῆς Θεσπρω-
τίδος χώρας. καί μοι καὶ αὐτὸς ὁ Ἡρακλῆς ἐφαίνετο,
ἡνίκα τῷ Διῒ ἔθυεν ἐν Ὀλυμπίᾳ, τῶν ἱερείων τὰ μηρία
ἐπὶ λεύκης καῦσαι ξύλων. τὴν δὲ λεύκην ὁ Ἡρακλῆς
πεφυκυῖαν παρὰ τὸν Ἀχέροντα εὕρετο [5]) ἐν Θεσπρω-
τίᾳ ποταμόν· καὶ τοῦδε εἵνεκα φασὶν αὐτὴν Ἀχερωΐδα
4 ὑπὸ Ὁμήρου καλεῖσθαι [6]). Εἶχον δ' ἄρα καὶ ἐξ
ἀρχῆς οἱ ποταμοὶ, καὶ ἐς τόδε ἔχουσιν οὐ κατὰ τὰ
αὐτὰ ἐπιτηδείως πρὸς γένεσιν πόας τε καὶ δένδρων.
ἀλλὰ πλεῖσται μὲν ὑπὸ Μαιάνδρου μυρίκαι καὶ μά-
λιστα [7]) αὔξονται· Ἀσωπὸς δὲ ὁ Βοιώτιος βαθυτάτας
πέφυκεν ἐκτρέφειν τὰς σχοίνους. τὸ δένδρον δὲ ἡ περ-
σεία [8]) μόνου χαίρει τοῦ Νείλου τῷ ὕδατι. οὕτω καὶ
τὴν λεύκην θαῦμα οὐδὲν [9]) αἴγειρόν τε καὶ κότινον,
τὴν μὲν ἐπὶ Ἀχέροντι ἀναφῦναι πρῶτον, κότινον δὲ
ἐπὶ τῷ Ἀλφειῷ, τὴν δὲ αἴγειρον γῆς τῆς τῶν Κελτῶν
καὶ Ἠριδανοῦ τοῦ Κελτικοῦ θρέμμα εἶναι.

5 Φέρε δὴ (ἐποιησάμεθα γὰρ βωμοῦ τοῦ μεγίστου
μνήμην) ἐπέλθωμεν καὶ τὰ ἐς ἅπαντας ἐν Ὀλυμπίᾳ
τοὺς

4) μόνης τοῖς ξύλοις] Uterque Cod. μόνοις τ. ξ.

5) εὕρετο] Cod. Vind. εὗρεν.

6) αὐτὴν Ἀχερωΐδα ὑ. Ὁμήρου κ.] V. Il. ν. v. 389. et ibi Schol., atque Il. π. v. 482. cum Schol.

7) μυρίκαι καὶ μάλιστα] Uterque Codex καὶ male omisit. De *myrica*, hodie *tamarisco*, vid. Plin. H. N. L. XIII. C. 21. ibique not. Conf. interpret. ad Virgil. Eclog. IV. v. 2.

8) ἡ περσεία] De *persea*, arbore orientali, vid. Plin. H. N. L. XV. C. 13. in fine et *Gesner.* ad Columell. 10. 405.

9) οὐδὲν] Post hanc vocem uterque Cod. exhibet καὶ, quod vitiose iteratum videtur.

τοὺς βωμούς. ἐπακολουθήσει δὲ ὁ λόγος μοι [10]) τῇ ἐς αὐτοὺς τάξει, καθ' ἥντινα Ἠλεῖοι θύειν νομίζουσιν ἐπὶ τῶν βωμῶν. θύουσι δὲ Ἑςίᾳ μὲν πρώτῃ, δευτέρῳ δὲ τῷ Ὀλυμπίῳ Διῒ, ὄντες ἐπὶ τῶν βωμῶν τῶν [11]) ἐντὸς τοῦ ναοῦ. τρίτα δὲ ἐπὶ ἑνὸς βωμοῦ, καὶ αὐτὴ καθέςηκεν ἡ θυσία [12]).

πέμπτα

10) μοι] Ex utroque Codice, Pauſaniae loquendi mori convenienter, dedi μοι, pro vulgata particula μέν. Sic C. 15. διδάξει μοι τοῦ λόγου τὰ ἐς Ἀρκάδας.

11) ὄντες ἐπὶ τῶν βωμῶν τῶν] In Codd. regiae bibliothecae Pariſ. τὸν βωμὸν τὸν legi, *Kuhn.* notavit; quam lectionem etiam Codd. Vind. et Moſc. exhibent. Inde *Kuhn.* emendandum eſſe cenſuit ἐπὶ τῷ βωμῷ τῷ. At mihi frigidam vocem ὄντες ſuſpectam habenti potius ſcribendum eſſe videtur — Διῒ ἰόντες ἐπὶ τὸν βωμὸν τὸν ἐντός etc. Pauſanias ſcilicet non in illa ara Jovis, quam paullo ſupra deſcripſerat, ſed in alia in ipſo templo exſtructa Jovi ſacra facta eſſe ſignificat.

Ceterum VI. aras Olympiae poſitas fuiſſe, in Pindaro quoque legimus, Olymp. Od. V. v. 10., ubi Scholia videnda, quae VI. Diis ὁμωβωμίοις iſta erecta fuiſſe, ex Herodoro referunt; de quo conf. Heyne V. C. ad Apollodor. p. 454. Ex illis vero συμβωμίων aris a Pauſania *tres* poſt illas VI. in ſubſequentibus memorantur, Dianae et Alphei, Apollinis et Mercurii, Dionyſi et Gratiarum.

12) τρίτα δὲ —, καὶ αὐτὴ καθέςηκεν ἡ θ.] Haec verba, ſi nihil vitioſi ſubeſt, ſignificant *tertio idem ſacrificium* (ſcil. Veſtae et Jovis) *in una eademque ara factum eſſe.* Attamen in verbis καὶ αὐτὴ mendum latere, et lacunam eſſe, nominibus Deorum vel Dearum συμβωμίων ſarciendam, non temere ſtatuere poſſis. Firmatur haec ſuſpicio *Amaſaei* interpretatione: *tum ad aram eandem tertium in ſacris locum habet Mercurius.* Licet vero haec lectio deorum aliquem ſiſtat, neutiquam tamen rem prorſus expedit.

Jam *quartae* arae, quae ſequi deberet, nulla hic mentio fit, ſed ſtatim *quinta* additur. Quare et hic lacunam eſſe, non credibiliter ſolum conjicere, ſed confidenter affirmare licet, Codice Vindob. illam manifeſto exhibente. *Amaſaeus*, qui hic interpretatur: *quartum ad aram ſuam Minerva*, iſtam lacunam ex ingenio potius quam ex libro aliquo ſcripto expleſſe mihi videtur.

πέμπτα Ἀρτέμιδι θύουσι λαοὶ δὶ Ἀθηνᾶν· ἕκτα Ἐργάνῃ [13]). ταύτῃ τῇ Ἐργάνῃ καὶ οἱ ἀπόγονοι Φειδίου, καλούμενοι δὲ Φαιδρύνται [14]), γέρας παρὰ Ἠλείων εἰληφότες τοῦ Διὸς τὸ ἄγαλμα ἀπὸ τῶν προσιζανόντων καθαίρειν, οὗτοι θύουσιν ἐνταῦθα πρὶν ἢ λαμπρύνειν τὸ ἄγαλμα ἄρχωνται. ἔστι δ' Ἀθηνᾶς καὶ ἄλλος βωμὸς πλησίον τοῦ ναοῦ, καὶ Ἀρτέμιδος παρ' αὐτὸν τετράγωνος, ἀνήκων ἠρέμα εἰς ὕψος. μετὰ δὲ τοὺς κατειλεγμένους, Ἀλφειῷ καὶ Ἀρτέμιδι θύουσιν ἐπὶ ἑνὸς βωμοῦ. τὸ δ' αἴτιον τούτου παρεδήλωσε μέν που καὶ Πίνδαρος ἐν ᾠδῇ [15]), γράφομεν δὲ καὶ ἡμεῖς ἐν τοῖς λόγοις τοῖς Λαιτριναίοις [16]). τούτου δὲ οὐ πόῤῥω καὶ ἄλλος τῷ Ἀλφειῷ βωμὸς πεποίηται, παρὰ δὲ αὐτόν ἐστιν Ἡφαίστου. τοῦ δὲ Ἡφαίστου τὸν βωμόν εἰσιν Ἠλείων οἳ ὀνομάζουσιν Ἀρείου Διός. λέγουσι δὲ οἱ αὐτοὶ οὗτοι, καὶ ὡς Οἰνόμαος ἐπὶ τοῦ βωμοῦ τούτου θύοι τῷ Ἀρείῳ Διΐ, ὁπότε τῶν Ἱπποδαμείας [17]) μνηστήρων καθίστασθαι μέλλοι τινὶ ἐς ἵππων

13) πέμπτα Ἀρτέμιδι θ. λαοὶ δὶ Ἀθηνᾶν· ἕκτα Ἐργάνῃ] Verba λαοὶ δὶ Ἀθηνᾶν mutila et corrupta esse, luculenter patet. Quum vero nec Codd. Vind. et Mosc., et Mspta Parisiensia, uti *Kuhnius* notavit, quicquam opis hic afferant, non nisi conjectando medelam afferre possumus. Equidem locum sic restituendum censerem: π. Ἀρτέμιδι θύουσι Λατοΐδᾳ· Ἀθηνᾷ ἕκτα Ἐργάνῃ. Dianam et Apollinem *Latoïdas* dici, ex Pindaro et aliis notum est. De *Minerva Ergane* vid. not. ad L. I. C. 24. et L. III. C. 17.

14) Φαιδρύνται] A φαιδρύνω, *nitidum*, *splendidum reddo*. Hesych. Φαιδρυντής, ὁ τὸ ἕδος τοῦ θεοῦ θεραπεύων. Paullo infra pro ἄρχωνται Cod. Vind. dat ἄρχονται.

15) Πίνδαρος ἐν ᾠδῇ] Vid. Nem. Od. I. v. 1. sq. et ibi Scholia, quae Alphei et Dianae amores et aram his duobus Olympiae positam memorant.

16) τ. λόγοις τοῖς Λαιτριναίοις] Vid. L. VI. C. 22., ubi Λετριναῖοι et urbs ipsa Λετρῖνοι constanter scribitur.

17) Ἱπποδαμείας] Ex utroque Codice dedi pro vitiosa lectione

ἵππων ἅμιλλαν. μετὰ τοῦτο πεποίηται μὲν Ἡρακλεῖ βωμὸς, ἐπίκλησιν Παραστάτη· πεποίηται δὲ καὶ τοῖς Ἡρακλέους τοῖς ἀδελφοῖς Ἐπιμήδει καὶ Ἴδᾳ, καὶ Παιοναίῳ [18]) τε καὶ Ἰάσῳ. τὸν δὲ τοῦ Ἴδα βωμὸν, Ἀκεσίδα ὑπὸ ἑτέρων οἶδα καλούμενον. ἔνθα δὲ τῆς [19]) οἰκίας τὰ θεμέλιά ἐστι τῆς Οἰνομάου, δύο ἐνταῦθά εἰσι βωμοὶ, Διός τε Ἑρκείου [20])· τοῦτον ὁ Οἰνόμαος ἐφαίνετο αὐτὸς οἰκοδομήσασθαι· τῷ δὲ Κεραυνίῳ Διῒ ὕστερον ἐποιήσαντο [21]) (ἐμοὶ δοκεῖν) βωμὸν, ὅτ' ἐς τοῦ Οἰνομάου τὴν οἰκίαν κατέσκηψεν ὁ κεραυνός. τὰ δὲ ἐς τὸν μέγαν βωμὸν, ὀλίγῳ μέν τι ἡμῖν πρότερόν ἐστιν εἰρημένα· καλεῖται δὲ Ὀλυμπίου Διός. Πρὸς αὐτῷ 6
δ' ἐστὶν ἀγνώστων θεῶν βωμὸς, καὶ μετὰ τοῦτον Καθαρσίου Διὸς καὶ Νίκης, καὶ αὖθις Διὸς [22]) ἐπωνυμίαν Χθονίου. εἰσὶ δὲ καὶ θεῶν πάντων βωμοὶ, καὶ Ἥρας ἐπίκλησιν Ὀλυμπίας, πεποιημένος τέφρας καὶ οὗτος· Κλυμένου δέ φασιν αὐτὸν ἀνάθημα εἶναι. μετὰ δὲ τοῦτον Ἀπόλλωνος καὶ Ἑρμοῦ βωμός ἐστιν ἐν κοινῷ, διότι Ἑρμῆν λύρας, Ἀπόλλωνα δὲ εὑρετὴν εἶναι κιθάρας, Ἑλλήνων ἐστὶν ἐς αὐτοὺς λόγος. ἐφεξῆς

lectione Ἱπποδαμείων. Ita vero scribendum esse, jam *Sylb.* monuerat.

18) Παιοναίῳ] Ex utroque Cod. scripsi et Pausania ipso (vid. supra C. 7.) pro Παιονέῳ. Mox τοῦ ante Ἴδα in utroque Cod. abest.

19) τῆς οἰκίας] Pro vitioso τοῖς ex Cod. Mosc. reposui τῆς.

20) Διός τε Ἑρκείου] Cod. Mosc. pro his mendosa habet ἔρημοι et in margine εἴρηταί μοι. Ceterum oratio Pausaniae more hic abrupta est, quae plena ita esse deberet: Διός τε Ἑρκείου καὶ Κεραυνίου. Posterius vero suppletur sequentibus τῷ δὲ Κεραυνίῳ Διῒ etc. De Jove *Herceo* v. not. ad L. IV. C. 17. 5.

21) ἐποιήσαντο] Ex Codice Mosc. et *Amasaei* interpretatione sic scripsi pro vulgata ἐποιήσατο, sensu illud exigente. Oenomai domum fulmine tactam conflagrasse, infra quoque refert C. 20.

22) καὶ αὖθις Διὸς] Uterque Cod. dat αὖθις καὶ Διός.

ἐφεξῆς δὲ Ὁμονοίας βωμὸς, καὶ αὖθις Ἀθηνᾶς· ὁ δὲ
7 Μητρὸς θεῶν. Τῆς ἐσόδου δὲ τῆς ἐς τὸ ςάδιόν εἰσιν
ἐγγύτατα βωμοὶ δύο· τὸν μὲν αὐτῶν Ἑρμοῦ καλοῦ-
σιν Ἐναγωνίου, τὸν δὲ ἕτερον Καιροῦ. Ἴωνι δὲ οἶδα
τῷ Χίῳ [23]) καὶ ὕμνον πεποιημένον Καιροῦ· γενεαλογεῖ
δὲ ἐν τῷ ὕμνῳ νεώτατον παίδων Διὸς Καιρὸν [24]) εἶναι.
πλησίον δὲ τοῦ Σικυωνίων θησαυροῦ, ἤτοι Κουρήτων,
ἢ τοῦ Ἀλκμήνης ἐςὶν Ἡρακλέους [25])· λέγεται γὰρ καὶ
8 ἀμφότερα. Ἐπὶ δὲ τῷ Γαίῳ καλουμένῳ [26]), βωμός
ἐςιν ἐπ' αὐτῷ Γῆς, τέφρας καὶ οὗτος. τὰ δ' ἔτι
ἀρχαιότερα καὶ μαντεῖον τῆς Γῆς αὐτόθι εἶναι λέγου-
σιν. ἐπὶ δὲ τοῦ ὀνομαζομένου Στομίου, Θέμιδι ὁ
βωμὸς πεποίηται. τοῦ δὲ Καταιβάτου [27]) Διὸς προ-
βέβληται μὲν πανταχόθεν πρὸ τοῦ βωμοῦ φράγμα·
ἔςι δὲ πρὸς τῷ βωμῷ τῷ ἀπὸ τῆς τέφρας τῷ μεγάλῳ.
μεμνήσθω δέ τις οὐ κατὰ ςίχον [28]) τῆς ἱδρύσεως
ἀριθμου-

23) Ἴωνι — τῷ Χίῳ] Laudatur quoque a Pauſ. L. VII. C. 4. De hoc poëta tragico, lyrico et philoſopho, Aeſchyli fere aequali, qui multa variaque ſcripſerat, vid. Suid., et qui ejus ſcripta ſaepius excitarunt, Athen., Polluc., Heſych., Diog. Laërt. etc.

24) Διὸς Καιρὸν] *Amaſ.* legiſſe videtur Κρόνου Κ. vertens *Saturni* fil.

25) ἤτοι Κουρήτων — Ἡρακλέους etc.] Haec *Sylb.* recte interpretatur: *ara eſt Herculis, vel ejus, qui Curetum unus fuit, vel ejus, qui Alcmena matre natus eſt; dicitur enim utrumque.*

26) τῷ Γαίῳ καλ.] L. VII. C. 25. in fine etiam templum *telluris* memoratur, ὁ Γαῖος dictum.

27) Καταιβάτου] *Fulminatoris*, a fulmine in terram deſcendente ita dictus; vid. Lycophr. v. 1370. et ibi Potter., Polluc. IX. ſ. 41., atque Alberti ad Heſych. h. v. Conf. Ammian. L. XXIII. et ibi Valeſ. Cod. Moſc. exhibet Καταβάτ., quod idem eſt; ſed Καταιβ. uſitatius.

28) ςίχον] Cod. Vindob. et Moſc. ςοῖχον. Utraque ſcilicet forma eodem ſignificatu eſt obvia.

ἀριθμουμένους τοὺς βωμοὺς, τῇ δὲ τάξει τῶν Ἠλείων ἐς τὰς θυσίας συμπερινοστοῦντα ἡμῖν τὸν λόγον. πρὸς δὲ τῷ τεμένει τοῦ Πέλοπος, Διονύσου μὲν καὶ Χαρίτων ἐν κοινῷ, μεταξὺ δὲ αὐτῶν, Μουσῶν, καὶ ἐφεξῆς τούτων, Νυμφῶν ἐστιν βωμός.

## CAPUT XV.

De reliquis memorandis in Alti, aedificio, Phidiae officina dicto — Leonidaeo — Oleaſtro Calliſtephano — Moeragetae et Jovis ὑψίστου aliisque aris — Prytaneo — Eleorum prisco ſacrificandi ritu — ſacris Junonis Ammoniae et Parammonis — Doricis, quae in Prytaneo canuntur, carminibus.

Ἔστι δὲ οἴκημα ἐκτὸς τῆς Ἄλτεως, καλεῖται δὲ ἐργαστήριον Φειδίου, καὶ ὁ Φειδίας καθ' ἕκαστον τοῦ ἀγάλματος ἐνταῦθα εἰργάζετο. ἔστιν οὖν βωμὸς ἐν τῷ οἰκήματι θεοῖς πᾶσιν ἐν κοινῷ. ὀπίσω δὲ ἀναστρέψαντι αὖθις ἐς τὴν Ἄλτιν, ἔστιν ἀπαντικρὺ τοῦ Λεωνιδαίου [1]). Τὸ δὲ ἐκτὸς μὲν τοῦ περιβόλου τοῦ ἱεροῦ 2
τὸ Λεωνίδαιον· τῶν δὲ ἐσόδων πεποίηται τῶν ἐς τὴν Ἄλτιν κατὰ τὴν πομπικὴν, ἡ μόνη τοῖς πομπεύουσίν ἐστιν ὁδός. τοῦτο δὲ ἀνδρὸς μὲν τῶν ἐπιχωρίων ἐστὶν ἀνάθημα Λεωνίδου· κατ' ἐμὲ δὲ, ἐς αὐτὸ Ῥωμαίων ἐσῳκίζοντο οἱ τὴν Ἑλλάδα ἐπιτροπεύοντες. διέστηκε δὲ ἀγυιὰν ἀπὸ τῆς ἐσόδου τῆς πομπικῆς. τοὺς γὰρ δὴ ὑπὸ Ἀθηναίων καλουμένους στενωποὺς, ἀγυιὰς ὀνομάζουσιν οἱ Ἠλεῖοι. Ἔστι δὲ ἐν τῇ Ἄλτι τοῦ 3
Λεωνι-

1) ἔστιν ἀπαντικρὺ τοῦ Λεωνιδαίου] Quidnam vero e regione Leonidaei eſt? Hoc ſane excidiſſe videri poſſit. Attamen cum *Kuhnio* potius τοῦ Λεωνιδαίου vitioſum et ſcribendum eſſe cenſeo τὸ Λεωνίδαιον, *ex adverſo eſt Leonidaeum.*

Λεωνιδαίου περᾶν μέλλοντι ἐς ἀριστερὰν, Ἀφροδίτης
βωμὸς καὶ Ὡρῶν μετ᾽ αὐτόν· κατὰ δὲ τὸν ὀπισθό-
δομον μάλιστά ἐστιν ἐν δεξιᾷ πεφυκὼς κότινος. κα-
λεῖται δὲ ἐλαία καλλιστέφανος, καὶ τοῖς νικῶσι τὰ
Ὀλύμπια καθέστηκεν ἀπ᾽ αὐτῆς δίδοσθαι τοὺς στεφά-
νους. τούτου πλησίον τοῦ κοτίνου πεποίηται Νύμ-
φαις βωμός· καλλιστεφάνους ὀνομάζουσι καὶ ταύ-
τας. ἔστι δέ τοι ἐντὸς τῆς Ἄλτεως μὲν Ἀρτέμιδος
Ἀγοραίας βωμὸς, ἐν δεξιᾷ δὲ τοῦ Λεωνιδαίου. πε-
ποίηται δὲ καὶ Δεσποίνας. τὰ δὲ ἐς τὴν θεὸν ἥντινα
ὀνομάζουσι Δέσποιναν, διδάξει μοι τοῦ λόγου τὰ ἐς
Ἀρκάδας [2]). μετὰ δὲ τοῦτον, ἔστιν Ἀγοραίου Διὸς
βωμός. πρὸ δὲ τῆς καλουμένης Προεδρίας, Ἀπόλ-
λωνος ἐπωνυμίαν Πυθίου, καὶ μετ᾽ αὐτὸν Διονύσου·
τοῦτον οὔτε πάλαι τὸν βωμὸν, καὶ ὑπὸ ἀνδρῶν ἰδιω-
4 τῶν ἀνατεθῆναι λέγουσιν. Ἰόντι δ᾽ ἐπὶ τὴν ἄφεσιν
τῶν ἵππων [3]), ἔστι βωμὸς, ἐπίγραμμα. δὲ ἐπ᾽ αὐτῷ
Μοιραγέτα. δῆλα οὖν ἐστιν ἐπίκλησιν εἶναι Διὸς, ὃς
τὰ ἀνθρώπων οἶδεν ὅσα διδόασιν αἱ Μοῖραι, καὶ ὅσα
μὴ πέπρωταί σφισι. πλησίον δὲ καὶ Μοιρῶν βωμός
ἐστιν ἐπιμήκης, μετὰ δὲ αὐτὸν Ἑρμοῦ, καὶ δύο ἐφεξῆς
Διὸς ὑψίστου. ἐν δὲ τῶν ἵππων τῇ ἀφέσει, ἐν μὲν
τῷ ὑπαίθρῳ τῆς ἀφέσεως κατὰ μέσον που μάλιστα,
Ποσειδῶνος Ἱππίου [4]) καὶ Ἥρας εἰσὶν Ἱππίας βωμοί·
πρὸς

2) τὰ δὲ ἐς — τὰ ἐς Ἀρκάδας] Vid. L. VIII. C. 37., ubi locus classicus de *Despoena* ejusque cultu apud Arcadas.

3) ἄφεσιν τῶν ἵππ.] De hoc vid. L. VI. C. 20. Conf. Pollux III. f. 147.

4) Ποσειδῶνος Ἱππίου] Cod. Vind. Ἱππείου et mox Ἱππείας. Ita supra L. I. C. 3. et C. 30. in fine uterque Codex, Hesych. et Diodor. L. V. f. 69., ubi vid. Wesseling. Varia hujus cognominis ratio et origo affertur; de quo vid. Pauf. L. VII. C. 21. et L. VIII. C. 25., Diodor. l. c. et Hesych. h. v.

πρὸς δὲ τῷ κίονι, Διοσκούρων. τῆς δὲ πρὸς τὸν ἔμβολον καλούμενον [5]) ἐσόδου, τῇ μὲν Ἄρεως Ἱππίου, τῇ δὲ Ἀθηνᾶς Ἱππίας [6]) βωμός. ἐς δὲ αὐτὸν τὸν ἔμβολον ἐσελθόντων Τύχης ἐστὶν ἀγαθῆς [7]) βωμὸς, καὶ Πανός τε καὶ Ἀφροδίτης· ἐνδοτάτω δὲ τοῦ ἐμβόλου, Νυμφῶν, ἃς Ἀκμῆνας [8]) καλοῦσιν. ἀπὸ δὲ τῆς στοᾶς ἣν οἱ Ἠλεῖοι καλοῦσιν Ἀγάπτου, τὸν ἀρχιτέκτονα ἐπονομάζοντες τῷ οἰκοδομήματι, ἀπὸ ταύτης ἐπανιόντι ἐστὶν ἐν δεξιᾷ βωμὸς Ἀρτέμιδος. ἐσελθόντων δὲ αὖθις διὰ τῆς πομπικῆς ἐς τὴν Ἄλτιν, εἰσὶν ὄπισθεν τοῦ Ἡραίου [9]), Κλαδέου [10]) τε τοῦ ποταμοῦ καὶ Ἀρτέμιδος βωμοί· ὁ δὲ μετ' αὐτοὺς, Ἀπόλλωνος· τέταρτος δὲ Ἀρτέμιδος ἐπίκλησιν Κοκκώκας, καὶ Ἀπόλλωνος πέμπτος Θερμίου. τὸν μὲν δὴ παρὰ Ἠλείοις Θέρμιον, καὶ αὐτῷ μοι παρίστατο εἰκάζειν, ὡς κατὰ Ἀτθίδα γλῶσσαν εἴη Θέρμιον. ἀνθ' ὅτου δὲ Ἄρτεμιν ἐπονομάζουσι Κοκκώκαν, οὐ



5) τὸν ἔμβολον καλ.] A similitudine *rostri navis*, quod ἔμβολος vel ἔμβολον appellabatur; vid. Hesych., Suid., Poll. I. f. 85. ἀφέσει autem *prorae* navis formam fuisse, ex Pauf. L. VI. C. 20. constat.

6) Ἀθηνᾶς Ἱππίας] Cod. Vind. Ἱππείας, uti etiam Suid., qui videndus est de hujus Minervae parentibus et cognomine; conf. Pausan. L. VIII. C. 47. init.

7) Τύχης — ἀγαθῆς] Templum Δαίμονος ἀγαθοῦ et Τύχ. ἀγ. memoratur a Pauf. L. IX. C. 39., et signum Τύχ. ἀγ. Athenis ad Prytaneum positum fuisse, legimus in Aelian. Var. Hist. L. IX. C. 39. Mox τε post Πανὸς in Cod. Vind. abest.

8) Ἀκμῆνας] h. e. *florentes, vegetas*. *Sylb.* conjecit Ἀκμῆτας, *infractas, nullo labore domandas*.

9) τοῦ Ἡραίου] *Junonis templi*, de quo vid. Cap. sequ.

10) Κλαδέου] Pro vulgata Κλαδαίου hoc reposui ex utroque Cod. et aliis Pausaniae locis, C. 7., L. VI. C. 20. et 21. In Xenoph. Hist. Gr. L. VII. C. 4. f. 29. legitur Κλαδάου. Mox pro βωμοὶ uterque Cod. dat βωμός.

χρεία τε ἦν [11]) μοι διδαχθῆναι. ἔστι δὲ πρὸ τοῦ καλουμένου Θεηκαλέωνος [12]) οἴκημα· τούτου δὲ ἐν
5 γωνίᾳ [13]) τοῦ οἰκήματος Πανὸς ἵδρυται βωμός. Τὸ Πρυτανεῖον δὲ Ἠλείοις ἔστι μὲν τῆς Ἄλτεως ἐντός, πεποίηται δὲ παρὰ τὴν ἔξοδον, ἥ ἐστι τοῦ γυμνασίου πέραν· ἐν τούτῳ δὲ οἵ τε δρόμοι τῷ γυμνασίῳ καὶ τοῖς ἀθληταῖς εἰσιν αἱ παλαῖστραι. Πρυτανείου δὲ πρὸ μὲν τῶν θυρῶν βωμός ἐστιν Ἀρτέμιδος Ἀγροτέρας· ἐν δὲ αὐτῷ τῷ Πρυτανείῳ παριόντων ἐς τὸ οἴκημα, ἔνθα σφίσιν ἡ ἑστία, Πανός ἐστιν ἐν δεξιᾷ τῆς ἐσόδου βωμός. ἔστι δὲ ἡ ἑστία τέφρας καὶ αὕτη πεποιημένη, καὶ ἐπ᾽ αὐτῆς πῦρ ἀνὰ πᾶσάν τε ἡμέραν καὶ ἐν πάσῃ νυκτὶ ὡσαύτως καίεται. ἀπὸ ταύτης τῆς ἑστίας τὴν τέφραν, κατὰ τὰ εἰρημένα ἤδη μοι, κομίζουσιν ἐπὶ τὸν [14]) Ὀλυμπίου βωμόν· καὶ οὐχ ἥκιστα ἐς μέγεθος συντελεῖ τῷ βωμῷ τὸ ἀπὸ τῆς ἑστίας ἐπιφορούμενον.
6 Ἑκάστου δὲ ἅπαξ τοῦ μηνὸς θύουσιν ἐπὶ πάντων Ἠλεῖοι τῶν κατειλεγμένων βωμῶν· θύουσι δὲ ἀρχαῖόν τινα τρόπον. λιβανωτὸν γὰρ ὁμοῦ πυροῖς μεμαγμένοις μέλιτι θυμιῶσιν ἐπὶ τῶν βωμῶν [15])· τιθέασι

11) Κοκκώκαν, οὐ χρεία τε ἦν etc.] Forte nihil hic desit, et χρεία τε dictum sit, uti οἷόν τε. Nomen Κοκκ. ab obscoeno κόκκος petitum esse potest. Hesych. κόκκος — καὶ τὸ γυναικεῖον μόριον, ubi vid. not.

12) Θεηκαλέωνος] Forte Θεηκολέωνος, a Θεόκολος, *domicilium Theocolorum*; de quibus vid. paullo infra.

13) ἐν γωνίᾳ] Restitui γωνίᾳ ex *Amasaei* interpretatione pro vulgata vitiosa ἀγωνίᾳ, quam Cod. V. et M. quoque exhibent omisso ἐν.

14) τὸν] Rescripsi ex Cod. Vind. pro τοῦ, uti *Sylb.* jam conjectaverat. Ad rem conf. supra C. 13. in fine.

15) τῶν βωμῶν] *Sylburgio* monente, ita corrigere non haesitavi pro τὸν βωμόν. Numerum enim pluralem exigunt cum illa, quae praecedunt, tum subsequens ἐπ᾽ αὐτῶν.

σι δὲ καὶ κλῶνας ἐλαίας ἐπ᾽ αὐτῶν, καὶ οἴνῳ χρῶνται
σπονδῇ. μόναις δὲ ταῖς Νύμφαις οὐ νομίζουσιν
οἶνον, οὐδὲ ταῖς Δεσποίναις [16]) σπένδειν, οὐδὲ ἐπὶ τῷ
βωμῷ τῷ κοινῷ πάντων θεῶν. μέλει δὲ τὰ ἐς θυσίας
θεηκολότῳ, ὃς [17]) ἐπὶ μηνὶ ἑκάστῳ τὴν τιμὴν ἔχει, καὶ
μάντεσι, καὶ σπονδοφόροις, ἔτι δὲ ἐξηγητῇ τε καὶ
αὐλητῇ, καὶ τῷ ξυλεῖ. ὁπόσα δὲ ἐπὶ ταῖς σπον-
δαῖς λέγειν σφίσιν ἐν τῷ Πρυτανείῳ καθέστηκεν, ἢ
καὶ ὕμνους ὁποίους ᾄδουσιν, οὔ με ἦν εἰκὸς ἐπεισα-
γαγέσθαι καὶ ταῦτα ἐς τὸν λόγον. Θεοῖς δὲ οὐ 7
τοῖς Ἑλληνικοῖς μόνον, ἀλλὰ καὶ τῶν ἐν Λιβύῃ σπέν-
δουσι καὶ Ἥρᾳ τε Ἀμμωνίᾳ, καὶ Παράμμωνι·
Ἑρμοῦ δὲ ἐπίκλησίς ἐστιν ὁ Παράμμων. Φαίνονται
δὲ χρώμενοι ἐκ παλαιοτάτου τῷ ἐν Λιβύῃ μαντείῳ,
καὶ ἀναθήματα Ἠλείων ἐν Ἄμμωνός εἰσι βωμοί.
γέγραπται δὲ ἐπ᾽ αὐτῶν, ὅσα τε ἐπυνθάνοντο οἱ
Ἠλεῖοι, καὶ τὰ χρησθέντα [18]) ὑπὸ τοῦ θεοῦ, καὶ τὰ
ὀνόματα τῶν ἀνδρῶν, οἳ παρὰ τὸν Ἄμμωνα ἦλθον ἐξ
Ἤλιδος. ταῦτα μὲν δή ἐστιν ἐν Ἄμμωνος. Ἠλεῖοι
δὲ καὶ ἥρωσι καὶ γυναιξὶ σπένδουσιν ἡρώων, ὅσοι τε
ἐν τῇ χώρᾳ τῇ Ἠλείᾳ [19]), καὶ ὅσοι παρὰ Αἰτωλοῖς



16) ταῖς Δεσποίναις] Pauſanias conſtanter *unam* tantum memorat *Despoenam* eamque Cereris ac Neptuni filiam dicit L. VIII. C. 37. Forte igitur Ceres ipſa hoc nomine quoque inſignita fuerit. Attamen cum ſupra pro Δεσποίνας in Ald. et libro Vind. mendoſe ſcriptum ſit Δεσποίναις, idem mendum hic etiam latere et ſcribendum eſſe videtur τῆς Δεσποίνας, ſcil. ἐπὶ τῷ βωμῷ.

17) θεηκολότῳ, ὃς etc.] Vel θεηκόλοτος eliace dictum pro θεήκολος, vel emendandum ſit τῷ θεηκόλῳ, quod mihi magis arridet. Heſych. θεόκολος, ἱέρεια, ub. v. not. ὃς pro vulgata ὅσα, *Kuhnio* ſuadente, dare non temerarium eſſe duxi.

18) καὶ τὰ χρησθέντα] Cod. Vind. καταχρησθέντα et Moſc. καταχρησθέντων. Male.

19) τῇ Ἠλείᾳ] Cod. Vind. τῇ Ἠλείων.

8 τιμὰς ἔχουσιν. Ὁπόσα δὲ ᾄδουσιν ἐν τῷ Πρυτανείῳ,
Φωνὴ μέν ἐστιν αὐτῶν ἡ Δώριος· ὅστις δὲ ὁ ποιήσας
ἦν τὰ ᾄσματα, οὐ λέγουσιν. ἔστι δὲ καὶ ἑστιατόριον
Ἠλείοις· καὶ τοῦτο ἔστι μὲν ἐντὸς τοῦ Πρυτανείου, τοῦ
οἰκήματος τοῦ τῆς ἑστίας ἀπαντικρύ· τοὺς δὲ τὰ
Ὀλύμπια νικῶντας ἑστιῶσιν ἐν τούτῳ τῷ οἰκήματι.

## CAPUT XVI.

De Junonis templo — virginum curſus certamine, Heraea dicto — hujus certaminis origine — XVI. feminarum collegio — Physcoa et Narcaeo.

Λείπεται δὲ τὸ μετὰ τοῦτο ἡμῖν τῆς τε Ἥρας ὁ ναὸς,
καὶ ὁπόσα ἐστὶν ἐν τῷ ναῷ πρέποντα εἰς συγγραφήν.
λέγεται δὲ ὑπὸ Ἠλείων, ὡς Σκιλλούντιοι τῶν ἐν τῇ
Τριφυλίᾳ πόλεών εἰσιν οἱ κατασκευασάμενοι τὸν ναὸν
ὀκτὼ μάλιστα ἔτεσιν ὕστερον, ἢ τὴν βασιλείαν τὴν ἐν
Ἤλιδι ἐκτήσατο Ὄξυλος. ἐργασία μὲν δή ἐστι τοῦ
ναοῦ Δώριος· κίονες δὲ περὶ πάντα ἑστήκασιν αὐτόν.
ἐν δὲ τῷ ὀπισθοδόμῳ, δρυὸς ὁ ἕτερος τῶν κιόνων ἐστί.
μῆκος δέ εἰσι τοῦ ναοῦ πόδες τρεῖς καὶ ἑξήκοντα, οὐκ
ἀποδεῖ [1])· τὸν δὲ ἀρχιτέκτονα ὅστις ἐγένετο, οὐ μνη-
2 μονεύουσι. Διὰ πέμπτου δὲ ὑφαίνουσιν ἔτους τῇ
Ἥρᾳ πέπλον αἱ ἓξ καὶ δέκα γυναῖκες· αἱ δὲ αὐταὶ
τιθέασι καὶ ἀγῶνα Ἡραῖα. ὁ δὲ ἀγών ἐστιν ἅμιλλα
δρόμου παρθένοις, οὔτοι που πάσαις [2]) ἡλικίας τῆς
αὐτῆς·

1) οὐκ ἀποδεῖ] Haec verba, quae in vulgatis exciderant, ex utroque Codice reddidi.

2) οὔτοι που πᾶσαις] Uterque Cod. οὔτι et πᾶσαι. Sic vero haec ſequentibus juncta a θέουσιν penderent, et poſt παρθένοις interpungendum eſſet. Mox ταύτας in Cod. Vind. abeſt, et pro τελευταῖα legitur τελευταῖαι.

αὐτῆς· ἀλλὰ πρῶται μὲν αἱ νεώτεραι, μετὰ ταύτας δὲ αἱ τῇ ἡλικίᾳ δεύτεραι, τελευταῖα δὲ θέουσιν, ὅσαι πρεσβύταται τῶν παρθένων εἰσί. θέουσι δὲ οὕτω· καθεῖταί σφισιν ἡ κόμη[3]), χιτὼν ὀλίγον ὑπὲρ γόνατος καθήκει, τὸν ὦμον ἄχρι τοῦ στήθους φαίνουσι τὸν δεξιόν. ἀποδεδεγμένον μὲν δὴ ἐς τὸν ἀγῶνά ἐστι καὶ ταύταις τὸ Ὀλυμπικὸν στάδιον, ἀφαιροῦσι δὲ αὐταῖς ἐς τὸν δρόμον τοῦ σταδίου τὸ ἕκτον μάλιστα. ταῖς νικώσαις ἐλαίας τε[4]) διδόασι στεφάνους, καὶ βοὸς μοῖραν τεθυμένης τῇ Ἥρᾳ. καὶ δὴ ἀναθεῖναί σφισιν ἐστὶ γραψαμέναις[5]) εἰκόνας. εἰσὶ δὲ καὶ διακονούμεναι ταῖς ἑκκαίδεκα[6]) κατὰ ταυτὰ ταῖς ἀγωνοθετούσαις γυναῖκες. Ἐπανάγουσι δὲ καὶ τῶν 3
παρθένων τὸν ἀγῶνα ἐς τὰ ἀρχαῖα, Ἱπποδάμειαν τῇ Ἥρᾳ τῶν γάμων τῶν Πέλοπος ἐκτίνουσαν χάριν, τάς τε ἑκκαίδεκα ἀθροῖσαι γυναῖκας λέγοντες, καὶ σὺν αὐταῖς διαθεῖναι πρώτην τὰ Ἡραῖα. μνημονεύουσι δὲ καὶ ὅτι Χλωρὶς νικήσειεν Ἀμφίονος θυγάτηρ μόνη λειφθεῖσα τοῦ οἴκου· σὺν δὲ αὐτῇ καὶ ἕνα



3) καθεῖταί σφισιν ἡ κόμη etc.] Hoc habitu currens virgo expressa esse videtur signo quodam Romae adhuc asservato, vulgo *Amazonis* vel *Laconicae puellae* nomine insignito; de quo vid. *Visconti* Mus. Pio-Clement. Tom. III. nr. 27.

4) τε] Huic particulae in vulgatis male ante νικώσαις positae suum locum restitui ex utroque Codice.

5) γραψαμέναις] Uterque Cod. exhibet γραψαμμένας, quod prorsus insolenter pro γεγραμμένας positum esset. Forte genuina lectio fuit γεγραμμένας, quam *Amas.* servasse videtur, vertens: *pictas earum imagines* etc.

6) ταῖς ἑκκαίδεκα etc.] *Sylb.* rectius αὐταῖς scribi putat; sed nihil mutandum et potius ταῖς ἑκκ. ταῖς ἀγ. jungenda, qui dativi reguntur a κατὰ ταυτὰ, *pari, eodem numero.*

περιγενέσθαί φασι τῶν ἀρσένων [7]. ἃ δὲ ἐς τοὺς Νιόβης παῖδας παρίστατο αὐτῷ μοι γιγνώσκειν, ἐν
4 τοῖς ἔχουσιν ἐς Ἀργείους ἐδήλωσα. Ἐς δὲ τὰς ἑκκαίδεκα γυναῖκας καὶ ἄλλον τοιόνδε λέγουσιν ἐπὶ τῷ προτέρῳ λόγον. Δημοφῶντά φασι τυραννοῦντα ἐν Πίσῃ πολλά τε ἐργάσασθαι καὶ χαλεπὰ Ἠλείους. ὡς δὲ ἐτελεύτησεν ὁ Δημοφῶν (οὐ γὰρ δὴ οἱ Πισαῖοι συνεχώρουν μετέχειν δημοσίᾳ τοῦ τυράννου τῶν ἁμαρτημάτων, καί πως ἀρεστὰ καὶ Ἠλείοις ἐγένετο καταλύεσθαι τὰ ἐς αὐτοὺς ἐγκλήματα) οὕτως ἑκκαίδεκα οἰκουμένων τηνικαῦτα ἔτι ἐν τῇ Ἠλείᾳ πόλεων, γυναῖκα ἀφ' ἑκάστης εἵλοντο διαλύειν τὰ διάφορά σφισιν, ἥτις ἡλικίᾳ τε ἦν πρεσβυτάτη, καὶ ἀξιώματι καὶ δόξῃ τῶν γυναικῶν προεῖχεν. αἱ πόλεις δὲ, ἀφ' ὧν τὰς γυναῖκας εἵλοντο, ἦσαν Ἤλιδος. ἀπὸ τούτων μὲν αἱ γυναῖκες οὖσαι τῶν πόλεων, Πισαίοις διαλλαγὰς πρὸς Ἠλείους ἐποίησαν· ὕστερον δὲ καὶ τὸν ἀγῶνα ἐπετράπησαν ὑπ' αὐτῶν θεῖναι τὰ Ἡραῖα,
5 καὶ ὑφήνασθαι τῇ Ἥρᾳ τὸν πέπλον. Αἱ δὲ ἑκκαίδεκα γυναῖκες καὶ χοροὺς δύο ἱστᾶσι, καὶ τὸν μὲν Φυσκόας τῶν χορῶν, τὸν δὲ Ἱπποδαμείας καλοῦσι. τὴν Φυσκόαν δὲ εἶναι ταύτην φασὶν ἐκ τῆς Ἤλιδος τῆς κοίλης, τῷ δήμῳ δὲ ἔνθα ᾤκησεν, ὄνομα μὲν Ὀρθίαν εἶναι. ταύτῃ τῇ Φυσκόᾳ Διόνυσον συγγενέσθαι λέγουσι, Φυσκόαν δὲ ἐκ Διονύσου τεκεῖν παῖδα Ναρκαῖον· τοῦτον, ὡς ηὐξήθη, πολεμεῖν τοῖς προσοίκοις, καὶ δυνάμεως ἐπὶ μέγα ἀρθῆναι, καὶ δὴ καὶ Ἀθηνᾶς ἱερὸν ἐπίκλησιν Ναρκαίας αὐτὸν ἱδρύσασθαι· Διονύσῳ τε τιμὰς λέγουσιν ὑπὸ Ναρκαίου

7) τῶν ἀρσένων] Cod. uterque ἀῤῥένων. De Chlori et Niobes prole vid. supra L. II. C. 21. in fine.

καίου τοῦ Φυσκόας δοθῆναι πρώτου. Φυσκόας μὲν δὴ γέρα καὶ ἄλλα καὶ χορὸς ἐπώνυμος παρὰ τῶν ἑκκαίδεκα γυναικῶν. Φυλάσσουσι δὲ οὐδὲν ἧσσον Ἠλεῖοι καὶ τἆλλ' ὅμως τῶν πόλεων [8]). νενεμημένοι γὰρ ἐς ὀκτὼ Φυλὰς, ἀφ' ἑκάστης αἱροῦνται γυναῖκας δύο. ὁποῖα δὲ ἢ ταῖς ἑκκαίδεκα γυναιξὶν, ἢ τοῖς Ἑλλανοδικοῦσιν Ἠλείων δρᾶν καθέστηκεν, οὐ πρότερον δρῶσι, πρὶν ἢ χοίρῳ τε ἐπιτηδείῳ πρὸς καθαρμὸν, καὶ ὕδατι ἀποκαθήρωνται. γίνεται δέ σφισιν ἐπὶ κρήνῃ Πιέρᾳ τὰ καθάρσια. Ἐκ δὲ Ὀλυμπίας τὴν πεδιάδα ἐς Ἦλιν ἐρχομένῳ, πρὸς τὴν πηγὴν ἀφικέσθαι τὴν Πιέραν ἐστί. ταῦτα μὲν δὴ ἔχει κατὰ τὰ προειρημένα.

## CAPUT XVII.

De multis signis in templo Junonis — arca Cypseli — scribendi ratione βουστροφηδὸν dicta — arcae Cypseli accurata descriptio.

Τῆς Ἥρας δέ ἐστιν ἐν τῷ ναῷ, Διὸς ἄγαλμα· τὸ δὲ Ἥρας καθήμενόν ἐστιν ἐπὶ θρόνου [1]), παρέστηκε δὲ γένειά τε ἔχων, καὶ ἐπικείμενος κυνῆν ἐπὶ τῇ κεφαλῇ. ἔργα δέ ἐστιν ἁπλᾶ. τὰς δὲ ἐφεξῆς τούτων καθημένας ἐπὶ θρόνων Ὥρας ἐποίησεν Αἰγινήτης Ἔμιλος [2]).

 παρὰ

8) τἆλλ' ὅμως τ. πόλ.] Haec male cohaerere, in promtu est, et inter τἆλλ' ὅμως aliquid excidisse videtur.

1) θρόνου] Ex utroque Codice et loquendi usu rescripsi pro vulgato θρόνῳ. Sic C. 18. Μηδείας δὲ ἐπὶ θρόνου καθημένης.

2) Αἰγινήτης Ἔμιλος] *Emili* artificis nullibi nisi hoc loco mentio fit. Inde Doctiss. Valkenar. Diatrib. p. 215. pro Ἔμιλος emendaverat Σμίλις, de quo vid. L. VII. C. 4. Haec conjectura non parum firmatur lectione Codicum, quorum Vind. Ἔμιλις

παρὰ δὲ αὐτὰς Θέμιδος, ἅτε μητρὸς τῶν Ὡρῶν, ἄγαλμα ἕστηκε Δορυκλείδου[3]) τέχνη, γένος μὲν Λακεδαιμονίου, μαθητοῦ δὲ Διποίνου καὶ Σκύλλιδος. τὰς δὲ Ἑσπερίδας πέντε ἀριθμὸν Θεοκλῆς ἐποίησε, Λακεδαιμόνιος μὲν καὶ οὗτος, πατρὸς Ἡγύλου· φοιτῆσαι δὲ καὶ αὐτὸς παρὰ Σκύλλιν καὶ Δίποινον λέγεται. τὴν δὲ Ἀθηνᾶν κράνος ἐπικειμένην, καὶ δόρυ, καὶ ἀσπίδα ἔχουσαν, Λακεδαιμονίου λέγουσιν ἔργον εἶναι Μέδοντος· τοῦτον δὲ ἀδελφόν τε εἶναι Δορυκλείδου, καὶ παρὰ ἀνδράσι διδαχθῆναι τοῖς αὐτοῖς. Κόρη δὲ, καὶ Δημήτηρ, καὶ Ἀπόλλων, καὶ *Ἄρτεμις, αἱ μὲν ἀλλήλων εἰσὶν ἀπαντικρὺ καθήμεναι· Ἀπόλλων δὲ ἐναντίος ἑστῶση τῇ Ἀρτέμιδι ἕστηκεν. ἀνάκειται δὲ ἐνταῦθα καὶ Λητὼ, Τύχη τε καὶ Διόνυσος, καὶ ἔχουσα Νίκη πτερά. τοὺς δὲ εἰργασμένους αὐτὰ οὐκ ἔχω δηλῶσαι· φαίνεται δὲ εἶναί μοι καὶ ταῦτα ἐς τὰ μάλιστα ἀρχαῖα. τὰ μὲν δὴ κατειλεγμένα ἐστὶν ἐλέφαντος καὶ χρυσοῦ. χρόνῳ δὲ ὕστερον καὶ ἄλλα ἀνέθεσαν ἐς τὸ Ἡραῖον· Ἑρμῆν λίθου, Διόνυσον δὲ φέρει νήπιον[4])· τέχνη δὲ ἐστι Πραξιτέλους. καὶ Ἀφροδίτη χαλκῆ, Κλέωνος ἔργον Σικυωνίου. τούτου δὲ ὁ διδάσκαλος τοῦ Κλέωνος, ὄνομα Ἀντιφάνης, ἐκ φοιτήσεως Περικλείτου·

*Ἔμιλις exhibet, et Mosc. Ἄμιλις cum correct. Ἔμιλις.

3) Δορυκλείδου] Uterque Cod. Δορυκλίδου.

4) Διόνυσον δὲ φέρει νήπιον] Vulgatum fuit φέρειν. Cod. Vind. dat Διόνυσος δὲ φέρων νήπιον, et Mosc. Διόνυσος δὲ φέρειν ν. Neutrum vero horum locum habere posse, facile patet, et emendandum esse φέρει, jam *Heyne* V. C. monuit *Antiqu. Aufs.* I. p. 27. r. Parvulum enim Bacchum a Mercurio ad Inonem portatum esse, ex Apollod. III. C. 4. p. 187. atque ex aliis scimus, et sic Mercurius Bacchum puerum portans etiam memoratur supra L. III. C. 11. in fine.

του· Πολυκλείτου δὲ ἦν τοῦ Ἀργείου μαθητὴς ὁ
Περίκλειτος. παιδίον ἐπίχρυσον κάθηται γυμνὸν
πρὸ τῆς Ἀφροδίτης· Βοηθὸς δὲ ἐτόρευσεν αὐτὸ Καρ-
χηδόνιος· μετεκομίσθη δὲ αὐτόσε καὶ ἐκ τοῦ καλου-
μένου Φιλιππείου [5]). χρυσοῦ καὶ ταῦτα καὶ ἐλέ-
φαντος, Εὐρυδίκη τε ἡ Φιλίππου [6]).

Λάρναξ δὲ [7]) κέδρου μὲν πεποίηται· ζώδια δὲ 2
ἐλέφαντος ἐπ' αὐτῆς, τὰ δὲ χρυσοῦ, τὰ δὲ καὶ ἐξ
αὐτῆς ἐστιν εἰργασμένα τῆς κέδρου. ἐς ταύτην τὴν
λάρνακα Κύψελον τὸν Κορίνθου τυραννήσαντα ἀπέ-
κρυψεν ἡ μήτηρ, ἡνίκα τεχθέντα ἀνευρεῖν αὐτὸν
σπουδὴν ἐποιοῦντο οἱ Βακχιάδαι [8]). τῆς μὲν δὴ
σωτηρίας εἵνεκα τοῦ Κυψέλου, τὸ ἀπ' αὐτοῦ γένος
οἱ ὀνομαζόμενοι Κυψελίδαι τὴν λάρνακα ἐς Ὀλυμ-
πίαν ἀνέθεσαν. τὰς δὲ λάρνακας οἱ τότε ἐκάλουν
Κορίνθιοι κυψέλας· ἀπὸ τούτου δὲ καὶ ὄνομα Κύψε-
λον τῷ παιδὶ θέσθαι λέγουσι. Τῶν δ' ἐπὶ τῇ λάρ- 3
νακι ἐπιγραμμάτων ἔπεστι τοῖς πλείοσι γράμμασι
τοῖς

5) Φιλιππείου] De hoc vid. infra C. 20. in fine.

6) Εὐρυδίκη τε ἡ Φιλίππου] *Uxor Philippi*, non, uti *Amaſ.* interpretatur, Philippi filia. Vid. *Kuhn.* ad Aelian. V. H. L. XIII. C. 36. p. 407.

7) Λάρναξ δὲ etc.] In utroque Codice δὲ abeſt. De voce λάρναξ vid. Suid. et Heſych. Dio Chryſoſt., qui Orat. XI. p. 163. ſeſe hanc arcam vidiſſe refert, illam ξυλίνην κιβωτὸν appellat. Deſcriptionem vero hujus arcae accurate et docte pro more dedit explicitam *Heyne* V. C. libello peculiari inſcripto: *Ueber den Kaſten des Cypſelus, ein altes Kunſtwerk zu Olympia mit erhobnen Figuren etc. Götting.* 1770. 8. Jovis quoque ſignum ex auro ductum Olympiae a Cypſelo poſitum fuiſſe, Strabo refert L. VIII. p. 542. B.

8) οἱ Βακχιάδαι] Ald. et uterque Cod. οἱ Βακχίδαι. De qua ſcripturae varietate vid. ſupra not. ad L. II. C. 4., ubi etiam plura de Cypſelo legi poſſunt, de quo copioſius agit Herodot. L. V. ſ. 92.

τοῖς ἀρχαίοις γεγραμμένα· καὶ τὰ μὲν ἐς εὐθὺ αὐτῶν ἔχει, σχήματα δὲ ἄλλα [9]) τῶν γραμμάτων βουστροφηδὸν καλοῦσιν Ἕλληνες. τὸ δὲ ἐστὶ τοιόνδε· ἀπὸ τοῦ πέρατος τοῦ ἔπους ἐπιστρέφει τῶν ἐπῶν τὸ δεύτερον, ὥσπερ ἐν διαύλου δρόμῳ. γέγραπται δὲ ἐπὶ τῇ λάρνακι καὶ ἄλλους τὰ ἐπιγράμματα
4 ἑλιγμοὺς [10]) συμβαλέσθαι χαλεπούς. Ἀρξαμένῳ δὲ ἀνασκοπεῖσθαι κάτωθεν, τοσάδε ἐπὶ τῆς λάρνακος ἡ πρώτη παρέχεται χώρα. Οἰνόμαος διώκων Πέλοπά ἐστιν ἔχοντα Ἱπποδάμειαν [11]). ἑκατέρῳ μὲν δὴ δύο αὐτῶν εἰσιν ἵπποι, τοῖς δὲ τοῦ Πέλοπός ἐστι πεφυκότα καὶ πτερά. ἑξῆς δὲ Ἀμφιαράου τε οἰκία [12]) πεποίηται, καὶ Ἀμφίλοχον φέρει νήπιον πρεσβῦτις ἥτις δή· πρὸ δὲ τῆς οἰκίας Ἐριφύλη τὸν ὅρμον ἔχουσα [13]) ἕστηκε, παρὰ δὲ αὐτὴν αἱ θυγατέρες, Εὐρυδίκη καὶ Δημώνασσα, καὶ Ἀλκμαίων παῖς γυμνός. Ἄσιος [14]) δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀλκμήνην ἐποίησε θυγατέρα Ἀμφιαράου καὶ Ἐριφύλης εἶναι. Βάτων δὲ, ὃς ἡνιόχει τῷ Ἀμφιαράῳ, τάς τε ἡνίας τῶν ἵππων καὶ τῇ χειρὶ ἔχει τῇ ἑτέρᾳ λόγχην. Ἀμφιαράῳ δὲ ὁ μὲν τῶν ποδῶν ἐπιβέβηκεν ἤδη τοῦ ἅρματος·

τὸ

9) καὶ τὰ μὲν — ἔχει, σχήματα δὲ ἄλλα etc.] Mallem καὶ τὰ μὲν — ἔχει σχήματα, τὰ δὲ ἄλλα etc.

10) καὶ ἄλλους τὰ ἐπιγράμματα ἑλιγμοὺς] *Heyne* V. C. lib. c. post ἑλιγμοὺς excidisse ἔχοντα conjicit. Forte etiam emendari possit καὶ κατ'. ἄλλους etc.

11) Οἰνόμαος — Ἱπποδάμειαν] Similiter hoc argumentum expressum legitur supra C. 10. et in Apollon. Rhod. L. I. v. 752.

12) Ἀμφ. τε οἰκία] Cod. Vind. Ἀμφ. τε ἡ οἰκία.

13) Ἐριφ. τὸν ὅρμον ἔχ.] Vid. infra L. IX. C. 41. et Apollod. L. III. C. 6. ſ. 2., ibique *Heyne* V. C. p. 607. Paullo infra pro Δημώνασσα Cod. Vind. Δημόνασσα.

14) Ἄσιος] Confidenter rescripsi pro vulgato Αἴσιος. Vid. de *Asio* not. ad L. II. C. 6.

τὸ ξίφος[15]) δὲ ἔχει γυμνὸν, καὶ ἐς τὴν Ἐριφύλην ἔϛιν ἐπεϛραμμένος, ἐξαγόμενός τε ὑπὸ τοῦ θυμοῦ, ἐκείνης ἂν ἀποσχέσθαι[16]). μετὰ δὲ τοῦ Ἀμφιαράου τὴν οἰκίαν, ἔϛιν ἀγὼν ὁ ἐπὶ Πελίᾳ[17]), καὶ οἱ θεώμενοι τοὺς ἀγωνιϛάς. πεποίηται δὲ Ἡρακλῆς ἐν θρόνῳ καθήμενος, καὶ ὄπισθεν γυνὴ αὐτοῦ[18]). ταύτης τῆς γυναικὸς ἐπίγραμμα μὲν ἔπεϛιν ἥτις ἐϛὶ, Φρυγίοις δὲ αὐλεῖ, καὶ οὐχ Ἑλληνικοῖς αὐλοῖς. ἡνιοχοῦντες δὲ συνωρίδα, Πισός ἐϛιν ὁ Περιήρους, καὶ Ἀϛερίων Κομήτου, πλεῦσαι καὶ οὗτος λεγόμενος ἐπὶ τῆς Ἀργοῦς, καὶ Πολυδεύκης τε καὶ Ἄδμητος, ἐπὶ δὲ αὐτοῖς Εὔφημος, Ποσειδῶνός τε ὢν κατὰ τὸν τῶν ποιητῶν λόγον, καὶ Ἰάσονι ἐς Κόλχους τοῦ πλοῦ μετεσχηκώς· οὗτος δὲ καὶ τῇ συνωρίδι ὁ νικῶν ἐϛιν. οἱ δὲ ἀποτετολμηκότες πυκτεύειν, Ἄδμητος καὶ Μόψος ἐϛὶν ὁ Ἄμπυκος. ἐν μέσῳ δὲ αὐτῶν ἀνὴρ ἑϛηκὼς ἐπαυλεῖ, καθότι καὶ ἐφ᾽ ἡμῶν ἐπὶ τῷ ἅλματι αὐλεῖν τῶν πεντάθλων νομίζουσιν. Ἰάσονι δὲ καὶ Πηλεῖ τὸ ἔργον τῆς πάλης ἐξίσου καθέϛηκε. πεποίηται δὲ καὶ Εὐρυβώτας ἀφιεὶς δίσκον· ὅςτις δὴ οὗτός ἐϛιν ἐπὶ δίσκῳ φήμην ἔχων. οἱ δ᾽ ἐς ἅμιλλαν δρόμου καθεϛηκότες, Μελανίων ἐϛὶ, καὶ Νεοθεὺς,

15) τὸ ξίφος] τὸ in utroque Codice deest.

16) ἐξαγόμενός τε ὑπὸ τ. θυμοῦ, ἐκείνης ἂν ἀ.] Verba ἐκείνης ἂν ἀποσχ. male cum prioribus connexa sunt, ita ut aliquid excidisse videatur. *Kuhn.* illa forte sic restituenda esse putat, ἐκείνης μόλις ἂν ἀποσχέσθαι δοκεῖ. Equidem οὐκ post θυμοῦ inserendum censeo, ut locus ita sese habeat: ἐξαγόμενος τε (scil. ἐϛὶ) ὑπὸ τοῦ θυμοῦ οὐκ ἐκείνης ἂν ἀποσχέσθαι.

17) ἀγὼν ὁ ἐπὶ Πελίᾳ] *Ludi funebres Peliae,* de quibus vid. *Heyne* V. C. ad Apollodor. p. 677.

18) ὄπισθεν γυνὴ αὐτοῦ] Pro ὄπισθεν αὐτοῦ γυνή. Mox τῆς post ταύτης inserui ex utroque Codice.

θεὺς, καὶ Φαλαρεὺς, τέταρτος δὲ Ἀργεῖος, καὶ Ἴφικλος πέμπτος· τούτῳ δὲ νικῶντι ὀρέγει τὸν στέφανον ὁ Ἄκαστος. εἴη δ' ἂν [19]) ὁ Πρωτεσιλάου πατὴρ τοῦ στρατεύσαντος ἐς Ἴλιον. κεῖνται δὲ καὶ τρίποδες, ἆθλα δὴ τοῖς νικῶσι· καὶ θυγατέρες εἰσὶν αἱ Πελίου· τὸ δὲ ὄνομα ἐπὶ τῇ Ἀλκήστιδι γέγραπται μόνῃ. Ἰόλαος δὲ, ὃς ἐθελοντὴς μετεῖχεν Ἡρακλεῖ τῶν ἔργων, ἐστιν ἵππων ἅρματι ἀνῃρημένος νίκην. τὸ δὲ ἀπὸ τούτου, ἀγὼν μὲν ὁ ἐπὶ Πελίᾳ πέπαυται. τὴν ὕδραν δὲ τὸ ἐν τῷ ποταμῷ τῇ Ἀμυμώνῃ [20]) θηρίον Ἡρακλεῖ τοξεύοντι Ἀθηνᾶ παρέστηκεν. ἅτε δὲ τοῦ Ἡρακλέους ὄντος οὐκ ἀγνώστου τοῦ τε ἄθλου χάριν καὶ ἐπὶ τῷ σχήματι, τὸ ὄνομα οὐκ ἔστιν ἐπ' αὐτῷ γεγραμμένον. Φινεύς τε ὁ Θρᾷξ ἐστι, καὶ οἱ παῖδες οἱ Βορέου τὰς Ἁρπυίας ἀπ' αὐτοῦ διώκουσι.

## CAPUT XVIII.

Descriptionis arcae Cypseli continuatio.

Τῆς χώρας δὲ ἐπὶ τῇ λάρνακι τῆς δευτέρας ἐξ ἀριστερῶν μὲν γίγνοιτο ἂν ἡ ἀρχὴ τῆς περιόδου. Πεποίηται δὲ γυνὴ παῖδα λευκὸν καθεύδοντα ἀνέχουσα τῇ δεξιᾷ χειρὶ, τῇ δὲ ἑτέρᾳ μέλανα ἔχει παῖδα καθεύδοντι ἐοικότα, ἀμφοτέρους διεστραμμένους τοὺς πόδας [1]). δηλοῖ μὲν δὴ καὶ τὰ ἐπιγράμματα, συνεῖναι δὲ

19) εἴη δ' ἂν] Scil. Ἴφικλος. Apollodor. L. III. C. 10. f. 8.

20) τῷ ποτ. τῇ Ἀμυμώνῃ] Vid. supra L. II. C. 37.

1) ἀμφ. διεστραμμένους τοὺς πόδας] Plene ἀμφ. δ. (κατὰ) τ. πόδας, *utrumque pedibus distortis seu varis*. Qua imagine imbecillitatem et infirmitatem declarari, ingeniose et docte demonstravit *Heyne* V. C. lib. c. p. 24. sq. Suspicabar quidem, nil nisi vitium ab artifice in pedibus effingendis ad-

δὲ καὶ ἄνευ τῶν ἐπιγραμμάτων ἐςὶ, Θάνατόν τε εἶναι σφᾶς καὶ Ὕπνον, καὶ ἀμφοτέροις Νύκτα αὐτοῖς τροφόν. Γυνὴ δὲ εὐειδὴς γυναῖκα αἰσχρὰν κομίζουσα, καὶ τῇ μὲν ἀπάγχουσα αὐτὴν, τῇ δὲ ῥάβδῳ παίουσα, Δίκη δὴ ταῦτα Ἀδικίαν δρῶσά ἐςι. Δύο δὲ ἄλλας γυναῖκας ἐς ὅλμους καθικνουμένας ὑπέροις, φάρμακα εἰδέναι σφᾶς νομίζουσιν· ἐπεὶ ἄλλως γε οὐδὲν ἐς αὐτάς ἐςιν ἐπίγραμμα. τὰ δὲ ἐς τὸν ἄνδρά τε καὶ γυναῖκα ἑπομένην αὐτῷ, τὰ ἔπη δηλοῖ τὰ ἑξάμετρα· λέγει γὰρ δὴ οὕτως,

Ἴδας Μάρπησσαν[2]) καλλίσφυρον, ἣν οἱ Ἀπόλλων
Ἅρπασε, τὰν ἐκ ναοῦ ἄγει πάλιν οὐκ ἀέκουσαν.

Χιτῶνα δὲ ἐνδεδυκὼς ἀνὴρ τῇ μὲν δεξιᾷ κύλικα[3]), τῇ δὲ ἔχων ἐςὶν ὅρμον· λαμβάνεται δὲ αὐτῶν Ἀλκμήνη. πεποίηται δὲ ἐς τὸν λόγον τῶν Ἑλλήνων, ὡς συγγένοιτο Ἀλκμήνῃ Ζεὺς Ἀμφιτρύωνι εἰκασθείς. Μενέλαος δὲ θώρακά τε ἐνδεδυκὼς, καὶ ἔχων ξίφος ἔπεισιν Ἑλένην ἀποκτεῖναι, δῆλον ὡς[4]) ἁλισκομένης Ἰλίου. Μηδείας δὲ ἐπὶ θρόνου καθημένης, Ἰάσων ἐν

admissum a Pausania accurate, quod viderat, describente hic memoratum esse; sed hoc affirmare, forte nimis temerarium sit.

2) Ἴδας Μάρπησσαν] Ex utroque Cod. restitui Μάρπησσαν pro vulgata Μάρπησαν. De fabula vid. Homer. Il. I. v. 554 sq., ubi Μαρπίσσης legitur, et ibi Schol. Conf. Apollodor. L. I. C. 7. §. 9. Mox pro ἣν uterque Cod. ἂν, et pro ἄγει πάλιν exhibet πάλιν ἄγει.

3) κύλικα] Hoc poculum a Jove Alcmenae datum memoratur quoque in fragmento Athenaei a Casaubono exhibito; vid. Casaub. animadvers. in Athen. L. XI. C. 4. p. 781. l. 34. sq.

4) δῆλον ὡς] Cod. Mosc. δῆλα ὡς. Sic paullo infra δῆλα δὲ ἐς ἅπαντας Ἡρακλέα εἶναι.

ἐν δεξιᾷ· τῇ δὲ Ἀφροδίτῃ παρέστηκε. γέγραπται δὲ καὶ ἐπίγραμμα ἐπ' αὐτοῖς·

Μήδειαν Ἰάσων γαμέει, κέλεται δ' Ἀφροδίτα.

Πεποίηνται δὲ καὶ ᾄδουσαι Μοῦσαι, καὶ Ἀπόλλων ἐξάρχων τῆς ᾠδῆς. καί σφισιν ἐπίγραμμα γέγραπται·

Λατοΐδας οὗτος τάχ' [5]) ἄναξ ἑκάεργος Ἀπόλλων,
Μοῦσαι δ' ἀμφ' αὐτὸν, χαρίεις χορὸς, αἷσι κατάρχει.

Ἄτλας δὲ ἐπὶ μὲν τῶν ὤμων κατὰ τὰ λεγόμενα οὐρανόν τε ἀνέχει καὶ γῆν, φέρει δὲ καὶ τὰ Ἑσπερίδων μῆλα [6]). ὅστις δέ ἐστιν ὁ ἀνὴρ ὁ ἔχων τὸ ξίφος, καὶ ὁ ἐπὶ τὸν Ἄτλαντα ἐρχόμενος, ἰδίᾳ μὲν ἐπ' αὐτῷ γεγραμμένον ἐστὶν οὐδὲν, δῆλα δὲ ἐς ἅπαντας Ἡρακλέα εἶναι. γέγραπται δὲ καὶ ἐπὶ τούτοις·

Ἄτλας δ' οὐρανὸν οὗτος ἔχει, τὰ δὲ μᾶλα μεθήσει.

Ἔστι δὲ καὶ Ἄρης ὅπλα ἐνδεδυκὼς, Ἀφροδίτην ἄγων· ἐπίγραμμα δὲ Ἐνυάλιός ἐστιν αὐτῷ. Πεποίηται δὲ καὶ Θέτις παρθένος, λαμβάνεται δὲ αὐτῆς Πηλεὺς, καὶ ἀπὸ τῆς χειρὸς τῆς Θέτιδος ὄφις ἐπὶ τὸν Πηλέα ἐστὶν ὁρμῶν. Αἱ δὲ ἀδελφαὶ Μεδούσης ἔχουσαι πτερὰ πετόμενον Περσέα διώκουσαί εἰσι· τὸ δὲ ὄνομα ἐπὶ τῷ Περσεῖ γέγραπται μόνῳ.

2 Στρατιωτικὰ δὲ ἐπὶ τρίτῃ χώρᾳ [7]) τῆς λάρνακος· τὸ μὲν πολύ εἰσιν ἐν αὐτοῖς οἱ πεζοὶ, πεποίηνται δὲ καὶ ἐπὶ συνωρίδων ἱππεῖς. ἐπὶ δὲ τοῖς στρατιώταις ἐστὶν

5) τάχ'] Haec vox mihi corrupta esse videtur.

6) Ἄτλας — — μῆλα] Vid. Apollodor. L. II. C. 5. f. 11. ibique *Heyne* V. C.

7) ἐπὶ τρίτῃ χώρᾳ] Cod. Vind. ἐπὶ τῇ τρίτῃ χώρᾳ.

ἐστὶν εἰκάζειν, συνιέναι μὲν σφᾶς ἐς μάχην, συνιέναι δὲ καὶ ἀσπασομένους τε καὶ ἀναγνωριοῦντας ἀλλήλους. λέγεται δὲ καὶ ἐς ἀμφότερα ὑπὸ τῶν ἐξηγητῶν· καὶ τοῖς μέν ἐστιν εἰρημένον Αἰτωλοὺς τοὺς μετὰ Ὀξύλου καὶ Ἠλείους εἶναι τοὺς ἀρχαίους, ἀπαντᾷν δὲ σφᾶς γένους τε μνήμῃ τοῦ ἐξαρχῆς καὶ εὔνοιαν ἐνδεικνυμένους ἐς ἀλλήλους· οἱ δὲ συνιέναι φασὶν ἐς ἀγῶνα τὰ στρατιωτικὰ, Πυλίους δὲ εἶναι καὶ Ἀρκάδας παρά τε Φιγάλειαν πόλιν καὶ ποταμὸν μαχομένους Ἰάρδανον. ταῦτα μὲν δὴ οὐδὲ ἀρχὴν ἀποδέξαιτο[8]) ἄν τις, ὡς ὁ τοῦ Κυψέλου πρόγονος Κορίνθιός τε ὢν, καὶ τὴν λάρνακα αὐτῷ ποιούμενος κτῆμα, ὁπόσα μὲν Κορινθίοις ἦν ἐπιχώρια, ἑκὼν ὑπερέβαινεν, ἃ δὲ ξενικὰ ἦν καὶ οὐδὲ ἄλλως ἥκοντα ἐς δόξαν, ἐτεχνᾶτο ἐπὶ τῇ λάρνακι. αὐτῷ μέν τοι παρίστατο ἐμοὶ ταῦτα εἰκάζειν. Κυψέλῳ καὶ τοῖς προγόνοις ἔκτον ἦν γένος ἐξαρχῆς Γονούσης τῆς ὑπὲρ Σικυῶνος[9]), καὶ πρόγονός σφισιν ἦν Μέλας ὁ Ἀντάσου. Μέλανα δὲ καὶ τὸν σὺν αὐτῷ στρατὸν κατὰ τὰ προειρημένα μοι ἐν τῇ Κορινθίᾳ συγγραφῇ[10]) οὐκ ἤθελεν Ἀλήτης συνοίκους δέξασθαι, γεγονός οἱ μάντευμα ἐκ Δελφῶν

8) ἀποδέξαιτο] Ex utroque Codice rescripsi pro vulgata παραδέξαιτο.

9) ἔκτον ἦν γένος ἐξαρχῆς Γον. τ. ὑπὲρ Σικ.] Uterque Cod. ἐκ τῶνδε ἦν γ. ἐξ. Γον. τῆς ὑπὲρ Σικ., unde textui ὑπὲρ non temere redditum esse a me, patet ex L. II. C. 4. Reliqua quidem turbata et depravata sunt, sive ἔκτον legas, sive ἐκ τῶνδε, facile tamen constitui et emendari possunt; scribendum scilicet ἐκ Γονούσης ἦν γένος ἐξαρχῆς τῆς ὑπὲρ Σικυῶνος. Mox pro Ἀντάσσου rescripsi Ἀντάσου ex Cod. Vind. et Pauf. L. II. C. 4. p. 193., qui locus ad rem ipsam conferendus est.

10) τὰ προειρημένα μοι ἐν τ. Κ. συγγραφῇ] L. II. C. 4. p. 193. Uterque Cod. post μοι exhibet καί.

φῶν ὑφορώμενος· ἐς ὃ θεραπείᾳ τε τῇ πάσῃ χρώμενον Μέλανα, καὶ ὁπότε ἀπελασθείη, σὺν δεήσει ἐπανιόντα αὖθις, ἐδέξατο καὶ ἄκων Ἀλήτης. τοῦτο τὸ στρατιωτικὸν τεκμαίροιτο ἄν τις τοὺς ἐπὶ τῇ λάρνακι εἰργασμένους εἶναι.

## CAPUT XIX.

Descriptionis arcae Cypseli continuatio.

Τέταρτα δὲ ἐπὶ τῇ λάρνακι ἐξ ἀριστερᾶς περιϊόντι, Βορέας ἐστὶν ἡρπακὼς Ὠρείθυιαν. οὐραὶ δὲ ὄφεων ἀντὶ ποδῶν εἰσὶν αὐτῷ. καὶ Ἡρακλέους ὁ πρὸς Γηρυόνην ἀγών· τρεῖς δὲ ἄνδρες Γηρυόνες εἰσὶν ἀλλήλοις προσεχόμενοι. Θησεὺς δὲ ἔχων λύραν, καὶ παρ' αὐτὸν Ἀριάδνη κατέχουσά ἐστι στέφανον. Ἀχιλλεῖ δὲ καὶ Μέμνονι μαχομένοις παρεστήκασιν αἱ μητέρες. Ἔστι δὲ καὶ Μελανίων [1]), καὶ Ἀταλάντη παρ' αὐτὸν ἔχουσα ἐλάφου νεβρόν. Μονομαχοῦντος δὲ Αἴαντι [2]) Ἕκτορος κατὰ τὴν πρόκλησιν, μεταξὺ ἕστηκεν αὐτῶν Ἔρις αἰσχίστη τὸ εἶδος ἐοικυῖα. πρὸς δὲ ταύτῃ καὶ Καλλιφῶν [3]) Σάμιος ἐν Ἀρτέμιδος ἱερῷ τῆς Ἐφεσίας ἐποίησεν Ἔριν, τὴν μάχην γράψας τὴν ἐπὶ ταῖς ναυσὶν Ἑλλήνων [4]). Εἰσὶ

1) Μελανίων etc.] Vid. Apollodor. L. III. C. 9. ſ. 2., ubi legitur Μειλανίων, uti etiam in Palaephato C. 14., ubi vidend. *Fiſcherus* V. C., qui hanc ſcripturam cum aliis probat.

2) Μονομαχοῦντος δὲ Αἴαντι etc.] Vid. Il. η. v. 225. ſq.

3) πρὸς δὲ ταύτῃ καὶ Καλλιφῶν etc.] Amaſ. *ad hujus exemplar Call.*, et Sylb. *praeter hanc.* Poſterius praeferrem. Καλλιφῶν pro vulgato Καλυφῶν reſtitui ex utroque Codice et ipſo Pauſania L. X. C. 26.

4) τὴν μάχην — Ἑλλήνων] Vid. Il. μ.

Εἰσὶ δὲ ἐπὶ τῇ λάρνακι Διόσκουροι [5]), ὁ ἕτερος οὐκ ἔχων πω γένεια, μέση δὲ αὐτῶν Ἑλένη. Αἴθρα δὲ ἡ Πιτθέως ὑπὸ τῆς Ἑλένης τοῖς ποσὶν εἰς ἔδαφος καταβεβλημένη, μέλαιναν ἔχουσά ἐστιν ἐσθῆτα. ἐπίγραμμα δὲ ἐπ' αὐτοῖς ἔπος τὸ ἑξάμετρον, καὶ ὀνόματός ἐστιν ἑνὸς ἐπὶ τῷ ἑξαμέτρῳ προσθήκη·

Τυνδαρίδα Ἑλέναν φέρετον, Αἴθραν δ' Ἀθέναθεν
Ἕλκετον.

τοῦτο μὲν δὴ τὸ ἔπος οὕτω πεποίηται. Ἰφιδάμαντος δὲ τοῦ Ἀντήνορος κειμένου, μαχόμενος πρὸς Ἀγαμέμνονα ὑπὲρ αὐτοῦ Κόων ἐστί [6])· Φόβος δὲ ἐπὶ τοῦ Ἀγαμέμνονος τῇ ἀσπίδι ἔπεστιν, ἔχων τὴν κεφαλὴν λέοντος. ἐπιγράμματα δὲ ὑπὲρ μὲν τοῦ Ἰφιδάμαντος νεκροῦ·

Ἰφιδάμας οὗτός τε, Κόων περιμάρναται αὐτοῦ.

τοῦ Ἀγαμέμνονος δὲ ἐπὶ τῇ ἀσπίδι·

Οὗτος μὲν Φόβος ἐστὶ βροτῶν, ὁ δ' ἔχων Ἀγαμέμνων.

Ἄγει δὲ καὶ Ἑρμῆς παρ' Ἀλέξανδρον τὸν Πριάμου τὰς θεὰς κριθησομένας ὑπὲρ τοῦ κάλλους· καὶ ἔστιν ἐπίγραμμα καὶ τούτοις·

Ἑρμείας ὅδ' Ἀλεξάνδρῳ δείκνυσι διαιτῆν
Τοῦ εἴδους Ἥραν, καὶ Ἀθηνᾶν, καὶ Ἀφροδίταν.

Ἄρτεμις δὲ οὐκ οἶδα ἐφ' ὅτῳ λόγῳ πτέρυγας ἔχουσά ἐστιν ἐπὶ [7]) τῶν ὤμων, καὶ τῇ μὲν δεξιᾷ κατέχει πάρδαλιν,



5) Εἰσὶ δὲ — Διόσκουροι etc.] Vid. ſupra L. II. C. 22. Paullo infra in hexametro pro Ἀθέναθεν ἕλκετον Cod. Moſc. exhibet ἕλκετον Ἀθάναθεν, et Cod. Vind. mendoſe δὲ ἕλκε τὴν Ἀθήναθεν.

6) Ἰφιδάμαντος — Κόων ἐστί] Vid. Homer. Il. λ. v. 221. ſq.

7) ἐπὶ] Ex utroque Codice reſtitui ἐπὶ, quod excidiſſe, jam *Sylb.* recte monuerat.

θαλιν, τῇ δὲ ἑτέρᾳ τῶν χειρῶν λέοντα. Πεποίηται δὲ καὶ Κασσάνδραν ἀπὸ τοῦ ἀγάλματος Αἴας τῆς Ἀθηνᾶς ἕλκων· ἐπ᾽ αὐτῷ δὲ καὶ ἐπίγραμμά ἐστιν·

Αἴας Κασσάνδραν ἀπ᾽ Ἀθηναίας Λοκρὸς ἕλκει.

Τῶν δὲ Οἰδίποδος παίδων Πολυνείκει πεπτωκότι ἐς γόνυ, ἔπεισιν Ἐτεοκλῆς. τοῦ Πολυνείκους δὲ ὄπισθεν ἕστηκεν [8]) ὀδόντας τε ἔχουσα οὐδὲν ἡμερωτέρους θηρίου, καί οἱ καὶ τῶν χειρῶν εἰσιν ἐπικαμπεῖς οἱ ὄνυχες· ἐπίγραμμα δὲ ἐπ᾽ αὐτῇ εἶναί φασι Κῆρα· ὡς τὸν μὲν ὑπὸ τοῦ πεπρωμένου τὸν Πολυνείκην ἀπαχθέντα, Ἐτεοκλεῖ δὲ γενομένης καὶ σὺν τῷ δικαίῳ τῆς τελευτῆς. Διόνυσος δὲ ἐν ἄντρῳ κατακείμενος γένεια ἔχων καὶ ἔκπωμα χρυσοῦν, ἐνδεδυκὼς ἐστι ποδήρη χιτῶνα. δένδρα δὲ ἄμπελοι περὶ αὐτὸν, καὶ μηλέαι τε εἰσὶ καὶ ῥοιαί [9]).

2 Ἡ δὲ ἀνωτάτω χώρα (πέντε γάρ ἀριθμόν εἰσι) παρέχεται μὲν ἐπίγραμμα οὐδὲν, λείπεται δὲ εἰκάζειν εἰς τὰ ἐπειργασμένα. Εἰσὶν οὖν ἐν σπηλαίῳ γυνὴ καθεύδουσα σὺν ἀνδρὶ ἐπὶ κλίνῃ· καὶ σφᾶς Ὀδυσσέα εἶναι καὶ Κίρκην ἐδοξάζομεν ἀριθμῷ τέ τῶν θεραπαινῶν, αἵ εἰσι πρὸ τοῦ σπηλαίου, καὶ τοῖς ποιουμένοις ὑπ᾽ αὐτῶν· τέσσαρές τε γάρ εἰσι αἱ γυναῖκες, καὶ ἐργάζονται τὰ ἔργα, ἃ ἐν τοῖς ἔπεσιν Ὅμηρος [10]) εἴρηκεν. Κένταυρος δὲ τούτους πάντας ἵππου πόδας [11]), τοὺς

8) ἕστηκεν] Hic vox γυνὴ vel γραῦς vel similis nominativus excidit. Κὴρ similiter expressum ab Hesiod. Scut. Herc. v. 254.

9) ῥοιαί] Ex utroque Codice dedi pro vulgato ῥόαι, quod minus usitatum. Paullo ante pro ἄμπελοι Cod. Vind. dat αἱ ἄμπελοι.

10) Ὅμηρος] Odyss. κ. v. 348.

11) τούτους πάντας ἵππου πόδας] Pro vulgata ἱππόποδας ex utroque Codice rescripsi ἵππου πόδας. Verba autem τούτους

τοὺς δὲ ἔμπροσθεν αὐτῶν ἔχων ἀνδρός ἐστιν. ἑξῆς καὶ ἵππων συνωρίδες, καὶ γυναῖκες ἐπὶ τῶν συνωρίδων εἰσὶν ἐστῶσαι· πτερὰ δὲ τοῖς ἵπποις χρυσᾶ ἐστι, καὶ ἀνὴρ δίδωσιν ὅπλα μιᾷ τῶν γυναικῶν. ταῦτα ἐς τὴν Πατρόκλου τελευτὴν [12]) ἔχειν τεκμαίρονται, Νηρηΐδας τε γὰρ ἐπὶ τῶν συνωρίδων εἶναι, καὶ Θέτιν τὰ ὅπλα λαμβάνειν παρὰ Ἡφαίστου· καὶ δὴ καὶ ἄλλως ὁ τὰ ὅπλα διδοὺς, οὔτε τοὺς πόδας ἐστὶν ἐῤῥωμένος, καὶ ὄπισθεν οἰκέτης ἕπεταί οἱ πυράγραν ἔχων. λέγεται δὲ καὶ ἐς τὸν Κένταυρον, ὡς Χείρων ἀπηλλαγμένος ἤδη παρὰ ἀνθρώπων καὶ ἠξιωμένος εἶναι σύνοικος θεοῖς, ῥαστώνην τινὰ ἥκοι τοῦ πένθους Ἀχιλλεῖ παρασκευάζων. Παρθένους δὲ ἐπὶ ἡμιόνων, τὴν μὲν ἔχουσαν τὰς ἡνίας [13]), τὴν δὲ ἐπικειμένην κάλυμμα ἐπὶ τῇ κεφαλῇ, Ναυσικᾶν τε νομίζουσιν εἶναι τὴν Ἀλκινόου, καὶ τὴν θεράπαιναν, ἐλαυνούσας ἐπὶ τοὺς πλυνούς. Τοξεύοντα δὲ ἄνδρα Κενταύρους, τοὺς δὲ καὶ ἀπεκτονότα ἐξ αὐτῶν, δῆλα Ἡρακλέα τε τὸν τοξεύοντα, καὶ Ἡρακλέους εἶναι τὸ ἔργον. Τὸν μὲν δὴ τὴν λάρνακα κατειργασμένον ὅστις ἦν, οὐδαμῶς ἡμῖν δυνατὰ ἦν συμβαλέσθαι. τὰ ἐπιγράμματα δὲ τὰ ἐπ' αὐτὴν τάχα μέν που καὶ ἄλλός τις ἂν εἴη πεποιηκώς· τῆς δὲ ὑπο-



τούτους πάντας ab hoc loco aliena vel corrupta esse, nemo infitiabitur. *Sylb.* conjecit τοὺς μὲν ὄπισθεν ἵππου πόδας, et *Kuhn.* τοὺς μὲν ἄποθεν ἵππ. π. Sed palmam fert doctissimus *Heyne*, qui lib. cit. praeclare emendat οὐ τοὺς πάντας ἵππου πόδας etc.

12) ἐς τὴν Πατρόκλου τελευτὴν etc.] De Patrocli morte vid. Il. π. in fine, et de Thetide Il. σ. v. 369. sq.

13) τὰς ἡνίας etc.] τὰς restitui ex utroque Codice. Locus Homeri de Nausicaa est Odyss. ζ. ab init. Ἀλκινόου pro vulgata Ἀλκίνου dedi ex Cod. Mosc.

νοίας τὸ πολὺ ἐς Εὔμηλον [14]) τὸν Κορίνθιον εἶχεν ἡμῖν, ἄλλων θ' εἵνεκα, καὶ τοῦ προσῳδίου μάλιστα, ὃ ἐποίησεν ἐς Δῆλον.

## CAPUT XX.

De aliis donariis in aede Junonis Olympiae, Iphiti diſco, et menſa, in qua coronae victoribus poſitae — de cadavere militis ſaucii reperto narratio — de Oenomai columna — templo matris deorum, Matroo dicto, et Philippeo.

Ἔστι δὲ καὶ ἄλλα ἀναθήματα ἐνταῦθα· κλίνη τε μέγεθος οὐ μεγάλη, τὰ πολλὰ ἐλέφαντι κεκοσμημένη, καὶ ὁ Ἰφίτου δίσκος, καὶ τράπεζα, ἐφ' ἧς [1]) προστίθενται τοῖς νικῶσιν οἱ στέφανοι. τὴν μὲν δὴ Ἱπποδαμείας λέγουσιν εἶναι παίγνιον· ὁ δὲ τοῦ Ἰφίτου δίσκος ἦν ἐκεχειρία, ἣν [2]) ἐπὶ τοῖς Ὀλυμπίοις ἐπαγγέλλουσιν οἱ Ἠλεῖοι. ταύτην οὐκ ἐς εὐθὺ [3]) ἔχει γεγραμμένην, ἀλλὰ ἐς κύκλου σχῆμα περίεισιν ἐπὶ τῷ δίσκῳ τὰ γράμματα. ἡ τράπεζα δὲ ἐλέφαντος μὲν πεποίηται καὶ χρυσοῦ, Κωλώτου δέ ἐστιν ἔργον. εἶναι δέ φασιν ἐξ Ἡρακλέους τὸν Κωλώτην. οἱ δὲ πολυ-

14) Εὔμηλον] De *Eumelo* vid. not. ad L. II. C. 1., et de ejus *prosodio* L. IV. C. 4. Conf. Heyne V. C. lib. cit. p. 59.

1) ἐφ' ἧς] Reſtitui ἧς ex utroque Codice pro mendoſe vulgato οἷς. Conf. de hac menſa C. 12.

2) ἦν ἐκεχειρία, ἣν etc.] Sic hic locus, in utroque Codice ita exhibitus, planus evaſit, cum, quae vitioſe antea legebantur, τὴν ἐκεχειρίαν, τὴν etc. interpretibus varia conjiciendi locum dediſſent.

3) ἐς εὐθὺ] Non temere me εὐθὺ emendaſſe arbitror pro vitioſa vulgata εὐθύς. Eadem dictio fuit ſupra C. 17. τὰ μὲν (ſcil. γράμματα) ἐς εὐθὺ αὐτῶν ἔχει.

πολυπραγμονήσαντες σπουδῇ τὰ ἐς τοὺς πλάστας,
Πάριον ἀποφαίνουσιν ὄντα αὐτὸν, μαθητὴν Πασιτέλους[4]· Πασιτέλη δὲ αὐτὸν διδαχθῆναι[5]). καὶ Ἥρα
τε καὶ Ζεὺς, καὶ θεῶν Μήτηρ, καὶ Ἑρμῆς, καὶ
Ἀπόλλων μετὰ Ἀρτέμιδος πεποίηται. ὄπισθεν[6])
δὲ ἡ διάθεσίς ἐστιν ἡ τοῦ ἀγῶνος. κατὰ δὲ ἑκατέραν
πλευρὰν, τῇ μὲν Ἀσκληπιὸς καὶ τῶν Ἀσκληπιοῦ θυγατέρων Ὑγεία ἐστίν· ἔστι δὲ καὶ Ἄρης, καὶ ἀγὼν παρ'
αὐτόν· τῇ δὲ Πλούτων, καὶ Διόνυσος, Περσεφόνη τε
καὶ Νύμφαι, σφαῖραν αὐτῶν ἡ ἑτέρα φέρουσα, ἡ δὲ
κλεῖδα. ἔχει γὰρ δὴ ὁ Πλούτων κλεῖν, καὶ λέγουσιν
ἐπ' αὐτῇ τὸν καλούμενον Ἅδην κεκλεῖσθαί τε ὑπὸ τοῦ
Πλούτωνος, καὶ ὡς ἐπάνεισιν οὐδεὶς αὖθις ἐξ αὐτοῦ.
Λόγον δὲ, ὃν Ἀρίσταρχος ἔλεγεν ὁ τῶν Ὀλυμπιάσιν 2
ἐξηγητὴς, οὔ με εἰκὸς ἦν παριδεῖν· ὃς ἐπὶ τῆς ἡλικίας
ἔφη τῆς ἑαυτοῦ, τὸν ὄροφον τοῦ Ἡραίου πεπονηκότα
ἐπανορθουμένων Ἠλείων, ὁπλίτου νεκρὸν τραύματα
ἔχοντα μεταξὺ ἀμφοτέρων εὑρεθῆναι, τῆς τε ἐς εὐπρέπειαν στέγης, καὶ τῆς ἀνεχούσης τὸν κέραμον· τοῦτον τὸν
ἄνδρα μαχέσασθαι τὴν μάχην τὴν ἐντὸς Ἄλτεως πρὸς
Λακεδαιμονίους Ἠλείων[7]). καὶ γὰρ ἐπὶ τῶν θεῶν τὰ ἱερὰ
καὶ ἐς πάντα ὁμοίως τὰ ὑψηλὰ ἐπαναβαίνοντες ἠμύνοντο οἱ Ἠλεῖοι. οὗτος δ' οὖν ὁ ἀνὴρ ἐφαίνετο ἡμῖν ὑποδῦναι
μὲν ἐνταῦθα, λιποψυχήσας ὑπὸ τῶν τραυμάτων·



4) μαθητὴν Πασιτέλους] Dissentit Plin. H. N. L. XXXV. C. 8., ubi *Coloten* Phidiae discipulum ejusque in faciendo Jove Olympio adjutorem fuisse legimus.

5) Πασιτέλη δὲ αὐτὸν διδαχθῆναι] Sic Pasiteles fuisset αὐτοδίδακτος. Sed forte ista mutilata sunt, et nomen magistri cum praepositione post διδαχθῆναι excidit.

6) ὄπισθεν] *a tergo*, scil. *signorum modo memoratorum.*

7) πρὸς Λακεδαιμονίους Ἠλείων etc.] Vid. C. 27. in fine. Conf. L. III. C. 8. et Xenoph. Hist. Gr. L. VII. C. 4. §. 31. 32.

ὡς δὲ ἀφῆκε τὴν ψυχὴν, οὐκ ἔμελλεν ἄρα οὔτε πνῖγος θέρους, οὔτε ἐν χειμῶνι κρυμὸς ἔσεσθαι τῷ νεκρῷ βλάβος, ἅτε ἐν σκέπῃ πάσῃ κειμένῳ. ἔλεγε δὲ καὶ τόδε ἔτι ὁ Ἀρίσαρχος, ὡς ἐκκομίσαιντο ἐς τὸ ἐκτὸς τῆς Ἄλτεως τὸν νεκρὸν, καὶ ὁμοῦ τοῖς ὅπλοις γῇ
3 κρύψαιεν. Ἣν δὲ καλοῦσιν Οἰνομάου κίονα, καὶ οἱ Ἠλεῖοι καλοῦσιν, ἔςι μὲν πρὸς τὸ ἱερὸν τοῦ Διὸς ἰόντι ἀπὸ τοῦ μεγάλου βωμοῦ. τέσσαρες δέ εἰσιν ἐν ἀρισερᾷ κίονες, καὶ ἐπ' αὐτῶν ὄροφος. πεποίηνται δὲ ἔρυμα εἶναι ξυλίνῳ κίονι πεπονηκότι ὑπὸ τοῦ χρόνου [8]), καὶ τὰ πολλὰ ὑπὸ δεσμῶν συνεχομένῳ. οὗτος ὁ κίων ἐν οἰκίᾳ τοῦ Οἰνομάου (καθὰ λέγουσιν) εἱςήκει. κεραυνώσαντος δὲ τοῦ θεοῦ τὴν μὲν ἄλλην ἠφάνισεν οἰκίαν τὸ πῦρ, ὑπέλιπε δὲ τὸν κίονα ἐξ ἁπάσης μόνον. πινάκιον δὲ πρὸ αὐτοῦ χαλκοῦν ἐλεγεῖα ἔχει γεγραμμένα·

Καὶ γὰρ ἐγὼ κείνων εἰμ', ὦ ξένε, λείψανον οἴκων,
Στῦλος ἐν Οἰνομάου πρίν ποτ' ἐνοῦσα [9]) δόμοις·
Νῦν δὲ παρὰ Κρονίδην κεῖμαι τάδ' ἔχουσα τὰ δεσμὰ
Τίμιος· οὐδ' ὀλοὴ δέξατο φλόξ με πυρός.

4 συνέβη δὲ καὶ ἄλλο κατ' ἐμὲ τοιόνδε. Ἀνὴρ βουλῆς τῆς Ῥωμαίων ἀνείλετο Ὀλυμπικὴν νίκην· ἐθέλων δὲ ὑπολιπέσθαι τῆς νίκης ὑπόμνημα χαλκῆν εἰκόνα ἐπιγράμματι, ὤρυσσον [10]) ἐς ποίησιν βόθρου, καὶ ὡς ἐγένετο ἐγγύτατα τὸ ὄρυγμα αὐτῷ τῆς τοῦ Οἰνομάου κίονος, ἐνταῦθα εὕρισκον οἱ ὀρύσσοντες καὶ ὅπλων καὶ χαλινῶν

8) τοῦ χρόνου] Ex utroque Codice dedi τοῦ, quod in vulgatis aberat.

9) ἐνοῦσα] Cod. Vind. οὖσα.

10) ὤρυσσον] Uterque Codex ὤρυσσεν. Sed vulgata praestat propter pluralem statim sequentem εὕρισκον.

χαλινῶν καὶ ψελλίων [11]) θραύσματα. ταῦτα μὲν δὴ αὐτὸς ἑώρων ὀρυσσόμενα. Ναὸν δὲ μεγέθει μέγαν καὶ ἐργασίᾳ Δώριον, Μητρῷον καὶ ἐς ἐμὲ καλοῦσι ἔτι, τὸ ὄνομα αὐτῷ διασώζοντες [12]) τὸ ἀρχαῖον. κεῖται δὲ οὐκ ἄγαλμα ἐν αὐτῷ θεῶν μητρός· βασιλέων δὲ ἑστήκασιν ἀνδριάντες Ῥωμαίων. ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως τὸ Μητρῷον, καὶ οἴκημα περιφερὲς ὀνομαζόμενον Φιλιππεῖον. ἐπὶ κορυφὴν [13]) δέ ἐστι τοῦ Φιλιππείου μήκων χαλκῆ σύνδεσμος ταῖς δοκοῖς. τοῦτο τὸ οἴκημα ἔστι μὲν κατὰ τὴν ἔξοδον τὴν κατὰ τὸ Πρυτανεῖον ἐν ἀριστερᾷ, πεποίηται δὲ ὀπτῆς πλίνθου, κίονες δὲ περὶ αὐτῷ [14]) ἑστήκασι· Φιλίππῳ δὲ ἐποιήθη κατὰ τὸ ἐν Χαιρωνείᾳ τὴν Ἑλλάδα ὀλισθεῖν. κεῖνται δὲ αὐτόθι Φίλιππός τε καὶ Ἀλέξανδρος, σὺν δὲ αὐτοῖς Ἀμύντας ὁ Φιλίππου πατήρ. ἔργα δ' ἐστὶ καὶ ταῦτα Λεωχάρους ἐλέφαντος καὶ χρυσοῦ, καθὰ καὶ τῆς Ὀλυμπιάδος καὶ Εὐρυδίκης εἰσὶν εἰκόνες.

11) ψελλίων] In utroque Codice est ψαλίων, *capistrorum*, quae cum reliquis magis convenire videntur, quam *armillae*.

12) διασώζοντες] Hanc vocem ante ἔτι vulgatam utriusque Codicis auctoritate in hunc locum transtuli.

13) ἐπὶ κορυφὴν] Paullo durius hoc dictum est pro ἐπὶ τῇ κορυφῇ. Certe scribere mallem ἐπὶ κορυφῇ.

14) περὶ αὐτῷ] Praeferrem περὶ αὐτό, qui casus semper fere jungitur praepositioni περί, si *circum* denotat. Mendosa Codicis Vind. lectio περὶ ὀκτὼ illud quodammodo firmare possit.

## CAPUT XXI.

Recensio donariorum Olympiae positorum et signorum — Jovis signa VI., Zanes dicta, et ex pecunia mulctatitia ob largitionem in certaminibus Olympicis erecta — alia VI. de Callippi mulcta — alia II. — memorantur alii, qui in ludis Olympicis largitionibus usi mulctati sunt, Philostratus — Apollonius — Didas et Garapammon — Damonicus — de Echus porticu et Sarapione ob timiditatem mulctato.

Τὸ δὲ ἀπὸ τούτου μοι πρόεισιν ὁ λόγος ἔς τε τῶν ἀνδριάντων καὶ ἐς τῶν [1]) ἀναθημάτων ἐξήγησιν· ἀναμίξαι δὲ οὐκ ἀρεστὰ ἦν μοι τὸν ἐπ' αὐτοῖς λόγον. ἐν ἀκροπόλει μὲν γὰρ τῇ Ἀθήνῃσιν, οἵ τε ἀνδριάντες καὶ ὁπόσα ἄλλα, τὰ πάντα ἐστὶν ὁμοίως ἀναθήματα· ἐν δὲ τῇ Ἄλτει [2]), τὰ μὲν τιμῇ τῇ ἐς τὸ θεῖον ἀνάκειται, οἱ δὲ ἀνδριάντες τῶν νικώντων ἐν ἄθλου λόγῳ σφίσι καὶ οὗτοι δίδονται. τῶν μὲν δὴ ἀνδριάντων ποιησόμεθα καὶ ὕστερον μνήμην· ἐς δὲ τὰ ἀναθήματα ἡμῖν τραπήσεται πρότερον [3]) ὁ λόγος, τὰ ἀξιολογώτατα αὐτῶν ἐπερχομένοις.
2 Ἰόντι γὰρ ἐπὶ τὸ στάδιον τὴν ὁδὸν τὴν ἀπὸ τοῦ Μητρῴου, ἔστιν ἐν ἀριστερᾷ κατὰ τὸ πέρας τοῦ ὄρους τοῦ Κρονίου, λίθων τε [4]) πρὸς αὐτῷ τῷ ὄρει κρηπὶς, καὶ ἀναβαθμοὶ δι' αὐτῆς. πρὸς δὲ τῇ κρηπῖδι ἀγάλματα Διὸς ἀνάκειται χαλκᾶ. ταῦτα

1) ἐς τῶν] In Cod. Vindob. desunt.

2) Ἄλτει] Ex Cod. Vindob. pro vulgata Ἄλτι.

3) πρότερον] Uterque Codex πρότερα.

4) λίθων τε] Uterque Codex λίθου τε. Ex lapide porino exstructam fuisse hanc crepidinem, legitur L. VI. C. 19. init.

ταῦτα ἐποιήθη μὲν ἀπὸ χρημάτων ἐπιβληθείσης ἀθληταῖς ζημίας ὑβρίσασιν ἐς τὸν ἀγῶνα· καλοῦνται δὲ ὑπὸ τῶν ἐπιχωρίων Ζᾶνες [5]). πρῶτοι δὲ ἀριθμὸν ἓξ ἐπὶ τῆς ὀγδόης ἔστησαν καὶ ἐνενηκοστῆς ὀλυμπιάδος. Εὔπωλος γὰρ Θεσσαλὸς χρήμασι διέφθειρε τοὺς ἐλθόντας τῶν πυκτῶν, Ἀγήτορα Ἀρκάδα καὶ Πρύτανιν Κυζικηνὸν, σὺν δὲ αὐτοῖς καὶ Φορμίωνα, Ἁλικαρνασσέα μὲν γένος, ὀλυμπιάδι δὲ τῇ πρὸ ταύτης κρατήσαντα. τοῦτο ἐξ ἀθλητῶν ἀδίκημα ἐς τὸν ἀγῶνα πρῶτον γενέσθαι λέγουσι, καὶ πρῶτοι χρήμασιν ἐζημιώθησαν ὑπὸ Ἠλείων Εὔπωλος καὶ οἱ δεξάμενοι δῶρα παρὰ Εὐπώλου. δύο μὲν δὴ ἐξ αὐτῶν ἔργα Κλέωνος Σικυωνίου· τὰ δὲ ἐφεξῆς τέσσαρα ὅστις ἐποίησεν, οὐκ ἴσμεν. τῶν δὲ ἀγαλμάτων τούτων παρέντι τρίτον τ' ἐξ αὐτῶν καὶ τέταρτον, γεγραμμένα ἐλεγεῖά ἐστιν ἐπὶ τοῖς ἄλλοις. ἐθέλει δὲ τὸ μὲν πρῶτον τῶν ἐλεγείων δηλοῦν, ὡς οὐ χρήμασιν, ἀλλὰ ὠκύτητι τῶν ποδῶν καὶ ὑπὸ ἰσχύος σώματος Ὀλυμπικήν [6]) ἐστιν εὑρέσθαι νίκην. τὸ δ' ἐπὶ τῷ δευτέρῳ φησὶν ᾧ τὸ ἄγαλμα ἕστηκε [7]), τιμῇ τε τῇ ἐς τὸ θεῖον, καὶ ὑπὸ εὐσεβείας τῆς Ἠλείων, καὶ ἀθληταῖς παρανομοῦσιν εἶναι δέος. πέμπτῳ τε καὶ ἕκτῳ, τῷ μέν ἐστιν ἡ τοῦ ἐπιγράμματος γνώμη τά τε ἄλλα ἐς ἔπαινον Ἠλείων, καὶ οὐχ ἥκιστα ἐπὶ τῇ ζημίᾳ τῶν πυκτῶν· ἐπὶ δὲ τῷ ὑπο-

5) Ζᾶνες] Hesych. Ζὰν, Ζεύς, ubi vid. not.

6) Ὀλυμπικήν] Cod. Mosc. Ὀλυμπιακήν· quae verbi forma in hoc Codice constanter exhibetur. Vid. *Thom. Mag.* et *Wesseling.* ad Diodor. L. I. f. 95.

7) ᾧ τὸ ἄγαλμα ἕστηκε] Pro ἐφ' ᾧ (vel ἐς ὃ) τὸ ἄγ. ἕστηκε. Congruit cum dativo ᾧ sequens τιμῇ τε etc. Attamen *Kuhnio* ᾧ mutare cum ὡς haud male visum est. Sic enim inferius: λέγει δὲ τὸ μὲν πρῶτον αὐτῶν, ὡς etc.

ὑπολοίπῳ, διδασκαλίαν [8]) πᾶσιν Ἕλλησιν εἶναι τὰ ἀγάλματα, μηδένα ἐπὶ Ὀλυμπικῇ νίκῃ διδόναι χρήματα.
3 Εὐπώλου δὲ ὕϛερόν φασιν Ἀθηναῖον [9]) Κάλλιππον ἀθλήσαντα πένταθλον, ἐξωνήσασθαι τοὺς ἀνταγωνιουμένους χρήμασι· δευτέραν δὲ ἐπὶ ταῖς δέκα τε καὶ ἑκατὸν ὀλυμπιάδα εἶναι ταύτην. ἐπιβληθείσης δὲ τῷ Καλλίππῳ καὶ τοῖς ἀνταγωνισαμένοις [10]) ζημίας ὑπὸ Ἠλείων, ἀποϛέλλουσιν Ὑπερίδην Ἀθηναῖοι [11]) πείσοντα Ἠλείους ἀφεῖναί σφισι τὴν ζημίαν. ἀπειπόντων δὲ Ἠλείων τὴν χάριν, ἐχρῶντο ὑπεροψίᾳ τοιᾷδε ἐς αὐτοὺς οἱ Ἀθηναῖοι, οὔτε ἀποδιδόντες τὰ χρήματα, καὶ Ὀλυμπίων εἰργόμενοι, πρὶν ἢ σφισιν ὁ θεὸς ἐν Δελφοῖς οὐ πρότερον ἔφησεν ὑπὲρ οὐδενὸς χρήσειν, πρὶν ἢ τὴν ζημίαν ἀποδοῖεν Ἠλείοις. οὕτω δὴ ἀποδόντων ἐποιήθη τῷ Διῒ ἀγάλματα, ἓξ μὲν καὶ ταῦτα. γέγραπται δὲ ἐπ' αὐτοῖς ἐλεγεῖα, οὐδέν τι δεξιώτερα ἐς ποίησιν, ἢ τὰ ἔχοντα τὴν ζημίαν τὴν Εὐπώλου. γνῶμαι δέ εἰσι τῶν ἐπιγραμμάτων, πρῶτον μὲν ἀνατεθῆναι ἀγάλματα μαντείᾳ τοῦ θεοῦ τιμήσαντος τὰ ἐς τοὺς πεντάθλους δόξαντα Ἠλείοις. τὸ δὲ ἐπὶ τῷ δευτέρῳ, καὶ ὡσαύτως ἐπὶ τῷ τρίτῳ, Ἠλείους ἐπαινοῦντά ἐϛιν ἐπὶ τῶν πεντάθλων τῇ ζημίᾳ. τὸ τέταρτον δὲ ἐθέλει λέγειν τὸν Ὀλυμπιάσιν ἀγῶνα ἀρετῆς εἶναι, καὶ οὐ χρημάτων. τὰ δὲ ἐπιγράμματα ἐπὶ τῷ πέμπτῳ τε καὶ ἕκτῳ, τὸ μὲν αὐτῶν δηλοῖ, καθ' ἥντινα αἰτίαν ἀνετέθη τὰ ἀγάλματα, τὸ δὲ ἀναμιμνήσκει

8) διδασκαλίαν] Utriusque Codicis lectio διδασκαλία ob orationis ſtructuram locum habere nequit.

9) Εὐπώλου — Ἀθηναῖον] Cod. Vindob. Εὔπωλον — Ἀθηναῖοι.

10) ἀνταγωνισαμένοις] Cod. Moſc. ἀνταγωνιζομένοις.

11) Ὑπερίδην Ἀθηναῖοι] Cod. Vind. Ὑπερίδην Ἀθηναῖον. Ad rem ipſam vid. Plutarch. Hyper.

μνήσκει τοῦ χρησμοῦ τοῦ Ἀθηναίοις ἐλθόντος ἐκ
Δελφῶν. Τῶν δὲ κατειλεγμένων τὰ ἐφεξῆς ἀγάλ- 4
ματα δύο μέν ἐστιν ἀριθμὸν, ἀνετέθη δὲ ἐπιτεθείσης
παλαισταῖς ἀνδράσι ζημίας· οἵτινες δὲ ἐκαλοῦντο,
ἐμέ γε ἢ τούς[12]) Ἠλείων λέληθεν ἐξηγητάς. ἐπιγράμ-
ματα μὲν γὰρ καὶ ἐπὶ τούτοις τοῖς ἀγάλμασιν [13])
ἔπεστι. λέγει δὲ τὸ μὲν πρῶτον αὐτῶν, ὡς τῷ
Ὀλυμπίῳ Διὶ Ῥόδιοι χρήματα ὑπὲρ ἀνδρὸς ἀδικίας
ἐκτίσαιεν παλαιστοῦ· τὸ δὲ ἕτερον, ὡς ἀνδρῶν ἐπὶ
δώροις παλαισάντων, ἀπὸ τῶν ἐπιβληθέντων χρημά-
των αὐτοῖς γένοιτο τὸ ἄγαλμα. Τὰ δὲ ἐπίλοιπα ἐς 5
τοὺς ἀθλητὰς τούτους οἱ ἐξηγηταὶ λέγουσιν οἱ
Ἠλείων, ὀγδόην μὲν ἐπὶ ταῖς ἑβδομήκοντα καὶ ἑκα-
τὸν ὀλυμπιάδα εἶναι, λαβεῖν δὲ Εὔδηλον παρὰ Φιλο-
στράτου χρήματα· τοῦτον δὲ εἶναι τὸν Φιλόστρατον
Ῥόδιον. τούτῳ τῷ λόγῳ διάφορα ὄντα εὕρισκον τὰ
Ἠλείων ἐς τοὺς Ὀλυμπιονίκας[14]) γράμματα. ἔστι
γὰρ δὴ ἐν τοῖς γράμμασι τούτοις, Στράτωνα Ἀλεξαν-
δρέα ὀλυμπιάδι ὀγδόῃ μετὰ τὰς ἑβδομήκοντα καὶ
ἑκατὸν, ἐπὶ ἡμέρας ἀνελέσθαι τῆς αὐτῆς παγκρατίου
καὶ πάλης νίκην. Ἀλεξανδρείας δὲ τῆς ἐπὶ τῷ Κα-
νωβικῷ τῷ Νείλου στόματι, Ἀλέξανδρος μὲν οἰκιστὴς
ἐγένετο ὁ Φιλίππου. λέγεται δὲ καὶ πρότερον ἔτι
πόλισμα Αἰγυπτίων ἐνταῦθα οὐ μέγα εἶναι Ῥακῶτιν.
Στράτωνος δὲ τούτου τρεῖς μὲν ἡλικίᾳ πρότερον, το-
σοῦτοι δὲ ἄλλοι μετ' αὐτόν εἰσι δῆλοι τὸν κότι-
νον παγκρατίου τε ἆθλα εἰληφότες καὶ πάλης.
καὶ

12) ἐμέ γε ἢ τούς] *Amas.* recte legisse videtur ἐμέ τε καὶ τούς.

13) τούτοις τοῖς ἀγάλμασιν] Ex utroque Codice haec rescripsi pro vitiose vulgatis τούτοις ἀγάλματα.

14) Ὀλυμπιονίκας] Cod. Mosc. Ὀλυμπιονίκους.

καὶ πρῶτος [15]) μὲν ἐξ αὐτῆς Ἤλιδος, Ἑλλήνων δὲ τῶν πέραν Αἴνου [16]), Ῥόδιος δὲ Ἀριστομένης, καὶ Μαγνήτων τῶν ἐπὶ Ληθαίῳ Πρωτοφάνης [17]). Οἱ δὲ ὕστερον τοῦ Στράτωνος, Μαρίων τε πόλεως ἐκείνῳ τῆς αὐτῆς, καὶ Στρατονικεὺς [18]) Ἀριστέας (τὰ δὲ παλαιότερα ἥ τε χώρα καὶ ἡ πόλις ἐκαλεῖτο Χρυσάορις), ἕβδομος [19]) δὲ Νικόστρατος ἐκ τῶν ἐπὶ θαλάσσῃ Κιλίκων, οὐδὲν τοῖς Κίλιξιν αὐτοῦ μετὸν, εἰ μὴ ὅσα τῷ λόγῳ [20]). τοῦτον τὸν Νικόστρατον νήπιον παῖδα ἔτι ἐκ Πρυμνησσοῦ λῃσταὶ τῆς Φρυγῶν ἥρπασαν, οἰκίας ὄντα οὐκ ἀφανοῦς· κομισθέντα δὲ αὐτὸν ἐς Αἰγέας [21]), ὠνήσατο ὅστις δή. χρόνῳ δὲ ὕστερον τῷ ἀνδρὶ τούτῳ ὄνειρον γίνεται· λέοντος δὲ ἔδοξεν ὑπὸ τῷ σκίμποδι κατακεῖσθαι σκύμνον, ἐφ᾽ ᾧ [22]) ἐκάθευδεν ὁ Νικόστρατος. Νικοστράτῳ μὲν δὴ, ὡς ηὐξήθη, καὶ ἄλλαι νῖκαι

15) καὶ πρῶτος] Uterque Cod. καὶ πρὸς, quae lectio ex compendio ſcribendi orta videri poſſit. Sed hic mallem nomen Elei victoris, quod perperam deeſt, cum tamen omnia reliqua memorata ſint; et illud mendoſa Codd. lectione καὶ πρὸς ſervatum eſſe, nullus dubito. Scilicet pro καὶ πρῶτος ſcribendum eſt Κάπρος, ſicuti *Palmer.* Exercit. p. 398. jam emendavit. *Caprum* illum Eleum, qui pancratio et lucta vicit, pluribus memorat Pauſ. L. VI. C. 15.

16) Αἴνου] *Aenus*, urbs Thraciae, hic locum habere nequit. Haud male igitur Palmer. Exerc. p. 398. Αἰγαίου et particulam δὲ poſt Ῥόδιος auferendam cenſet.

17) Πρωτοφάνης] De eo vide ſupra L. I. C. 35.

18) Στρατονικεὺς] Ex utroque Codice et Stephano ω mutavi cum ο.

19) ἕβδομος] Scilicet, ſi *Stratonem* ipſum numeres; ſin hunc omittas, *ſextus*. Sed cave, ne cum *Sylburgio* emendes ἕκτος.

20) τῷ λόγῳ] Amaſ. *praeter nomen.* Male. Mihi potius interpretandum videtur *praeter ſermonem* (linguam), quod Pauſanias alibi enuntiat τῇ φωνῇ, διαλέκτῳ.

21) Αἰγέας] In Strab. L. XIV. p. 994. Αἰγαῖαι oppidum Ciliciae eſt, ubi vid. Caſaub.

22) ἐφ᾽ ᾧ] Cod. Vind. ἐν ᾧ.

νῖκαι Ὀλυμπιάσιν ἐγένοντο παγκρατίου, καὶ πάλης.
χρήμασι δὲ ὑπὸ Ἠλείων ἕτεροί τε ὕστερον, καὶ Ἀλε-
ξανδρεὺς ἐζημιώθη πύκτης ὀλυμπιάδι ἐπὶ ταῖς δια-
κοσίαις ὀγδόῃ τε καὶ δεκάτῃ. ὄνομα μὲν τῷ ζημιω-
θέντι Ἀπολλώνιος, ἐπίκλησιν δὲ ἦν Ῥάντις· καί πως
καὶ ἐπιχώριον τὸ ἐς τὰς ἐπικλήσεις τοῖς Ἀλεξανδρεῦ-
σίν ἐστιν. οὗτος ὁ ἀνὴρ ἀδικεῖν ὑπὸ Ἠλείων κατ-
εγνώσθη πρῶτος Αἰγυπτίων· κατεγνώσθη δὲ οὐ
δοῦναι χρήματα ἢ λαβεῖν αὐτὸς, ἀλλὰ τοιόνδε ἄλλο
ἐς τὸν ἀγῶνα ἐξυβρίσαι. ἀφίκετο οὐκ ἐς τὸν εἰρη-
μένον καιρόν· καὶ αὐτὸν ὑπὸ Ἠλείων πειθομένων τῷ
νόμῳ ἐλείπετο τοῦ ἀγῶνος εἴργεσθαι. τὴν γάρ οἱ
πρόφασιν, ὡς ἐν ταῖς Κυκλάσι νήσοις ὑπὸ ἀνέμων
κατείχετο ἐναντίων [23]), Ἡρακλείδης γένος καὶ αὐτὸς
Ἀλεξανδρεὺς ἤλεγχεν ἀπάτην οὖσαν· ὑστερῆσαι γὰρ
χρήματα ἐκ τῶν ἀγώνων αὐτὸν ἐκλέγοντα τῶν ἐν
Ἰωνίᾳ. οὕτω δὴ τόν τε Ἀπολλώνιον, καὶ εἰ δή τις
ἄλλος ἧκεν οὐ κατὰ προθεσμίαν τῶν πυκτῶν, τούτους
μὲν οἱ Ἠλεῖοι τοῦ ἀγῶνος ἀπελαύνουσι. τῷ Ἡρα-
κλείδῃ δὲ τὸν στέφανον παριᾶσιν ἀκονιτί. ἐνταῦθα
ὁ Ἀπολλώνιος κατεσκευάσατό τε τοῖς ἱμᾶσιν ὡς ἐς
μάχην, καὶ ἐσδραμὼν ἐπὶ τὸν Ἡρακλείδην, ἥπτετο
ἐπικειμένου τε ἤδη τὸν κότινον καὶ καταπεφευγότος
ἐς τοὺς Ἑλλανοδίκας. τούτῳ μὲν δὴ ἔμελλε τὸ
κοῦφον τοῦ νοῦ βλάβος μέγα ἔσεσθαι. Ἔστι δὲ καὶ 6
ἄλλα δύο τέχνης τῆς ἐφ' ἡμῶν τὰ ἀγάλματα. ἕκτῃ
γὰρ ἐπὶ ταῖς εἴκοσι καὶ διακοσίαις ὀλυμπιάσι [24])
πύκτας

23) ἐναντίων] Reſtitui ex utroque Codice pro vulgata ἐναντίον.

24) ὀλυμπιάσι] Cod. Moſc. ὀλυμπιάδι, quod praefero: ſimilis enim conſtructio paullo ſupra et infra ac ſaepius obvia eſt.

πύκτας ἄνδρας ὑπὲρ αὐτῆς μαχομένους τῆς νίκης ἐφθάρασαν, συνθεμένους ὑπὲρ λήμματος. ἀντὶ τούτων μὲν ἐγένετο ζημία· ποιηθέντων δὲ ἀγαλμάτων Διὸς, τὸ μὲν ἐς ἀριστερὰ [25]) τῆς ἐς τὸ στάδιον ἐσόδου, τὸ δὲ ἕτερον αὐτῶν ἕστηκεν ἐν δεξιᾷ. τοῖς δὲ πύκταις τούτοις Δίδας τε ὄνομα ἦν, καὶ τῷ τὰ χρήματα δόντι αὐτῷ Γαραπάμμων· ὁμοῦ δὲ ἦσαν τοῦ αὐτοῦ νομοῦ τῶν ἐν Αἰγύπτῳ [26]), καλουμένου δὲ Ἀρσινοΐτου.
7 Θαῦμα μὲν δὴ καὶ ἄλλους ἐν οὐδενὸς λόγῳ τὸν θεὸν θέσθαι τὸν ἐν Ὀλυμπίᾳ, καὶ δέξασθαί τινα ἢ δοῦναι δῶρα ἐπὶ τῷ ἀγῶνι· μείζονος δὲ ἔτι θαύματος, εἴ γε καὶ αὐτῶν ἐτόλμησεν ἤδη τὶς Ἠλείων. λέγεται δὲ ὡς Δαμόνικος τολμήσειεν Ἠλείοις δευτέρᾳ πρὸς ταῖς ἑκατὸν καὶ ἐνενήκοντα ὀλυμπιάδι· συνεστηκέναι μὲν γὰρ παλαίοντας ἐπὶ τῷ στεφάνῳ, τόν τε τοῦ Δαμονίκου παῖδα Πολύκτορα, καὶ Σώσανδρον γένος Σμυρναῖον, ὁμώνυμον τῷ πατρί· Δαμόνικον δὲ, ἅτε περισσῶς ἐπιθυμοῦντα γενέσθαι τῷ παιδὶ τὴν νίκην, δοῦναι τοῦ Σωσάνδρου τῷ παιδὶ χρήματα. ὡς δὲ ἐγεγόνει τὰ πραχθέντα ἔκπυστα, ἐπιβάλλουσιν οἱ Ἑλλανοδίκαι ζημίαν· ἐπιβάλλουσι δὲ οὐ τοῖς παισὶν, ἀλλὰ ἐς τοὺς πατέρας ἔτρεψαν τὴν ὀργήν· οὗτοι γὰρ δὴ καὶ ἠδίκουν. ἀπὸ ταύτης τῆς ζημίας ἀγάλματα ἐποιήθη· καὶ τὸ μὲν ἐν τῷ Ἠλείων ἀνάκειται γυμνασίῳ, τὸ δὲ τῆς Ἄλτεως πρὸ τῆς Ποικίλης στοᾶς καλουμένης, ὅτι ἦσαν ἐπὶ τῶν τοίχων γραφαὶ τὸ ἀρχαῖον. Εἰσὶ δ' οἳ τὴν στοὰν ταύτην καὶ Ἠχοῦς ὀνομά-

25) ἐς ἀριστερὰ] Cod. Mosc. ἐν ἀριστερᾷ.

26) ὁμοῦ δὲ ἦσαν τοῦ αὐτοῦ νομοῦ τῶν ἐν Αἰγ.] Uterque Cod. haec ita exhibet: νομοῦ δὲ ἦσαν τοῦ αὐτοῦ νεωτάτου τῶν ἐν Αἰγ. Mox pro ἄλλους uterque Codex ἄλλως.

ὀνομάζουσι. βοήσαντι δὲ ἀνδρὶ ἑπτάκις ὑπὸ τῆς ἠχοῦς ἡ φωνὴ ἐπὶ τάδε [27]), καὶ ἐπὶ πλέον ἔτι ἀποδίδοται. Παγκρατιαστὴν δέ φασιν Ἀλεξανδρέα, ὄνομα δὲ εἶναί οἱ Σαραπίωνα, τοῦτον ἐν ὀλυμπιάδι τῇ πρώτῃ μετὰ τὰς διακοσίας εἰς τοσοῦτο δεῖσαι τοὺς ἀνταγωνιστὰς, ὥστε ἡμέρᾳ μιᾷ πρότερον ἢ ἐσκληθήσεσθαι τὸ παγκράτιον ἔμελλεν, ἀποδράντα οἴχεσθαι. τοῦτον ζημιωθέντα ἐπὶ δειλίᾳ μόνον τῶν τε ἄλλων ἀνθρώπων καὶ αὐτῶν μνημονεύουσιν Αἰγυπτίων. ταῦτα μὲν τὰ κατειλεγμένα ἐπὶ αἰτίαις ταῖσδε [28]) ποιηθέντα εὕρισκον.

## CAPUT XXII.

De aliis Jovis ſignis Olympiae poſitis — ſignis in baſi quadam lapidea — Abantide regione — ſigno Jovis a Metapontinis erecto — ſigno Jovis a Phliaſiis et alio a quibusdam Leontinis poſito.

Ἔστι δὲ καὶ ἀγάλματα Διὸς δημοσίᾳ τε καὶ ὑπὸ ἀνδρῶν ἀνατεθέντα ἰδιωτῶν. ἔστι δὲ βωμὸς ἐν τῇ Ἄλτει τῆς ἐσόδου πλησίον τῆς ἀγούσης ἐς τὸ στάδιον. ἐπὶ τούτου θεῶν μὲν οὐδενὶ θύουσιν Ἠλεῖοι, σαλπιγκταῖς δὲ ἐφεστηκόσιν αὐτῷ καὶ τοῖς κήρυξιν [1]) ἀγωνίζεσθαι καθέστηκε. παρὰ τοῦτον τὸν βωμὸν βάθρον τε πεποίηται χαλκοῦν, καὶ ἄγαλμα ἐπ' αὐτῷ

27) ἐπὶ τάδε] In utroque Codice ἐπὶ deeſt. Forte τῇδε vel τόθι, *ibi*, ſcribendum ſit. *Kuhn.* ἐπὶ τῷδε legendum, et haec poſt ὀνομάζουσι ponenda cenſuit.

28) ταῖσδε] Cod. Vindob. τοιαῖσδε.

1) καὶ τοῖς κήρυξιν etc.] *Praecones* in Iſthmiis quoque certamen iniiſſe, conſtat ex Philoſtrat. Vit. Apoll. L. IV. C. 24., ubi vid. Olear.

αὐτῷ Διὸς, μέγεθος μὲν ὅσον ἓξ πήχεις, κεραυνὸν δὲ ἐν ἑκατέρᾳ τῇ χειρὶ ἔχει. ἀνέθεσαν δὲ αὐτὸ Κυναιθαεῖς [2]). ὁ δὲ περικείμενός τε τὸν ὅρμον, καὶ ἡλικίαν παῖς ἔτι, ἀνάθημα ἀνδρός ἐστι Φλιασίου
2 Κλεόλα. Παρὰ δὲ τὸ Ἱπποδάμιον [3]) καλούμενον, λίθου τε βάθρον ἐστὶ κύκλος ἥμισυς, καὶ ἀγάλματα ἐπ' αὐτῷ [4]) Ζεὺς, καὶ Θέτις τε καὶ Ἡμέρα [5]) τὸν Δία ὑπὲρ τῶν τέκνων ἱκετεύουσαι. ταῦτα ἐπὶ μέσῳ τῷ βάθρῳ. οἱ δὲ ἤδη σχῆμα ἀντιτεταγμένων ὅ τε Ἀχιλλεὺς παρέχεται καὶ ὁ Μέμνων ἐπὶ ἑκατέρῳ [6]) τοῦ βάθρου τῷ πέρατι ἑκάτερος. ἀνθεστήκασι δὲ καὶ ἄλλος ἄλλῳ κατὰ τὰ αὐτὰ, ἀνὴρ βάρβαρος ἀνδρὶ Ἕλληνι, Ὀδυσσεὺς μὲν Ἑλένῳ, ὅτι οὗτοι μάλιστα ἐπὶ σοφίᾳ δόξαν ἐν ἑκατέρῳ τῷ στρατεύματι εἰλήφεσαν· Μενελάῳ δὲ κατὰ τὸ ἔχθος [7]) τὸ ἐξαρχῆς Ἀλέξανδρος, Διομήδει δὲ Αἰνείας, καὶ τῷ Τελαμῶνος Αἴαντι Δηΐφοβος. ταῦτά ἐστιν ἔργα μὲν Λυκίου τοῦ Μύρωνος, Ἀπολλωνιάται δὲ ἀνέθηκαν οἱ ἐν τῷ Ἰονίῳ. καὶ δὴ καὶ ἐλεγεῖον γράμμασίν ἐστιν ἀρχαῖον ὑπὸ Διὸς [8]) τοῖς ποσί·

Μνάματ' Ἀπολλωνίας ἀνακείμεθα, τὰν ἐνὶ πόντῳ
Ἰονίῳ Φοῖβος ᾤκισ' ἀκερσεκόμας.

Οἱ

2) Κυναιθαεῖς] De Cynaethaënsibus et signo Jovis ab iis Olympiae posito vid. L. VIII. C. 19. init.

3) Ἱπποδάμιον] De hoc vid. L. VI. C. 20.

4) ἐπ' αὐτῷ] Dedi αὐτῷ ex utroque Codice pro mendose vulgato αὐτῶν.

5) Ἡμέρα] *Aurora*, quae antiquioribus ἡμέρα dicebatur; vid. *Heyne* V. C. ad Apollod. p. 822. Mox pro ἱκετεύουσαι uterque Cod. ἱκετεύουσα, sed quae sequuntur nomina Achillis et Memnonis, vulgatae favent.

6) ἑκατέρῳ] Sic cum *Sylburgio* rescribere non dubitavi pro vulgato ἑκατέρου.

7) κατὰ τὸ ἔχθ.] Cod. Vind. κατὰ ἔχθος.

8) ὑπὸ Διὸς] Uterque Cod. ὑπὸ τοῦ Διός.

Οἱ γὰρ τέρμαθ' ἑλόντες Ἀβαντίδος, ἐνθάδε ταῦτα
Ἔστασαν 9) σὺν τοῖς ἐκ Θρονίου δεκάταν.

Ἡ δὲ Ἀβαντὶς καλουμένη χώρα, καὶ πόλισμα ἐν 3
αὐτῇ Θρόνιον, τῆς Θεσπρωτίδος ἦσαν Ἠπείρου κατὰ
τὰ ὄρη τὰ Κεραύνια. σκεδασθεισῶν γὰρ Ἕλλησιν,
ὡς ἐκομίζοντο ἐξ Ἰλίου, τῶν νεῶν, Λοκροί τε ἐκ Θρο-
νίου τῆς ἐπὶ Βοαγρίῳ ποταμῷ καὶ Ἄβαντες ἀπὸ Εὐ-
βοίας, ναυσὶν ὀκτὼ συναμφότεροι πρὸς τὰ ὄρη κατη-
νέχθησαν τὰ Κεραύνια. οἰκήσαντες δὲ ἐνταῦθα, καὶ
πόλιν οἰκίσαντες Θρόνιον, καὶ τῆς γῆς ἐφ' ὅσον 10)
ἐνέμοντο, Ἀβαντίδος ὄνομα ἀπὸ κοινοῦ λόγου θέμενοι,
ἐκπίπτουσιν ὕστερον ὑπὸ Ἀπολλωνιατῶν ὁμόρων κρατη-
θέντες πολέμῳ. ἀποικισθῆναι δὲ ἐκ Κορκύρας τὴν
Ἀπολλωνίαν, οἱ δὲ Κορινθίοις αὐτοῖς μετεῖναι λαφύ-
ρων 11). Προελθόντι δὲ ὀλίγον, Ζεύς ἐστι πρὸς ἀνίσχον- 4
τα τετραμμένος τὸν ἥλιον, ἀετὸν ἔχων ὄρνιθα 12) καὶ
τῇ ἑτέρᾳ τῶν χειρῶν κεραυνόν· ἐπίκειται δὲ αὐτῷ καὶ
ἐπὶ τῇ κεφαλῇ στέφανος ἄνθη τὰ ἠρινά 13). Μετα-
ποντίνων δέ ἐστιν ἀναθήματα 14), Αἰγινήτου δὲ ἔργον
Ἀριστόνου. τοῦ δὲ Ἀριστόνου τούτου διδάσκαλον, ἢ

 καθ'

9) Ἔστασαν] Uterque Codex Ἔστησαν et paullo intra pro κατὰ τὰ ὄρη dat κατὰ ὄρη.

10) ἐφ' ὅσον] Ex Cod. Vindob. reſtitui ἐφ' pro vitioſe vulgato ἀφ'.

11) ἀποικισθῆναι δὲ — οἱ δὲ — μετεῖναι λ] Illud, ex quo hi infinitivi pendeant, prorſus deeſt, et ex verbis οἱ δὲ non temere, quaedam excidiſſe, ſuſpiceris. Quare *Goldhagen* in notis ad verſionem germ. bene mihi hunc locum ita emendare videtur: ἀποικισθῆναι — Ἀπολλωνίαν οἱ μὲν λέγουσι, οἱ δὲ etc. Ad rem conf. Strab. L. VII. p. 486. B. et ibi Caſaub.

12) ὄρνιθα] Uterque Cod. τὸν ὄρνιθα.

13) ἄνθη τὰ ἠρινά] Palmer. exercit. p. 399. conjicit, ἄ. τὰ κρίνα ſcribendum eſſe.

14) ἀναθήματα] *Sylb.* bene conjecit ἀνάθημα, cum unum tantum Jovis ſignum memoraverit Pauſanias.

5 καθ' ὅντινα χρόνον ἐγένετο, οὐκ ἴσμεν. Ἀνέθεσαν δὲ καὶ Φλιάσιοι Δία, καὶ θυγατέρας τὰς Ἀσωποῦ, καὶ αὐτὸν Ἀσωπόν. διακεκόσμηται δὲ οὕτω σφίσι τὰ ἀγάλματα. Νεμέα μὲν τῶν ἀδελφῶν πρώτη, μετὰ δὲ αὐτὴν Ζεύς ἐστι λαμβανόμενος Αἰγίνης· παρὰ δὲ τὴν Αἴγιναν ἕστηκεν Ἅρπιννα. ταύτῃ τῷ Ἠλείων καὶ Φλιασίων λόγῳ συνεγένετο Ἄρης, καὶ Οἰνομάῳ δὲ μήτηρ τῷ περὶ τὴν Πισαίαν βασιλεύσαντί ἐστιν Ἅρπιννα. μετὰ δὲ αὐτὴν Κορκύρα τε, καὶ ἐπ' αὐτῇ Θήβη· τελευταῖος δὲ ὁ Ἀσωπός. λέγεται δὲ ἐς μὲν Κορκύραν, ὡς μιχθείη Ποσειδῶν αὐτῇ. τοιαῦτα δὴ ἕτερα ᾖσε Πίνδαρος[15]) ἐς Θήβην, καὶ ἐς Δία. Ἰδία δὲ ἄνδρες Λεοντῖνοι καὶ οὐκ ἀπὸ τοῦ κοινοῦ Δία ἀνέστησαν. μέγεθος μὲν τοῦ ἀγάλματος πήχεις εἰσὶν ἑπτά, ἐν δὲ ταῖς χερσὶν ἀετός τέ ἐστιν αὐτῷ, καὶ τὸ βέλος τοῦ Διὸς κατὰ αὐτοὺς τοὺς ποιητῶν[16]) λόγους. ἀνέθεσαν δὲ Ἱππαγόρας τε καὶ Φρύνων, καὶ Αἰνεσίδημος. ἄλλον δέ τινα Αἰνεσίδημον δοκῶ, καὶ οὐ τὸν τυραννήσαντα εἶναι Λεοντίνων.

15) ᾖσε Πίνδαρος] Vid. Carmin. Pindar. Fragmenta a *Schneidero* V. C. collecta p. 107.

16) κατὰ αὐτοὺς τοὺς ποιητ.] Uterque Codex κατὰ τοὺς τῶν ποιητ., et paullo infra pro ἄλλον δέ τινα exhibet ἄλλον που τινά.

CAPUT

## CAPUT XXIII.

De Jovis ſigno a Graecis poſito, qui ad Plataeas pugnarunt, cum civitatum nominibus inſcriptis — ex his illae recenſentur, quae Pauſaniae tempore deletae erant — de aenea columna, in qua foedus Athenienſ. cum Lacedaemon. in XXX. annos inciſum — ſigno Jovis a Megarenſibus — ab Hyblaeis — a Clitoriis Olympiae poſito.

Παρεξιόντι δὲ παρὰ τὴν ἐς τὸ βουλευτήριον ἔσοδον, Ζεύς τε ἕστηκεν ἐπίγραμμα ἔχων οὐδὲν, καὶ αὖθις ὡς πρὸς ἄρκτον ἐπιστρέψαντα[1]), ἄγαλμά ἐστι Διός. τοῦτο τέτραπται μὲν πρὸς ἀνίσχοντα ἥλιον, ἀνέθεσαν δὲ Ἑλλήνων ὅσοι Πλαταιᾶσιν ἐμαχέσαντο ἐναντία Μαρδονίου τε καὶ Μήδων. εἰσὶ δὲ καὶ ἐγγεγραμμέναι κατὰ τοῦ βάθρου τὰ δεξιὰ αἱ μετασχοῦσαι πόλεις τοῦ ἔργου· Λακεδαιμόνιοι μὲν πρῶτοι, μετὰ δὲ αὐτοὺς Ἀθηναῖοι, τρίτοι δὲ γεγραμμένοι καὶ τέταρτοι Κορίνθιοί τε καὶ Σικυώνιοι, πέμπτοι δὲ Αἰγινῆται, μετὰ δὲ Αἰγινήτας, Μεγαρεῖς καὶ Ἐπιδαύριοι, Ἀρκάδων δὲ Τεγεάται τε καὶ Ὀρχομένιοι· ἐπὶ δὲ αὐτοῖς, ὅσοι Φλιοῦντα, καὶ Τροιζῆνα, καὶ Ἑρμιόνα οἰκοῦσιν· ἐκ δὲ χώρας τῆς Ἀργείας Τιρύνθιοι· Πλαταιεῖς δὲ μόνοι Βοιωτῶν, καὶ Ἀργείων οἱ Μυκήνας ἔχοντες· νησιῶται δὲ Χῖοι καὶ Μιλήσιοι[2]), Ἀμβρακιῶται δὲ ἐξ



1) ἐπιστρέψαντα] Suſpectus eſt hic accuſativus, et potius ἐπιστρέψαντι ſcribendum eſſe videtur; de quo diximus ad L. IV. C. 33. n. 8.

2) Χῖοι καὶ Μιλήσιοι] Uterque Cod. Κῖοι. Forte Κεῖοι fuerit ab inſula Κῶς. Vid. Steph. At Mileſii huc non pertinere videntur, quippe qui neque inſulares, neque in hoc bello Graecorum ſocii fuerint. Quare Weſſeling. ad Diodor. XI. ſ. 3. pro Μιλήσιοι hic ſcribere ſuadet Μήλιοι ex Herodot. L. VIII. ſ. 46.

ἐξ Ἠπείρου τῆς Θεσπρωτίδος, Τήνιοί τε καὶ Λεπρεά-
ται· Λεπρεάται μὲν τῶν ἐκ τῆς Τριφυλίας μόνοι· ἐκ
δὲ Αἰγίου[3]) καὶ τῶν Κυκλάδων, οὐ Τήνιοι μόνοι, ἀλλὰ
καὶ Νάξιοι καὶ Κύθνιοι· ἀπὸ δὲ Εὐβοίας Στυρεῖς·
μετὰ δὲ τούτους, Ἠλεῖοι, καὶ Ποτιδεάται[4]), καὶ
Ἀνακτόριοι· τελευταῖοι δὲ Χαλκιδεῖς οἱ ἐπὶ τῷ
2 Εὐρίπῳ. Τούτων τῶν πόλεων τοσαίδε ἦσαν ἐφ᾽ ἡμῶν
ἔρημοι· Μυκηναῖοι μὲν καὶ Τιρύνθιοι μετὰ τὰ Μη-
δικὰ[5]) ὕστερον ἐγένοντο ὑπὸ Ἀργείων ἀνάστατοι.
Ἀμβρακιώτας δὲ καὶ Ἀνακτορίους ἀποίκους Κοριν-
θίων ὄντας, ἐπηγάγετο ὁ Ῥωμαίων βασιλεὺς[6]) ἐς
Νικοπόλεως συνοικισμὸν πρὸς τῷ Ἀκτίῳ. Ποτιδεά-
τας δὲ δὶς μὲν ἐπέλαβεν ἀναστάτους ἐκ τῆς σφετέρας
ὑπὸ Φιλίππου τε γενέσθαι τοῦ Ἀμύντου, καὶ πρό-
τερον ἔτι ὑπὸ Ἀθηναίων· χρόνῳ δὲ ὕστερον Κάσανδρος
κατήγαγε μὲν Ποτιδεάτας ἐπὶ τὰ οἰκεῖα, ὄνομα δὲ
οὐ τὸ ἀρχαῖον τῇ πόλει, Κασάνδρεια δὲ ἐγένετο ἀπὸ
τοῦ οἰκιστοῦ. τὸ δὲ ἄγαλμα ἐν Ὀλυμπίᾳ τὸ ἀνα-
τεθὲν ὑπὸ τῶν Ἑλλήνων, ἐποίησεν Ἀναξαγόρας Αἰγι-
νήτης. τοῦτον οἱ συγγράψαντες τὰ ἐς Πλαταιάς,
3 παρίασιν ἐν τοῖς λόγοις. Ἔστι δὲ πρὸ τοῦ Διὸς τούτου
στήλη χαλκῆ Λακεδαιμονίων καὶ Ἀθηναίων, συνθήκας[7])
ἔχουσα εἰρήνης ἐς τριάκοντα ἐτῶν ἀριθμόν. ταύτας
ἐποι-

3) ἐκ δὲ Αἰγίου] *Aegium*, Achaïae civitas, hic Cycladibus juncta locum habere nequit. Recte igitur Valkenar. ad Herodot. VII. ſ. 95. emendat Αἰγαίου, *mari Aegaeo.*

4) Ποτιδεάται] Cod. Moſc. Ποτιδεᾶται, uti et paullo ſupra Λεπρεᾶται. In Stephano et aliis legitur Ποτίδαια et Ποτιδαιάται, quae ſcriptura rectior eſſe videtur.

5) μετὰ τὰ Μηδικὰ] Uterque Cod. perperam exhibet ὑπὸ τῶν Μηδικῶν.

6) ὁ Ῥωμαίων βασιλεὺς etc.] *Auguſtus*. Vid. Strab. L. VII. p. 501. A

7) συνθήκας etc.] De his induciis vid. Diodor. L. XII. ſ. 7.

ἐποιήσαντο Ἀθηναῖοι παραςησάμενοι τὸ δεύτερον
Εὔβοιαν, ἔτει τρίτῳ τῆς ὀλυμπιάδος, ἣν Κρίσων [8]) Ἱμε-
ραῖος ἐνίκα ςάδιον. ἔςι δὲ ἐν ταῖς συνθήκαις καὶ
τόδε εἰρημένον· εἰρήνης μὲν τῆς Ἀθηναίων καὶ Λακε-
δαιμονίων τῇ Ἀργείων μὴ μετεῖναι πόλει, ἰδίᾳ δὲ
Ἀθηναίους καὶ Ἀργείους, ἢν ἐθέλωσιν, ἐπιτηδείως
ἔχειν πρὸς ἀλλήλους. αὗται μὲν λέγουσι τοιαῦτα
αἱ συνθῆκαι. Διὸς δὲ ἄλλο ἄγαλμα παρὰ τὸ ἅρμα 4
ἀνάκειται τὸ Κλεοσθένους· τούτου μὲν δὴ ἡμῖν καὶ
ἐν τοῖς ἔπειτα [9]) ἔςαι μνήμη. τὸ δὲ ἄγαλμα τοῦ
Διος, Μεγαρέων μέν ἐςιν ἀνάθημα· ἀδελφοὶ δὲ
αὐτὸ Θύλακός [10]) τε καὶ Ὄναιθος, καὶ οἱ παῖδες οἱ
τούτων εἰργάσαντο. ἡλικίαν δὲ αὐτῶν, ἢ πατρίδα,
ἢ παρ᾽ ὅτινι ἐδιδάχθησαν, οὐκ ἔχω δηλῶσαι. Πρὸς 5
δὲ τῷ ἅρματι τῷ Γέλωνος Ζεὺς ἕςηκεν ἀρχαῖος, ἔχων
σκῆπτρον· Ὑβλαίων δέ φασιν εἶναι ἀνάθημα. αἱ
δὲ ἦσαν ἐν Σικελίᾳ πόλεις αἱ Ὕβλαι Γερεάτις ἐπί-
κλησιν· τὴν δὲ [11]) ὥσπερ γε καὶ ἐκάλουν μείζονα.
ἔχουσι δὲ καὶ κατ᾽ ἐμὲ ἔτι τὰ ὀνόματα. ἐν τῇ Κατα-
ναίᾳ δὲ ἡ μὲν ἔρημος ἐς ἅπαν, ἡ δὲ κώμη τε Κατα-

 ναίων

8) τῆς ὀλυμπιάδος, ἣν Κρίσων etc.] Post τῆς numerum olympiadis excidisse putat *Camerar*. Nam secundum *Diodor*. L. XII. f. 5. 23. 29. *Crison* ille ter vicit, Olymp. 83. 84. 85.

9) ἐν τοῖς ἔπειτα] Vid. L. VI. C. 10. in fine.

10) Θύλακος] Cod. Vind. Ψύτακος, et Mosc. Ψύλακος.

11) αἱ Ὕβλαι Γερεάτις ἐπίκλησιν· τὴν δὲ etc.] Plenius ἡ μὲν Γερ. ἐπίκλησιν· τὴν δὲ etc. Stephan. Byz. tres Hyblas enumerat, inter quas ἡ μικρὰ, ἧς οἱ πολῖται Γαλεῶται. Conf. v. Γαλεῶται. Nec non Thucyd. L. VI. f. 62. habet Ὕβλαν τὴν Γελεάτην. Inde etiam hic in Pausania corrigendum esse videtur Γαλεῶτις pro Γερεάτις, sicuti etiam paullo infra. Conf. Perizon. ad Aelian. Var. Hist. L. XII. C. 46. p. 803. Post ὥςπερ γε καὶ excidit ἦν, vel durius supplendum esset.

ναίων ἡ Γερεάτις, καὶ ἱερὸν σφισιν Ὑβλαίας ἐςὶ θεοῦ, παρὰ Σικελιωτῶν ἔχον τιμάς. παρὰ τούτων δὲ κομισθῆναι τὸ ἄγαλμα ἐς Ὀλυμπίαν ἡγοῦμαι. τεράτων γὰρ σφᾶς καὶ ἐνυπνίων Φίλιςος ὁ Ἀρχομενίδου φησὶν ἐξηγητὰς εἶναι, καὶ μάλιςα εὐσεβείᾳ
6 τῶν ἐν Σικελίᾳ βαρβάρων προσκεῖσθαι. Πλησίον δὲ τοῦ Ὑβλαίων ἀναθήματος βάθρον τε πεποίηται χαλκοῦν, καὶ ἐπ᾽ αὐτῷ Ζεύς· τοῦτον ὀκτὼ μάλιςα εἶναι ποδῶν καὶ δέκα εἰκάζομεν. οἵτινες δὲ αὐτὸν ἔδοσαν τῷ θεῷ [12]), καὶ ὧντινών ἐςιν ἔργον, ἐλεγεῖον γεγραμμένον σημαίνει·

Κλειτόριοι τόδ᾽ ἄγαλμα θεῷ δεκάτην ἀνέθηκαν,
Πολλᾶν ἐκ πολίων χερσὶ βιασσάμενοι.
Καὶ μετρεῖτ᾽ ἀρίςων ἡ δὲ τελετὰς αὐτοκασίγνητοι [13]).

ἀλλὰ Λάκωνας μὲν [14]) τούτους οὐκ ἐς ἅπαν τὸ Ἑλληνικὸν ἐπιφανεῖς νομίζω γενέσθαι· εἶχον γὰρ ἄν τι καὶ Ἠλεῖοι περὶ αὐτῶν λέγειν, καὶ πλέονα ἔτι Λακεδαιμόνιοι πολιτῶν γε ὄντων.

12) τῷ θεῷ] scil. *Jovi Olympio.* Paullo infra in inscriptione pro βιασσάμενοι uterque Codex exhibet βιασάμενοι.

13) Καὶ μετρεῖτ᾽ — αὐτοκασίγνητοι] Haec mendosa et corrupta *Kuhn.* ita restituenda esse conjicit:

Καὶ μέτρα ποιεῖτην Ἀρίςων ἠδὲ Τελεςὰς
Αὐτοκασίγνητοι καὶ Λακεδαιμόνιοι.

14) ἀλλὰ Λάκωνας μὲν] In his aliquid male sani inesse, Codicum vitiosa lectio indicare videtur. Vindob. enim dat καλὰ Λάκων καὶ ἐκ σέθεν, et Mosc. καλὰ Λάκων ἐσέθεν.

CAPUT

## CAPUT XXIV.

Multa alia Jovis ſigna a populis et ſingulis hominibus in Alti poſita recenſentur — de ſigno Jovis Horcii in curia poſito, ad quod athletae jurare ſolent — ſigno Alexandri Magni Jovis habitu.

Παρὰ δὲ τὸν Λαοίτα Διὸς καὶ Ποσειδῶνος Λαοίτα[1]), παρὰ τοῦτον τὸν βωμὸν, Ζεὺς ἐπὶ χαλκοῦ βάθρου· δῶρον μὲν τοῦ Κορινθίων δήμου, Μούσου δέ ἐστι ποίημα, ὅστις δὴ οὗτός ἐστι Μοῦσος[2]). Ἀπὸ δὲ τοῦ βουλευτηρίου πρὸς τὸν ναὸν ἐρχομένῳ τὸν μέγαν, ἔστιν ἄγαλμα ἐν ἀριστερᾷ Διός· ἐστεφανωμένον δὲ οἷα δὴ ἄνθεσι, καὶ ἐν τῇ δεξιᾷ χειρὶ αὐτοῦ κεραυνὸς πεποίηται. τοῦτο δέ ἐστιν Ἀσκάρου τέχνη Θηβαίου, διδαχθέντος παρὰ τῷ Σικυωνίῳ[3]), καὶ Θεσσαλῶν φασιν εἶναι, ὅτε Φωκεῦσιν εἰς πόλεμον οὗτοι κατέστησαν[4])· καὶ ἔστιν ἀπὸ Φωκέων αὐτοῖς τὸ ἀνάθημα. οὐκ ἂν οὖν ὁ ἱερὸς καλούμενος εἴη πόλεμος, ὃν δὲ

 τρόπον

1) τὸν Λαοίτα Διὸς κ. Ποσειδῶνος Λαοίτα] Cod. Vindob. τοῦ Λαοὶ Διὸς κ. Π. Λαοὶ δὲ, et Cod. Moſc. τοῦ λαοὶ τὰ Διὸς καὶ Π. λαοὶ δέ. Ex quibus apparere videtur, vocem Λαοίτα eſſe mendoſam. Quod niſi eſſet, forte inde reſtitui poſſet locus corruptus Cap. 14. Ἀρτέμιδι θυουσι λαοὶ δι', ubi vid. not. Ceterum τοῦ pro τὸν ex libris ſcriptis reponendum putem.

2) οὗτός ἐστι Μοῦσος] Cod. Vind. οὗτός ἐστιν ὁ Μοῦσος, et paullo infra Ἀσκώρου pro Ἀσκάρου.

3) παρὰ τῷ Σικυωνίῳ] Nomen magiſtri hic excidiſſe liquet. *Amaſ.* addit Ἀγελάδᾳ. Sed Agelades Pauſaniae eſt Argivus. Vid. Indic. *Kuhn.* forte Κλέωνι reſtituendum eſſe putat, qui artifex Sicyonius ſupra memoratus C. 21.

4) ὅτε Φωκ. εἰς πόλεμον οὗτοι κατ.] Uterque Cod. ὅτι δὲ Φ ι. εἰς πόλεμόν τινα. Sic καὶ ἔστιν etc. eſſet apodoſis. De hoc bello vid. Herodot. L. VIII. ſ. 27. ſq.

τρόπον ἔτι[5]) ἐπολέμησαν πρὶν ἢ Μήδους καὶ βασιλέα ἐπὶ τὴν Ἑλλάδα διαβῆναι. Τούτου δὲ οὐ πόῤῥω Ζεύς ἐςιν, ὅντινα ἀναθεῖναι Ψωφιδίους ἐπὶ πολέμου κατορθώματι, τὸ ἔπος τὸ ἐπ' αὐτῷ γεγραμμένον δηλοῖ. Τοῦ ναοῦ δέ ἐςιν ἐν δεξιᾷ τοῦ μεγάλου, Ζεὺς πρὸς ἀνατολὰς ἡλίου. μέγεθος μὲν δώδεκα ποδῶν, ἀνάθημα δὲ λέγουσιν εἶναι Λακεδαιμονίων, ἡνίκα ἀποςᾶσι Μεσσηνίοις δεύτερα ἔτι[6]) ἐς πόλεμον κατέςησαν. ἔπεςι δὲ καὶ ἐλεγεῖον ἐπ' αὐτῷ·

Δέξο[7]) ἄναξ Κρονίδα Ζεῦ Ὀλύμπιε καλὸν ἄγαλμα
Ἱλάῳ θυμῷ τοῖς Λακεδαιμονίοις.

Ῥωμαίων δὲ οὔτε ἄνδρα ἰδιώτην, οὔτε ὁπόσοι τῆς βουλῆς, οὐδένα Μομμίου πρότερον ἀνάθημα ἴσμεν ἐς ἱερὸν ἀναθέντα Ἑλληνικόν. Μόμμιος δὲ ἀπὸ λαφύρων ἀνέθηκε τῶν ἐξ Ἀχαΐας Δία ἐς Ὀλυμπίαν χαλκοῦν. οὗτος ἕςηκεν ἐν ἀριςερᾷ τοῦ Λακεδαιμονίων ἀναθήματος, παρὰ τὸν πρῶτον ταύτῃ τοῦ ναοῦ κίονα. Ὃ δὲ ἐν τῇ Ἄλτει μέγιςον τῶν χαλκῶν ἐςιν ἀγαλμάτων τοῦ Διὸς, ἀνετέθη μὲν ὑπὸ αὐτῶν Ἠλείων ἀπὸ τοῦ πρὸς Ἀρκάδας πολέμου· μέγεθος δὲ ἑπτὰ καὶ εἴκοσι ποδῶν ἐςι. Παρὰ δὲ τῷ Πελοπίῳ, κίων τε οὐχ ὑψηλὸς, καὶ ἄγαλμα Διός ἐςιν ἐπ' αὐτῷ μικρὸν, τὴν ἑτέραν τῶν χειρῶν προτεῖνον. Τούτου δὲ ἀπαντικρὺ, ἄλλα ἐςιν ἀναθήματα ἐπὶ ςοίχου· ὡς δὲ αὔτως Διὸς καὶ Γανυμήδους ἀγάλματα.

5) ὃν δὲ τρόπον ἔτι] Vocem τρόπον huc non pertinere, ſtatim videre licet. Praeclare vero iſtam emendavit *Kuhnius*, ſcribens: ὃν δὲ πρότερον ἔτι etc. Sic C. 25. prope fin. πρότερον ἔτι ἐγένετο πρὶν etc.

6) δεύτερα ἔτι] Uterque Codex mendoſe exhibet δεύτερα δὲ ὅτε.

7) Δέξο] Ald. et Cod. Moſc. Δέξω.

ματα. ἔστι δὲ Ὁμήρῳ πεποιημένα, ὡς ἁρπασθείη τε ὑπὸ θεῶν Γανυμήδης οἰνοχοεῖν Διΐ, καὶ ὡς Τρωῒ [8]) δῶρα ἵπποι δοθεῖεν ἀντ' αὐτοῦ. τοῦτο ἀνέθηκε μὲν Γνῶθις [9]) Θεσσαλὸς, ἐποίησε δὲ καὶ Ἀριστοκλῆς μαθητής τε καὶ υἱὸς Κλεοίτα. Ἔστι δὲ καὶ ἄλλος Ζεὺς οὐκ ἔχων πω γένεια· κεῖται δὲ ἐν τοῖς ἀναθήμασι τοῖς Σμικύθου. τὰ δὲ ἐς Σμίκυθον, γένος τε ὁποῖον ἦν αὐτῷ, καὶ ἀνθ' ὅτου τὰ ἀναθήματα ἐς Ὀλυμπίαν τὰ πολλὰ ἀνέθηκεν, ὁ ἐφεξῆς μοι λόγος δηλώσει [10]). Ἀπὸ δὲ τοῦ ἀγάλματος τοῦ εἰρημένου προελθόντι ὀλίγον κατ' εὐθεῖαν, ἄγαλμά ἐστι Διὸς οὐκ ἔχον γένεια οὐδὲ αὐτὸ, Ἐλαϊτῶν δὲ ἀνάθημα, οἱ καταβάντες ἐκ Καΐκου πεδίου ἐς θάλασσαν, πρῶτοι τῇ Αἰολίδι οἰκοῦσι [11]). Τούτου δὲ αὖθις ἄλλο ἄγαλμα ἔχεται Διός· τὸ δὲ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ, τοὺς ἐν Κνίδῳ Χεῤῥονησίους ἀπὸ ἀνδρῶν ἀναθεῖναι πολεμίων φησίν. ἀνέθεσαν δὲ ἑκατέρωθεν παρὰ τὸν Δία Πέλοπά τε καὶ τὸν Ἀλφειὸν ποταμόν. Κνιδίοις δὲ [12]) τῆς πόλεως τὸ μὲν πολὺ ἐν τῇ ἠπείρῳ πεπόλισται τῇ Καρικῇ, ἔνθα καὶ τὰ λόγου μάλιστα ἄξια αὐτοῖς ἐστιν. ἡ δὲ καλουμένη Χεῤῥόνησος, ἔστιν ἐπὶ τῇ ἠπείρῳ νῆσος [13]), γεφύρᾳ διαβατός. ἐξ αὐτῆς καὶ τὰ ἀναθήματα ἀνέθεσαν ἐν Ὀλυμπίᾳ τῷ Διῒ, ἐνταῦθα οἰκοῦν-

8) Τρωῒ] Ald. et Cod. Vind. male Τρωσί. Vid. Homer. Il. ε. v. 265. Conf. *Heyne* V. C. ad Apollodor. p. 383.

9) Γνῶθις] Cod. Vind. Γᾶθις et Mosc. Γυμνᾶθις.

10) ὁ ἐφεξῆς — δηλώσει] Vid. C. 26.

11) πρῶτοι τῇ Αἰολίδι οἰκ.] Praestet legere: πρ. ἐν τῇ Αἰολ. οἰκ. Paullo infra pro Χεῤῥονησ. Codices exhibent Χερονησ.

12) Κνιδίοις δὲ etc.] Vid. Strab. L. XIV. p. 969. B.

13) ἐπὶ τῇ ἠπείρῳ νῆσος] In utroque Codice legitur ἐπὶ τῇ ἠπ. κειμένη νῆσος.

οἰκοῦντες· ὡς οἱ τῆς Ἐφεσίων πόλεως ἔχοντες τὸν ὀνομαζόμενον Κόρησον[14]) ἀνάθημα δι' αἰτίαν ἀναθεῖναι[15]) τοῦ Ἐφεσίων κοινοῦ. Ἔστι δὲ καὶ πρὸς τῷ τείχει τῆς Ἄλτεως Ζεὺς ἐπὶ ἡλίου τετραμμένος δυσμὰς, ἐπίγραμμα οὐδὲν παρεχόμενος. ἐλέγετο δὲ καὶ οὗτος Μομμίου τε καὶ ἀπὸ τοῦ Ἀχαιῶν εἶναι πολέμου. Ὁ δὲ ἐν τῷ βουλευτηρίῳ, πάντων ὁπόσα ἀγάλματα Διὸς μάλιστα ἐς ἔκπληξιν ἀδίκων ἀνδρῶν πεποίηται. ἐπίκλησις μὲν Ὅρκιός ἐστιν αὐτῷ, ἔχει δὲ ἐν ἑκατέρᾳ κεραυνὸν χειρί. παρὰ τούτῳ καθέστηκε τοῖς ἀθληταῖς, καὶ πατράσιν αὐτῶν καὶ ἀδελφοῖς, ἔτι δὲ γυμνασταῖς ἐπὶ κάπρου κατόμνυσθαι τομίων, μηδὲν ἐς τὸν Ὀλυμπίων ἀγῶνα ἔσεσθαι παρ' αὐτῶν κακούργημα. οἱ δὲ ἄνδρες οἱ ἀθληταὶ καὶ τόδε ἔτι προσκατόμνυνται, δέκα ἐφεξῆς μηνῶν ἀπηκριβῶσθαί σφισι τὰ πάντα ἐς ἄσκησιν. ὀμνύουσι δὲ καὶ ὅσοι τοὺς παῖδας ἢ τῶν ἵππων τῶν ἀγωνιζομένων τοὺς πώλους κρίνουσιν, ἐπὶ δικαίῳ καὶ ἄνευ δώρων ποιεῖσθαι[16]) κρίσιν, καὶ τὰ ἐς τὸν δοκιμαζόμενον δὲ καὶ μὴ, φυλάξειν καὶ ταῦτα ἐν ἀποῤῥήτῳ. τῷ κάπρῳ δὲ ὅ τι χρῆσθαί σφισι μετὰ τῶν ἀθλητῶν τὸν ὅρκον καθέστηκεν, οὐκ ἐμνημόνευσα ἐπερέσθαι· ἐπεὶ τοῖς γε ἀρχαιοτέροις ἐς τὰ ἱερεῖα ἦν καθεστηκὸς,

ἐφ'

14) τὸν ὀν. Κόρησον] Ex utroque Codice et Strabone L. XIV. p. 940. et 948. B. dedi τὸν pro vulgato τό. In Strabonis priori loco et Athen. L. VIII. C. 16. p. 361. E. legitur Κόρισσος, in altero vero Strabonis loco Κόῤῥησος.

15) δι' αἰτίαν ἀναθεῖναι] Ab hoc loco aliena esse verba δι' αἰτίαν, in promtu est. Ingeniose vero et recte illa emendavit *Kuhn.* scribens ἰδίᾳ. Post ἀναθεῖναι vel φασὶ excidisse credendum, vel illud pro ἀνέθεσαν positum esse. Mox pro τοῦ Ἐφ. Cod. Mosc. τῶν Ἐφ.

16) ποιεῖσθαι] Ex utroque Codice rescripsi pro vulgata πεποιῆσθαι.

ἐφ' ᾧ τις ὅρκον ἐποιήσατο, μηδὲ ἐδώδιμον εἶναι τοῦτο ἔτι ἀνθρώπῳ. δηλοῖ δὲ οὐχ ἥκιϛα καὶ Ὅμηρος[17])· τὸν γοῦν κάπρον καθ' ὅτου τῶν τομίων Ἀγαμέμνων ἐπώμοσεν, ἦ μὴν εἶναι τὴν Βρισηΐδα ἑαυτοῦ τῆς εὐνῆς ἀπείρατον, τοῦτον τὸν κάπρον ἀφιέμενον ὑπὸ τοῦ κήρυκος ἐποίησεν ἐς θάλασσαν·

Ἦ, καὶ ἀπὸ σφαράγου κάπρου τάμε νηλέϊ χαλκῷ.
Τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
Ῥίψ' ἐπιδινήσας, βόσιν ἰχθύσιν.

οὕτω μὲν τὸ ἀρχαῖον τὰ τοιαῦτα ἐνόμιζον. ἔϛι δὲ πρὸ τῶν ποδῶν τοῦ Ὁρκίου πινάκιον χαλκοῦν. ἐπιγέγραπται δὲ ἐλεγεῖα ἐπ' αὐτοῦ, δεῖμα θέλοντα τοῖς ἐπιορκοῦσι παριϛάναι. τοσαῦτα ἐντὸς τῆς Ἄλτεως ἀγάλματα εἶναι Διὸς ἀνηριθμησάμεθα ἐς τὸ ἀκριβέϛατον. Τὸ ἀνάθημα γὰρ τὸ πρὸς τῷ μεγάλῳ 3
ναῷ ὑπὸ ἀνδρὸς Κορινθίου τεθὲν, Κορινθίων δὲ οὐ τῶν ἀρχαίων, ἀλλ' οἳ παρὰ βασιλέως ἔχουσιν εἰληφότες τὴν πόλιν, τοῦτο τὸ ἀνάθημα Ἀλέξανδρός ἐϛιν ὁ Φιλίππου, Διῒ εἰκασμένος δῆθεν.

17) Ὅμηρος] Il. τ. v. 266., ubi pro σφαράγου κάπρου legitur τόμαχον κάπρου. Posterius hic restitui, cum etiam in Cod. Mosc. esset.

CAPUT

## CAPUT XXV.

Alia praeter Jovis ſigna recenſentur, ſigna chori puerorum a Meſſeniis naufragis Olympiae poſita — ſigna puerorum ab Agrigentinis in muro Altis poſita — de populis, qui Siciliam incolunt — binis Herculis ſignis — ſignis eorum, qui ad certamen cum Hectore ineundum ſorte ducti ſunt — ſigno Herculis de cingulo cum Amazone certantis — ſigno Herculis a Thaſiis poſito.

Ὁπόσα δὲ ἀλλοῖα καὶ οὐ μίμησίς ἐστι Διὸς, ἐπιμνησόμεθα καὶ τούτων. εἰκόνας δὲ οὐ τιμῇ τῇ πρὸς τὸ θεῖον, τῇ δὲ ἐς αὐτοὺς χάριτι ἀνατεθείσας τοῖς ἀνθρώποις, λόγῳ σφᾶς τῷ ἐς τοὺς ἀθλητὰς ἀναμίξομεν. Μεσσηνίους τοὺς ἐπὶ τῷ πορθμῷ κατὰ ἔθος δή τι ἀρχαῖον κατ' ἔτος πέμποντας ἐς Ῥήγιον χορὸν παίδων πέντε ἀριθμὸν καὶ τριάκοντα, καὶ διδάσκαλόν τε ὁμοῦ τῷ χορῷ, καὶ ἄνδρα αὐλητὴν, ἐς ἑορτήν τινα τῶν Ῥηγίνων ἐπιχώριον [1]), κατέλαβεν αὐτούς ποτε συμφορὰ μηδένα ὀπίσω τῶν ἀποσταλέντων σφίσιν ἀποσωθῆναι· ἀλλὰ ἡ ναῦς ἡ ἄγουσα τοὺς παῖδας, ἠφανίσθη σὺν αὐτοῖς κατὰ τοῦ βυθοῦ. ἔστι γὰρ δὴ ἡ κατὰ τοῦτον θάλασσα τὸν πορθμὸν θαλάσσης χειμεριωτάτη πάσης. οἵ τε γὰρ ἄνεμοι ταράσσουσιν αὐτὴν ἀμφοτέρωθεν τὸ κῦμα ἐπάγοντες ἐκ τοῦ Ἀδρίου, καὶ ἐξ ἑτέρου πελάγους, ὃ καλεῖται Τυρσηνόν. ἤν τε καὶ ἀνέμων ἀπῇ πνεύματα, ὁ δὲ καὶ τηνικαῦτα ὁ πορθμὸς κίνησιν βιαιοτάτην αὐτὸς ἐξ αὐτοῦ [2]) καὶ ἰσχυρὰς παρέχεται παλιῤῥοίας· θηρία τε

1) τῶν Ῥηγίνων ἐπιχώριον] Uterque Cod. ἐπιχώριον Ῥηγίνων.

2) ἐξ αὐτοῦ] Mallem cum *Sylburgio* αὑτοῦ.

τε τοσαῦτα ἐς αὐτὸν τὰ ἀθροιζόμενά ἐςιν, ὡς καὶ τὸν
ἀέρα τὸν ὑπὲρ τῆς θαλάσσης ταύτης ἀναπίμπλα-
σθαι [3]) τῶν θηρίων τῆς ὀσμῆς, ὡς σωτηρίας γε ἐκ
τοῦ πορθμοῦ μηδὲ ἐλπίδος τὶ ὑπολείπεσθαι ναυαγίῳ.
εἰ δὲ ἐνταῦθα συνέπεσε καὶ Ὀδυσσεῖ διαφθαρῆναι
τὴν ναῦν, ἄλλως μὲν οὐκ ἄν τις πείθοιτο ἐκνήξασθαι
ζῶντα ἐς τὴν Ἰταλίαν αὐτόν. τὸ δὲ ἐκ τῶν θεῶν
εὐμενὲς ἐπὶ παντὶ ἐργάζεται ῥαςώνην. τότε δὲ ἐπὶ
τῇ ἀπωλείᾳ [4]) τῶν παίδων οἱ Μεσσήνιοι πένθος ἦγον,
καὶ ἄλλά τέ σφισιν ἐς τιμὴν αὐτῶν ἐξευρέθη, καὶ
εἰκόνας ἐς Ὀλυμπίαν ἀνέθεσαν χαλκᾶς, σὺν δὲ
αὐτοῖς τὸν διδάσκαλον τοῦ χοροῦ καὶ τὸν αὐλητήν.
τὸ μὲν δὴ ἐπίγραμμα ἐδήλου τὸ ἀρχαῖον, ἀναθήματα
εἶναι τῶν ἐν πορθμῷ Μεσσηνίων· χρόνῳ δὲ ὕςερον
Ἱππίας ὁ λεγόμενος ὑπὸ Ἑλλήνων γενέσθαι σοφὸς [5]),
τὰ ἐλεγεῖα ἐπ' αὐτοῖς ἐποίησεν. ἔργα δέ εἰσιν
Ἠλείου Κάλλωνος αἱ εἰκόνες. Ἔςι δὲ κατὰ τὴν 2
ἄκραν ἐν Σικελίᾳ τὴν τετραμμένην ἐπὶ Λιβύης καὶ
Νότου, καλουμένην δὲ Πάχυνον [6]), Μοτύη πόλις·
οἰκοῦσι δὲ Λίβυες ἐπ' αὐτῇ, καὶ Φοίνικες. τούτοις
τοῖς ἐν Μοτύῃ βαρβάροις Ἀκραγαντῖνοι καταςάντες
ἐπολέμουν [7]), καὶ λείαν τε καὶ λάφυρα ἀπ' αὐτῶν
λαβόν-

3) ἀναπίμπλασθαι] Ex utroque Codice dedi pro vulgato ἀναπίπλασθαι. Mox pro ὀσμῆς Cod. Mosc. dat ὁρμῆς.

4) τότε δὲ ἐπὶ τῇ ἀπ.] Sic ex utroque Codice scripsi pro vulgatis τῇ τότε ἐπὶ ἀπ.

5) Ἱππίας — σοφὸς] Eleus, Diopethis fil. Vid. Suid. h. v. et Platonis Dial. inscriptum *Hippias major* ab init.

6) ἐπὶ Λιβύης καὶ Νότου — Πάχυνον] Strab. L. VI. p. 407. B. et p. 408. B. Pachynum orientem et Graeciam spectare dicit (ubi vid. not.), ac Serv. ad Virgil. Aen. III. v. 699. Austrum. Forte in Pausania legendum sit ἐπὶ Λιβὸς vel Λίβυος, *ad Africum.*

7) καταςάντες ἐπολέμουν] Sic aliquoties legitur in Thucydide, et dictum est pro κατέςησαν ἐς πόλεμον.

λαβόντες ἀνέθεσαν τοὺς παῖδας ἐς Ὀλυμπίαν τοὺς χαλκοῦς, προτείνοντάς τε τὰς δεξιὰς, καὶ εἰκασμένους εὐχομένοις τῷ θεῷ· κεῖνται δὲ ἐπὶ τείχους οὗτοι τῆς Ἄλτεως· Καλάμιδος δὲ εἶναι σφᾶς ἔργα ἐγώ τε εἴκαζον, καὶ ὁ ἐς αὐτοὺς κατὰ τὰ αὐτὰ εἶχε λόγος [8]).

3 Σικελίαν δὲ ἔθνη τοσάδε οἰκεῖ· Σικανοί τε καὶ Σικελοὶ καὶ Φρύγες, οἱ μὲν ἐξ Ἰταλίας διαβεβηκότες ἐς αὐτὴν, Φρύγες δὲ ἀπὸ τοῦ Σκαμάνδρου ποταμοῦ καὶ χώρας τῆς Τρῳάδος. οἱ δὲ Φοίνικες καὶ Λίβυες στόλῳ ἀφίκοντο ἐς τὴν νῆσον κοινῷ, καὶ ἄποικοι Καρχηδονίων εἰσί. τοσαῦτα μὲν ἐν Σικελίᾳ ἔθνη βάρβαρα. Ἑλλήνων δὲ Δωριεῖς τε ἔχουσιν αὐτὴν καὶ Ἴωνες, καὶ τοῦ Φωκικοῦ καὶ τοῦ Ἀττικοῦ γένους

4 ἑκατέρου μοῖρα οὐ πολλή. Ἐπὶ δὲ τοῦ αὐτοῦ τείχους τά τε Ἀκραγαντίνων ἀναθήματα καὶ Ἡρακλέους δύο εἰσὶν ἀνδριάντες γυμνοὶ, παῖδες ἡλικίαν, τὸν δὲ ἐν Νεμέᾳ τοξεύοντι ἔοικε [9]) λέοντα. τοῦτον μὲν δὴ τόν τε Ἡρακλέα, καὶ ὁμοῦ τῷ Ἡρακλεῖ τὸν λέοντα, Ταραντῖνος ἀνέθηκεν Ἱπποτίων, Νικοδάμου δέ ἐστι μάλιστα ἡ τέχνη· τὸ δὲ ἄγαλμα τὸ ἕτερον Ἀναξίππου μέν ἐστιν ἀνάθημα Μινδαίου [10]), μετεκομίσθη δὲ ἐνταῦθα ὑπὸ Ἠλείων· τὰ πρὸ τούτου [11]) δὲ

8) ὁ ἐς αὐτ. κατὰ τὰ αὐτὰ εἶχε λόγος] Uterque Codex exhibet καὶ ἐς αὐτ. κατὰ αὐτὰ εἶχεν ὁ λόγος.

9) τοξεύοντι ἔοικε] scil. *Hercules.* Ita vero pro τοῦτον mallem scribere τούτων. Sed uterque Codex hic exhibet τοξεύοντα pro τοξεύοντι, et sic aliter interpungendum, et locus ita constituendus esset: — ἡλικίαν· τὸν δὲ ἐν Ν. τοξεύοντα, ἔοικε, (vel scribendum, ὡς ἔοικε) λέοντα, τοῦτον μὲν δή etc. *Goldhagen* in not. ad vers. germ. ista sic emendat: ὁ μὲν παιδὸς ἡλικίᾳ, ὁ δὲ τόν etc.

10) Μινδαίου] Scribendum esse Μενδαίου, cum Sylburgio judico. Μένδη, Thraciae urbs, satis nota est.

11) τὰ πρὸ τούτου] τὰ reddidi

δὲ ἔκειτο ἐπὶ τῆς ὁδοῦ τῷ πέρατι, ᾗ ἄγει μὲν ἐξ Ἤλιδος ἐς Ὀλυμπίαν, καλεῖται δὲ ἱερά. Ἔστι δὲ 5
καὶ ἀναθήματα ἐν κοινῷ τοῦ Ἀχαιῶν ἔθνους, ὅσοι προκαλεσαμένου τοῦ Ἕκτορος ἐς μονομαχίαν ἄνδρα Ἕλληνα, τὸν κλῆρον ἐπὶ τῷ ἀγῶνι ὑπέμειναν[12]). οὗτοι μὲν δὴ ἑστήκασι τοῦ ναοῦ τοῦ μεγάλου πλησίον, δόρασι καὶ ἀσπίσιν ὡπλισμένοι· ἀπαντικρὺ δὲ ἐπὶ ἑτέρου βάθρου πεποίηται Νέστωρ τὸν ἑκάστου κλῆρον ἐσβεβληκὼς ἐς τὴν κυνῆν. τῶν δὲ ἐπὶ τῷ Ἕκτορι κληρουμένων ἀριθμὸν τῶν ὀκτὼ[13]) (τὸν γὰρ ἔνατον αὐτῶν, τὴν τοῦ Ὀδυσσέως εἰκόνα, Νέρωνα κομίσαι λέγουσιν ἐς Ῥώμην) τῶν δὲ ὀκτὼ τούτων ἐπὶ μόνῳ τῷ ἀγάλματι Ἀγαμέμνονος τὸ ὄνομά ἐστι γεγραμμένον· γέγραπται δὲ καὶ τοῦτο ἐπὶ τὰ λαιὰ ἐκ δεξιῶν. ὅτου δὲ ὁ ἀλεκτρυών ἐστιν ἐπίθημα τῇ ἀσπίδι, Ἰδομενεύς ἐστιν ὁ ἀπόγονος Μίνω· τῷ δὲ Ἰδομενεῖ γένος ἀπὸ τοῦ Ἡλίου τοῦ πατρὸς Πασιφάης. Ἡλίου δὲ ἱερόν φασιν εἶναι τὸν ὄρνιθα, καὶ ἀγγέλλειν ἀνιέναι μέλλοντος τοῦ ἡλίου. γέγραπται δὲ καὶ ἐπίγραμμα ἐπὶ τῷ βάθρῳ·

Τῷ Διῒ τ' Ἀχαιοὶ τὰ ἀγάλματα ταῦτ' ἀνέθηκαν
Ἔγγονοι ἀντιθέου Ταντανλίδα[14]) Πέλοπος.

τοῦτο μὲν δὴ ἐνταῦθά ἐστι γεγραμμένον. ὁ δὲ ἀγαλματοποιὸς ὅστις ἦν, ἐπὶ τοῦ Ἰδομενέως γέγραπται τῇ ἀσπίδι·

Πολ-

didi ex utroque Codice, Pausaniae dicendi ratione adstipulante.

12) ὅσοι — ὑπέμειναν] De hoc vid. Homer. Il. η. init.

13) ἀριθμὸν τῶν ὀκτὼ] Restitui τῶν pro vulgata τὸν ex Cod. Vindob.

14) Ταντανλίδα] Cod. Cas. Ταντανλίδου. Illud vero casus Doricus est.

Πολλὰ μὲν ἄλλα σοφοῦ ποιήματα καὶ τόδ' Ὀνατᾶ
Ἔργον, ἐν Αἰγίνῃ τὸν τέκε[15]) παῖδα Μίκων.

6 Οὐ πόῤῥω δὲ τοῦ Ἀχαιῶν ἀναθήματος καὶ Ἡρακλῆς ἐστιν ὑπὲρ τοῦ ζωστῆρος μαχόμενος πρὸς τὴν Ἀμαζόνα ἔφιππον γυναῖκα. τοῦτον Εὐαγόρας μὲν γένος Ζάγκλιος[16]) ἀνέθηκεν, ἐποίησε δὲ Κυδωνιάτης Ἀριστοκλῆς. ἐν δὲ τοῖς μάλιστα ἀρχαίοις καταριθμήσασθαι καὶ τὸν Ἀριστοκλέα ἐστί· καὶ σαφῶς μὲν ἡλικίαν οὐκ ἔχοι τὶς ἂν εἰπεῖν αὐτοῦ, δῆλα δὲ ὡς πρότερον ἔτι ἐγένετο, πρὶν ἢ τῇ Ζάγκλῃ τὸ ὄνομα γενέσθαι τὸ ἐφ'
7 ἡμῶν Μεσσήνην[17]). Θάσιοι δὲ Φοίνικες τὸ ἀνέκαθεν ὄντες, καὶ ἐκ Τύρου καὶ Φοινίκης τῆς ἄλλης ὁμοῦ Θάσῳ τῷ Ἀγήνορος κατὰ ζήτησιν ἐκπλεύσαντες τὴν Εὐρώπης, ἀνέθεσαν Ἡρακλέα ἐς Ὀλυμπίαν, τὸ βάθρον χαλκοῦν ὁμοίως τῷ ἀγάλματι. μέγεθος μὲν δὴ τοῦ ἀγάλματός εἰσι πήχεις δέκα, ῥόπαλον δὲ ἐν τῇ δεξιᾷ, τῇ δὲ ἀριστερᾷ χειρὶ ἔχει τόξον. ἤκουσα δὲ ἐν Θάσῳ, τὸν αὐτὸν σφᾶς Ἡρακλέα, ὃν καὶ Τύριοι, σέβεσθαι, ὕστερον δὲ ἤδη τελοῦντας ἐς Ἕλληνας νομίσαι καὶ Ἡρακλεῖ τοῦ Ἀμφιτρύωνος[18]) νέμειν τιμάς. τῷ δὲ ἀναθήματι τῷ ἐς Ὀλυμπίαν Θασίων ἔπεστιν ἐλεγεῖον·

Υἱὸς μέν γε Μίκωνος Ὀνατᾶς ἐξετέλεσσεν,
Αὐτὸς[19]) ἐν Αἰγίνῃ δώματα ναιετάων.

τὸν

15) ἐν Αἰγίνῃ τὸν τέκε] Uterque Codex Αἰγινήτου, ὃν ἐγείνατο.

16) Ζάγκλιος] Scribendum esse Ζαγκλαῖος, jam supra notavimus ad L. IV. C. 23. 5.

17) πρὶν — Μεσσήνην] Vid. supra L. IV. C. 23. in fine.

18) τοῦ Ἀμφιτρ.] Cum *Sylburgio* mallem τῷ Ἀμφιτρ.

19) ἐξετέλεσσεν, Αὐτὸς] Uterque Codex ἐξετέλεσεν Αὐτὸ, sc. ἄγαλμα vel ἀνάθημα, quam lectionem vulgatae praefero. Eadem inscriptio in alio donario

τὸν δὲ Ὀνατᾶν τοῦτον, οὔτινος τῆς [20]) τέχνης ἐςὶ τὰ ἀγάλματα, ὄντα Αἰγινήτην, οὐδενὸς ὕςερον θήσομεν τῶν ἀπὸ Δαιδάλου τε καὶ ἐργαςηρίου τοῦ Ἀττικοῦ.

## CAPUT XXVI.

De ſigno victoriae a Dorienſibus Meſſeniis Olympiae poſito — Smicythi donaria recenſentur — inter ea ſignum Agonis (Certaminis) halteres portantis — de Smicytho — Minervae et Victoriae non alatae ſigno — ſignis Herculis quorundam laborum ab Heracleotis poſitis et de Heraclea ipſa.

Μεσσηνίων δὲ τῶν Δωριέων οἱ Ναύπακτόν ποτε παρὰ Ἀθηναίων λαβόντες, ἄγαλμα ἐν Ὀλυμπίᾳ Νίκης ἐπὶ τῷ κίονι ἀνέθεσαν. τοῦτό ἐςιν ἔργον μὲν Μενδαίου Παιωνίου [1]), πεποίηται δὲ ἀπὸ ἀνδρῶν πολεμίων, ὅτε Ἀκαρνᾶσι καὶ Οἰνιάδαις (ἐμοὶ δοκεῖν) ἐπολέμησαν [2]). Μεσσήνιοι δὲ αὐτοὶ λέγουσι τὸ ἀνάθημά σφισιν ἀπὸ τοῦ ἔργου τοῦ ἐν τῇ Σφακτηρίᾳ νήσῳ μετὰ Ἀθηναίων [3]), καὶ οὐκ ἐπιγράψαι τὸ ὄνομα τῶν πολεμίων σφᾶς τῷ ἀπὸ Λακεδαιμονίων δείματι· ἐπὶ Οἰνιάδων δὲ καὶ Ἀκαρνάνων οὐδένα ἔχειν φόβον.
Τὰ δὲ ἀναθήματα Σμικύθου πολλά τε ἀριθμὸν καὶ 2
οὐκ ἐφεξῆς [4]) ὄντα εὕρισκον. ἀλλὰ Ἰφίτου μὲν τοῦ



nario memoratur L. VIII. C. 42. prope finem, ubi tamen pro Αὐτὸς ἐν Αἰγίνῃ legitur Νάσῳ ἐν Αἰγίνῃ.

20) οὔτινος τῆς] Uterque Codex ὅμως καί.

1) Παιωνίου] Reſcripſi pro vulgato Παιονίου ex utroque Codice et Pauſania ſupra C. 10.

2) ὅτε Ἀκαρνᾶσι — ἐπολέμησαν] Vid. ſupra L. IV. C. 25. ab init. et C. 25.

3) μετὰ Ἀθηναίων] Hic εἶναι excidiſſe, admodum credibile eſt.

4) καὶ οὐκ ἐφεξῆς] In Cod. Vindob. οὐκ abeſt.

Ἠλείου καὶ Ἐκεχειρίας στεφανούσης τὸν Ἴφιτον, τούτων μὲν τῶν εἰκόνων ἔχεται τοσάδε ἀναθήματα τῶν Σμικύθου· Ἀμφιτρίτη τε καὶ Ποσειδῶν καὶ Ἑστία [5])· Γλαῦκος δὲ ὁ ποιήσας ἐστὶν Ἀργεῖος. παρὰ δὲ τοῦ ναοῦ τοῦ μεγάλου τὴν ἐν ἀριστερᾷ πλευρὰν, ἀνέθηκεν ἄλλα· Κόρην τὴν Δήμητρος καὶ Ἀφροδίτην, Γανυμήδην τε καὶ Ἄρτεμιν· ποιητῶν δὲ Ὅμηρον καὶ Ἡσίοδον, καὶ θεοὺς αὖθις Ἀσκληπιὸν καὶ Ὑγείαν.
3 Ἀγὼν τε ἐν τοῖς ἀναθήμασίν ἐστι τοῖς Σμικύθου φέρων ἁλτῆρας [6]). οἱ δὲ ἁλτῆρες οὗτοι παρέσχοντο σχῆμα τοιόνδε. κύκλου παραμηκεστέρου, καὶ οὐκ ἐς τὸ ἀκριβέστατον περιφεροῦς εἰσιν ἥμισυ. πεποίηται δὲ, ὡς καὶ τοὺς δακτύλους τῶν χειρῶν διϊέναι καθάπερ δι' ὀχάνων ἀσπίδος. τούτων [7]) μὲν δὴ σχῆμά ἐστι τὸ εἰρημένον. Παρὰ δὲ τοῦ Ἀγῶνος τὴν εἰκόνα Διονύσιος [8]) καὶ ὁ Θρᾷξ ἐστιν Ὀρφεὺς, καὶ ἄγαλμα Διὸς, οὗ δὴ καὶ ὀλίγῳ πρότερον ἐπεμνήσθην [9]). ταῦτα ἔργα ἐστὶν Ἀργείου Διονυσίου, τεθῆναι δὲ ὑπὸ τοῦ Σμικύθου καὶ ἄλλα ὁμοῦ τούτοις λέγουσι· Νέρωνα δὲ ἀφελέσθαι φασι καὶ ταῦτα. τοῖς δὲ ἐργασαμένοις αὐτὰ, γένος οὖσιν Ἀργείοις, Διονυσίῳ τε καὶ Γλαύκῳ, διδάσκαλόν σφισιν οὐδένα ἐπιλέγουσιν· ἡλικίαν δὲ αὐτῶν ὁ τὰ ἔργα ἐς Ὀλυμπίαν ἀναθεὶς
4 ἐπιδείκνυσιν ὁ Σμίκυθος. Τὸν γὰρ δὴ Σμίκυθον τοῦ-

5) Ἀμφ. τε καὶ Ποσ. καὶ Ἑστία] Uterque Cod. Ἀμφ. καὶ Ποσ. τε καὶ Ἑστία.

6) ἁλτῆρας] Conf. de his Mercurial. de arte gymnast. L. II. C. 11.

7) τούτων] Ex utroque Codice dedi pro vulgata τοῦτο.

8) Διονύσιος] *Amas.* habet Διόνυσος, *Bacchus*, quae sine dubio vera est lectio.

9) οὗ — ἐπεμνήσθην] Quodnam illud sit inter plura Jovis signa ante memorata, vix decernere possis.

τοῦτον Ἡρόδοτος[10]) ἔφη ἐν τοῖς λόγοις, ὡς Ἀναξίλα
τοῦ ἐν Ῥηγίῳ τυραννήσαντος γενόμενος δοῦλος καὶ
ταμίας τῶν Ἀναξίλα χρημάτων, ὕστερον τούτων
ἀπιὼν οἴχοιτο ἐς Τέγεαν τελευτήσαντος Ἀναξίλα.
τὰ δὲ ἐπὶ τοῖς ἀναθήμασιν ἐπιγράμματα, καὶ πα-
τέρα Σμικύθῳ Χοῖρον, καὶ Ἑλληνίδας αὐτῷ πόλεις
Ῥήγιόν τε πατρίδα καὶ τὴν ἐπὶ πορθμῷ Μεσσήνην
δίδωσιν· οἰκεῖν καὶ τὰ μὲν ἐπιγράμματα ἐν Τεγέᾳ
φασὶν αὐτόν[11]). τὰ δὲ ἀναθήματα ἀνέθηκεν ἐς
Ὀλυμπίαν, εὐχήν τινα ἐκτελῶν ἐπὶ σωτηρίᾳ παιδὸς
νοσήσαντος νόσον φθινάδα. Πλησίον δὲ τῶν μειζό- 5
νων ἀναθημάτων Σμικύθου, τέχνη δὲ[12]) τοῦ Ἀργείου
Γλαύκου, Ἀθηνᾶς ἄγαλμα ἕστηκε κράνος ἐπικειμένη,
καὶ αἰγίδα ἐνδεδυκυῖα· Νικόδαμος μὲν εἰργάσατο
ὁ Μαινάλιος, Ἠλείων δέ ἐστιν ἀνάθημα. παρὰ δὲ
τὴν Ἀθηνᾶν πεποίηται Νίκη· ταύτην Μαντινεῖς ἀνέ-
θεσαν, τὸν πόλεμον δὲ οὐ δηλοῦσιν ἐν τῷ ἐπιγράμ-
ματι. Κάλαμις δὲ οὐκ ἔχουσαν πτερὰ ποιῆσαι λέ-
γεται, ἀπομιμούμενος τὸ Ἀθήνησι[13]) τῆς ἀπτέρου
καλουμένης ξόανον. Πρὸς δὲ τοῖς ἐλάσσοσιν ἀναθή- 6
μασι τοῦ Σμικύθου, ποιηθεῖσι δὲ ὑπὸ Διονυσίου[14]),
πρὸς τούτοις Ἡρακλέους ἐστὶ τῶν ἔργων τὸ ἐς τὸν λέον-



10) Ἡρόδοτος] L.VII.ſ.170., ubi Μίκυθος dicitur.

11) δίδωσιν· οἰκεῖν καὶ — αὐτόν] Ita haec interpuncta plana et plena reddidi, cum in iſtis antea male ſic diſtinctis: δίδωσιν οἰκεῖν· καὶ τὰ μὲν etc., poſt φασὶν αὐτὸν verbum deeſſe videretur. Herodotus illud firmat l. c. dicens: καὶ Τεγέην τὴν Ἀρκάδων οἰκήσας, ἀνέθηκε ἐν Ὀλυμπίῃ τοὺς πολλοὺς ἀνδριάντας.

12) τέχνη δὲ etc.] In hac orationis ſtructura nominativus τέχνη nimis durus eſt; quare mallem ſcribere τέχνης δέ etc.

13) τὸ Ἀθήνησι etc.] Vid. L. I. C. 22. et L. III. C. 15.

14) Διονυσίου] Reſtitui ex antecedentibus et ſequentibus pro vulgata Διονύσου.

τα τὸν ἐν Νεμέᾳ καὶ ὕδραν τε καὶ εἰς τὸν κύνα τοῦ Ἅδου, καὶ τὸν ἐπὶ Ἐρυμάνθῳ ποταμῷ κάπρον. ἐκόμισαν δὲ αὐτὰ ἐς Ὀλυμπίαν Ἡρακλεῶται Μαριανδυνῶν ὁμόρων βαρβάρων καταδραμόντες τὴν χώραν. Ἡ δὲ Ἡράκλεια πεπόλισται μὲν ἐπὶ Εὐξείνῳ πόντῳ, ἀπῳκίσθη δὲ ἐκ Μεγάρων· καὶ Ταναγραῖοι δὲ μετέσχον Βοιωτῶν τοῦ οἰκισμοῦ. τούτων δὲ ἀντικρὺ τῶν κατειλεγμένων, ἔστιν ἄλλα ἀναθήματα ἐπὶ στοίχου, τετραμμένα μὲν πρὸς μεσημβρίαν, τοῦ τεμένους δὲ ἐγγύτατα, ὃ τῷ Πέλοπι ἀνεῖται.

## CAPUT XXVII.

Donaria Phormidis Olympiae — inter ea equus, cui hippomanes ineſt — de miro cinere in duobus Lydiae templis — ſigno Phormidis — ſignis Mercurii arietem portantis et Mercurii cum caduceo — bobus aeneis a Corcyraeis et Eretrienſibus Olympiae poſitis — tropaeo aeneo ab Eleis erecto — Pentathli ſigno, Mendaeorum donario.

Ἐν δὲ αὐτοῖς καὶ τὰ ἀνατεθέντα ἐστὶν ὑπὸ τοῦ Μαιναλίου Φόρμιδος, ὃς ἐκ Μαινάλου διαβὰς ἐς Σικελίαν παρὰ Γέλωνα τὸν Δεινομένους, καὶ ἐκείνῳ τε αὐτῷ καὶ Ἱέρωνι ὕστερον ἀδελφῷ τοῦ Γέλωνος ἐς τὰς στρατείας ἀποδεικνύμενος λαμπρὰ ἔργα, ἐς τοσοῦτο προῆλθεν εὐδαιμονίας, ὡς ἀναθεῖναι μὲν ταῦτα ἐς Ὀλυμπίαν, ἀναθεῖναι δὲ καὶ Ἀπόλλωνι ἄλλα ἐς Δελφούς [1]). τὰ δὲ ἐς Ὀλυμπίαν δύο τέ εἰσιν ἵπποι

καὶ

1) ἀναθεῖναι δὲ κ. Ἀπ. ἄλλα ἐς Δελφ.] Uterque Codex, uti ſaepius, ἀναθῆναι. Poſt ἄλλα vulgatum fuit δὲ, quod Codicis Vindob. auctoritate delevi. Mox pro ἑκατέρῳ τῶν Cod. Vind. ἑκατέρῳ δὲ τῶν.

καὶ ἡνίοχοι δύο, ἑκατέρῳ τῶν ἵππων παρεστὼς ἀνὴρ ἡνίοχος. ὁ μὲν δὴ πρότερος τῶν ἵππων καὶ ὁ ἀνὴρ Διονυσίου τοῦ Ἀργείου, τὰ δεύτερα δὲ ἔργα ἐστὶν Αἰγινήτου Σίμωνος. τῷ προτέρῳ δὲ τῶν ἵππων ἐπίγραμμα ἔπεστιν ἐπὶ τῇ πλευρᾷ τὰ πρῶτα οὐ σὺν μέτρῳ. λέγει γὰρ δὴ[2]) οὕτω·

Φόρμις ἀνέθηκεν Ἀρκὰς Μαινάλιος, νῦν δὲ
Συρακούσιος.

Οὗτός ἐστιν ὁ ἵππος, ὅτῳ καὶ τὸ ἱππομανὲς[3]) λόγῳ τῷ Ἠλείων ἔγκειται. δῆλα δὲ καὶ ἄλλα ἐς τιμὴν[4]) ἀνδρὸς μάγου σοφίᾳ γενέσθαι συμβαίνοντα τῷ ἵππῳ. μέγεθος μὲν ἢ εἶδος ἵππων ἀποδεῖ πολλῶν, ὅσοι τῆς Ἄλτεως ἐντὸς ἑστήκασι· πρὸς δὲ ἀποκέκοπταί τε τὴν οὐρὰν, καὶ ἐστιν ἐπὶ τῷ τοιῷδε ἔτι αἰσχίων. οἱ δὲ ἵπποι οἱ ἄρσενες οὔτι που τοῦ ἦρος μόνον, ἀλλὰ καὶ ἀνὰ πᾶσαν ἐπ' αὐτὸν ὀργῶσιν ἡμέραν[5]). καὶ γὰρ ἐσθέουσιν ἐς τὴν Ἄλτιν ἀποῤῥηγνύοντες τὰ δεσμὰ[6]), ἢ καὶ ἐκφεύγοντες τοὺς ἄγοντας, καὶ ἐπιπηδῶσιν αὐτῷ πολλῷ δή τι ἐμμα-



2) λέγει γὰρ δὴ] In Cod. Mosc. deest γάρ.

3) τὸ ἱππομανὲς] h. e. *illud, quod equos furore venereo concitat.* De *hippomane*, vel herba, vel concremento (*Gewächs*), quod cum equuleo nascitur, vid. *Harles* V. C. ad Theocrit. Id. II. v. 48. et scriptores ibi laudat.

4) δῆλα δὲ καὶ ἄλλα ἐς τιμὴν etc.] In verbis ἄλλα ἐς τιμὴν aliquid mendosi et alieni inesse, interpretes jam viderunt. *Sylb.* pro ἐς τιμὴν legere suadet ἐστὶν ἦ μὴν, et *Kuhn.* δῆλα δὲ καὶ ἄλλῳ ἐστὶ σὺν ἀνδρὸς etc., quae mihi non minus dura esse videtur. Equidem mallem ita emendare: δῆλα δὲ καὶ ἄλλως τὰ μὴν (vel μὲν) ἀνδρός etc.

5) ἀνὰ πᾶσαν — ἡμέραν] *Amas.* interpretatus: *quavis anni parte*, legisse videtur ὥραν. Quam lectionem cum praecedenti ἦρος magis congruentem probandam duco.

6) τὰ δεσμὰ] Restitui τὰ ex Cod. Vind.

νέςερον, ἢ ἐπὶ τὴν καλλίςην ἵππον ζῶσάν τε καὶ ἠθάδα ἀναβαίνεσθαι. ἀπολισθαίνουσί τε δὴ αὐτοῖς αἱ ὁπλαὶ, καὶ ὅμως οὐκ ἀπαγορεύουσι, χρεμετίζοντές τε μᾶλλον; καὶ ἐπιπηδῶντες μετὰ βιαιοτέρας τῆς ὁρμῆς, πρὶν ἂν ὑπὸ μαςίγων καὶ ἀνάγκης ἰσχυρᾶς ἀφελκυσθῶσι· πρότερον δὲ οὐκ ἔςιν ἀπαλλαγὴ
3 σφισιν οὐδεμία ἀπὸ τοῦ χαλκοῦ. Καὶ ἄλλο ἐν Λυδίᾳ θεασάμενος οἶδα διάφορον μὲν θαῦμα ἢ κατὰ τὸν ἵππον τὸν Φόρμιδος, μάγων μέν τοι σοφίας οὐδὲ αὐτὸ ἀπηλλαγμένον. ἔςι γὰρ Λυδίοις ἐπίκλησιν Περσικοῖς [7]) ἱερὰ, ἔν τε Ἱεροκαισαρείᾳ καλουμένῃ πόλει, καὶ ἐν Ὑπαίποις. ἐν ἑκατέρῳ δὲ τῶν ἱερῶν οἴκημά τε, καὶ ἐν τῷ οἰκήματί ἐςιν ἐπὶ βωμοῦ τέφρα· χρόα δὲ οὐ κατὰ τέφραν ἐςὶν αὐτὴ τὴν ἄλλην. ἐσελθὼν δὲ ἐς τὸ οἴκημα ἀνὴρ μάγος, καὶ ξύλα ἐπιφορήσας αὖα ἐπὶ τὸν βωμὸν, πρῶτα μὲν τιάραν ἐπέθετο ἐπὶ τῇ κεφαλῇ, δεύτερα δὲ ἐπίκλησιν ὅτου δὴ θεῶν ἐπᾴδει βάρβαρα καὶ οὐδαμῶς συνετὰ Ἕλλησιν· ἐπᾴδει δὲ ἐπιλεγόμενος ἐκ βιβλίου. ἄνευ δὲ δὴ πυρὸς ἀνάγκη πᾶσα ἀφθῆναι τὰ ξύλα, καὶ περιφανῆ φλόγα ἐξ αὐτῶν ἐκλάμψαι. τάδε μὲν ἐς τοσοῦ-
4 τον ἡμῖν δεδηλώσθω. Ἔςι δὲ ἐν τοῖς ἀναθήμασι τούτοις καὶ αὐτὸς ὁ Φόρμις ἀνδρὶ ἀνθεςηκὼς πολεμίῳ, καὶ ἐφεξῆς ἑτέρῳ γε καὶ τρίτῳ αὖθις μάχεται. γέγραπται δὲ ἐπὶ τούτοις, τὸν ςρατιώτην μὲν τὸν μαχόμενον Φόρμιν εἶναι τὸν Μαινάλιον, τὸν δὲ ἀναθέντα, Συρακούσιον Λυκόρταν. δῆλα δὲ ὡς οὗτος ὁ Λυκόρτας κατὰ φιλίαν ἀναθείη τοῦ Φόρμιδος. τὰ δὲ ἀναθήματα τοῦ Λυκόρτα καλεῖται Φόρμιδος καὶ ταῦ-

7) Λυδίοις ἐπ. Περσικοῖς] *Lydos Persicos* ita dictos fuisse *Kuhn.* notat a sacris Persicis, quae Hierocaesareae et Hypaepis, urbibus Lydiae, vigebant.

ταῦτα ὑπὸ Ἑλλήνων. Ὁ δὲ Ἑρμῆς ὁ τὸν κριὸν φέρων 5
ὑπὸ τῇ μασχάλῃ, καὶ ἐπικείμενος τῇ κεφαλῇ κυνῆν,
καὶ χιτῶνά τε καὶ χλαμύδα ἐνδεδυκὼς, οὐ τῶν Φόρ-
μιδος ἔτι ἀναθημάτων ἐςὶν; ὑπὸ δὲ Ἀρκάδων ἐκ
Φενεοῦ [8]) δέδοται τῷ θεῷ. Ὀνατᾶν δὲ τὸν Αἰγινήτην,
σὺν δὲ αὐτῷ Καλλιτέλην ἐργάσασθαι λέγει τὸ ἐπί-
γραμμα. δοκεῖ μοι δὴ, τοῦ Ὀνατᾶ μαθητὴς ἢ παῖς
ὁ Καλλιτέλης ἦν. Οὐ πόῤῥω δὲ τοῦ Φενεατῶν ἀνα-
θήματος ἄλλο ἐςὶν ἄγαλμα, κηρύκειον [9]) Ἑρμῆς ἔχων.
ἐπίγραμμα δὲ ἐπ' αὐτῷ Γλαυκίαν ἀναθεῖναι γένος
Ῥηγῖνον, ποιῆσαι δὲ Κάλλωνα Ἠλεῖον. Βοῶν δὲ τῶν 6
χαλκῶν, ὁ μὲν Κορκυραίων, ὁ δὲ ἀνάθημα Ἐρετριέων,
τέχνη δὲ Ἐρετριέως ἐςὶ Φιλησίου [10]). καὶ ἀνθ' ὅτου
μὲν οἱ Κορκυραῖοι τόν τε ἐν Ὀλυμπίᾳ καὶ ἕτερον βοῦν
ἐς Δελφοὺς ἀνέθεσαν, δηλώσει μοι τὰ ἐς Φωκέας τοῦ
λόγου [11]). ἐπὶ δὲ τῷ Ὀλυμπιάσιν αὐτῶν ἀναθήματι
συμβῆναι τοιόνδε ἤκουσα. παῖς μικρὸς ὑπὸ τούτῳ
καθήμενος τῷ βοΐ, ἐς τὸ κάτω νενευκὼς ἔπαιζεν.
ἀνασχὼν δὲ ἐξαίφνης τὴν κεφαλὴν, κατεάγη τε
αὐτὴν πρὸς τὸν χαλκὸν, καὶ ἐκ τοῦ τραύματος ἡμέραις
ὕςερον ἀπέθανεν οὐ πολλαῖς. Ἠλεῖοι μὲν δὴ τὸν
βοῦν, ἅτε αἵματι ἔνοχον, ἐβουλεύοντο ἐκκομίσαι τῆς
Ἄλτεως· ὁ δὲ σφᾶς ὁ θεὸς [12]) ὁ ἐν Δελφοῖς κατὰ τὸ
ἀνάθημα καθάρσια ἔχρα ἐπ' αὐτῷ ποιησαμένους,
ὁπόσα Ἕλληνες ἐπὶ ἀκουσίῳ φόνῳ νομίζουσιν. Ἔςι 7
δὲ ὑπὸ ταῖς ἐν τῇ Ἄλτει πλατάνοις κατὰ μέσον μά-



8) Ἀρκάδων ἐκ Φενεοῦ] Restitui ἐκ pro vulgata ἐν ex utroque Codice. De Pheneatis vid. L. VIII. C. 14.

9) κηρύκειον] Uterque Cod. κηρύκιον, quae forma etiam in aliis est obvia. De ceryceo vid. Schol. ad Thucyd. L. I. f. 53.

10) Φιλησίου] Cod. Vind. Λυσίου et Cod. Mosc. Λησίου.

11) δηλώσει — τοῦ λόγου] Vid. L. X. C. 9.

12) ὁ θεὸς] ὁ delendum esse, vix dubito.

λιστά που τὸν περίβολον, τρόπαιον χαλκοῦν, καὶ ἐπίγραμμα ἐπὶ τῷ τροπαίῳ τῇ ἀσπίδι [13]), Ἠλείους ἀπὸ Λακεδαιμονίων ἀναστῆσαι. ἐν ταύτῃ τῇ μάχῃ καὶ τὸν ἄνδρα ἐπέλαβεν ἐκεῖνον ἀφεῖναι τὴν ψυχὴν, ὃς, τοῦ Ἡραίου τῆς ὀροφῆς κατ' ἐμὲ ἀνασκευαζομένης,
8 ἐνταῦθα ὁμοῦ τοῖς ὅπλοις εὑρέθη κείμενος [14]). Τῶν δὲ ἐν Θρᾴκῃ Μενδαίων τὸ ἀνάθημα, ἐγγύτατα ἀφίκετο ἀπατῆσαι μὲν [15]) ὡς ἀνδρὸς εἰκὼν εἴη πεντάθλου· καὶ κεῖται μὲν παρὰ τὸν Ἠλεῖον Ἀναύχιδα [16])· ἔχει δὲ ἁλτῆρας ἀρχαίους. ἐλεγεῖον δὲ ἐπ' αὐτὸ γεγραμμένον ἐστὶν ἐπὶ τοῦ μηροῦ·

Ζηνὶ θεῶν βασιλεῖ μ' ἀκροθίνιον ἐνθάδ' ἔθηκαν
Μενδαῖοι Σίπτην [17]) χερσὶ βιασσάμενοι.

ἡ μὲν δὴ Θρᾴκιόν τι εἶναι τεῖχος καὶ πόλις ἔοικεν ἡ Σίπτη. Μενδαίοις δὲ αὐτοῖς γένος τε Ἑλληνικὸν, καὶ ἀπὸ Ἰωνίας ἐστίν· οἰκοῦσι δὲ ἀπὸ θαλάσσης ἄνω τῆς πρὸς Αἴνῳ πόλει [18]).

13) ἐπὶ τῷ τροπ. τῇ ἀσπίδι] Cod. Vind. ἐπὶ τῷ τροπ. ἐπὶ τῇ ἀσπίδι. Sic paullo infra ἐπ' αὐτὸ — ἐπὶ τοῦ μηροῦ. Tropaeum hoc a Daedalo Sicyonio elaboratum esse, legimus L. VI. C. 2.

14) ὃς — κείμενος] Vid. supra C. 20.

15) ἀπατῆσαι μὲν] *Kuhn.* mavult ἀπατῆσαί με, *parum abfuit, quin me fefellerit.*

16) Ἀναύχιδα] *Sylb.* Ἀναυχίδαν reponendum censet ab Ἀναυχίδας, de quo etiam L. VI. C. 14. et 16.

17) Σίπτην] Cod. Vind. Σίπτην, et Mosc. hic et paullo infra Σίπην et Σίπη.

18) τῆς πρὸς Αἴνῳ πόλει] Quum urbem Mendam non prope Aenum urbem sitam fuisse satis constet, *Palmer.* Exercit. p. 400. non temere emendandum censet πρὸς Σάνῃ πόλει. De qua urbe Sane vid. Steph. Byz. et plures alios.

ΠΑΥΣΑ-

# ΠΑΥΣΑΝΙΟΥ

## ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

### ΗΛΙΑΚΩΝ Β.

# ELIACORUM POSTERIOR

SEU

# LIB. VI.

## CAPUT I.

Recensentur signa et donaria insigniorum in ludis Olympicis victorum Olympiae posita.

Ἕπεται δέ μοι τῷ λόγῳ τῷ ἐς τὰ ἀναθήματα, τὸ μετὰ τοῦτο ἤδη ποιήσασθαι καὶ ἵππων ἀγωνιστικῶν μνήμην, καὶ ἀνδρῶν ἀθλητῶν τε καὶ ἰδιωτῶν[1]) ὁμοίως. τῶν δὲ νικησάντων Ὀλυμπιάσιν οὐχ ἁπάντων εἰσὶν ἑστηκότες ἀνδριάντες, ἀλλὰ καὶ ἀποδειξάμενοι λαμπρὰ ἐς τὸν ἀγῶνα, οἱ δὲ καὶ ἐπὶ ἄλλοις ἔργοις, ὅμως οὐ τετυχήκασιν εἰκόνων. τούτους ἐκέλευσεν ἀφεῖναί με ὁ λόγος, ὅτι οὐ κατάλογός ἐστιν ἀθλητῶν, ὁπόσοις γεγόνασιν Ὀλυμπιακαὶ νῖκαι, ἀναθημάτων δὲ ἄλλων τε καὶ εἰκόνων συγγραφή. οὐδὲ ὁπόσων ἑστήκασιν ἀνδριάντες, οὐδὲ τούτοις πᾶσιν ἐπέξειμι, ἐπιστάμενος ὅσοι τῷ παραλόγῳ τοῦ κλήρου[2]), καὶ

1) ἰδιωτῶν] *eorum, qui athleticam non professi sunt, vel athletarum numero non fuerunt*; quorum nonnulli memorantur infra C. 16.

2) τῷ παραλόγῳ τοῦ κλήρου] *inopinata sortis ratione.* Ad illum athletam hoc pertinere videtur, qui ἔφεδρος dicebatur; de quo vid. Lucian. Hermotim. et

καὶ οὐχ ὑπὸ ἰσχύος ἀνείλοντο ἤδη τὸν κότινον. ὁπόσοις δὲ ἢ αὐτοῖς εἶχεν ἐς δόξαν, ἢ τοῖς ἀνδριάσιν ὑπῆρχεν ἄμεινον ἑτέρων πεποιῆσθαι [3]), τοσαῦτα καὶ αὐτὸς μνησθήσομαι. Ἔστιν ἐν δεξιᾷ τοῦ ναοῦ τῆς Ἥρας, ἀνδρὸς εἰκὼν παλαιστοῦ, γένος δὲ ἦν Ἠλεῖος, Σύμμαχος Αἰσχύλου [4]) · παρὰ δὲ αὐτὸν ἐκ Φενεοῦ τῆς Ἀρκάδων Νεολαΐδας Προξένου, πυγμῆς ἐν παισὶν ἀνῃρημένος νίκην· ἐφεξῆς δὲ Ἀρχίδαμος [5]) Ξενίου, καταβαλὼν καὶ οὗτος παλαιστὰς παῖδας, γένος καὶ αὐτὸς Ἠλεῖος. τούτων τῶν κατειλεγμένων εἰργάσατο Ἄλυπος τὰς εἰκόνας Σικυώνιος, Ναυκύδους τοῦ Ἀργείου μαθητής. Κλεογένη δὲ Σιληνοῦ [6]) τὸ ἐπίγραμμα τὸ ἐπ᾽ αὐτῷ φησιν εἶναι τῶν ἐπιχωρίων, ἐκ δὲ ἀγέλης αὐτὸν οἰκείας ἵππων κρατῆσαι κέλητι. Πλησίον δὲ τοῦ Κλεογένους, Δεινόλοχός τε κεῖται, Πύῤῥος τε, καὶ Τρωΐλος Ἀλκίνου [7]). τούτοις γένος μὲν καὶ αὐτοῖς ἐστιν ἐξ Ἤλιδος· γεγόνασι δέ σφισιν οὐ κατὰ ταυτὰ αἱ νῖκαι, ἀλλὰ τῷ μὲν ἑλλανοδικεῖν τε ὁμοῦ καὶ ἵππων ὑπῆρξεν ἀνελέσθαι νίκας, τῷ Τρωΐλῳ δὲ τελείᾳ τε συνωρίδι, καὶ πώλων ἅρματι· ὀλυμπιάδι δὲ ἐκράτει δευτέρᾳ πρὸς ταῖς ἑκατόν. ἀπὸ

et Schol. ad Sophocl. Ajac. v. 614. *Amas.*, qui interpretatur *fortis fraude*, legisse videtur τῷ παραλογισμῷ.

3) ἢ τοῖς ἀνδριάσιν — πεποιῆσθαι] Vulgatum fuit ἀνδράσιν, quod a sententia alienum erat. Ex praeclara vero *Kuhnii* conjectura restitui ἀνδριάσιν, *aut quorum statuis contigit, reliquis artis opere praestare.* Pro ἢ uterque Codex male exhibet καὶ, et mox pro Ἔστιν ἐν Cod. Vind. Ἔστι δὲ ἐν.

4) Σύμμαχος Αἰσχ.] *Symmachus Aeschyli filius. Amas.* male interpretatur *Aeschyli socius.* Symmachus Messenius memoratur C. 2. in fine.

5) Ἀρχίδαμος] Uterque Codex Ἀρχέδαμος.

6) Σιληνοῦ] Cod. Vind. Σηλεινοῦ, et Mosc. Σηλενοῦ.

7) Ἀλκίνου] *Amas.* legisse videtur Ἀλκινόου.

ἀπὸ τούτου δὲ καὶ νόμος ἐγένετο Ἠλείοις, μηδὲ ἵππους τοῦ λοιποῦ τῶν ἑλλανοδικούντων καθιέναι μηδένα. τούτου μὲν δὴ τὸν ἀνδριάντα ἐποίησε Λύσιππος. Ἡ δὲ τοῦ Δεινολόχου μήτηρ εἶδεν ὄψιν ὀνείρατος, ὡς ἔχοιτο τοῦ παιδὸς ἐν τοῖς κόλποις ἐστεφανωμένου· καὶ τοῦδε εἵνεκα ἐς τὸν ἀγῶνα ὁ Δεινόλοχος ἠσκήθη, καὶ τοὺς παῖδας παρέθει τρέχων. Σικυωνίου δὲ Κλέωνός ἐστιν εἰκών. Ἐς δὴ τὴν Ἀρχιδάμου Κυνίσκαν, ἔς τὸ γένος τε αὐτῆς, καὶ ἐπὶ ταῖς Ὀλυμπικαῖς νίκαις, πρότερον ἔτι ἐδήλωσα ἐν τοῖς λόγοις, οἳ [8]) ἐς τοὺς βασιλέας τοὺς Λακεδαιμονίων ἔχουσι. Πεποίηται δὲ ἐν Ὀλυμπίᾳ παρὰ τὸν ἀνδριάντα τοῦ Τρωΐλου, λίθου κρηπὶς, καὶ ἅρμα τε ἵππων, καὶ ἀνὴρ ἡνίοχος, καὶ αὐτῆς Κυνίσκας εἰκὼν, Ἀπελλοῦ τέχνη. γέγραπται δὲ καὶ ἐπιγράμματα ἐς τὴν Κυνίσκαν ἔχοντα. εἰσὶ δὲ Λακεδαιμόνιοι καὶ ἐφεξῆς ἅμα κείμενοι τῇ Κυνίσκᾳ· ἵππων νῖκαι γεγόνασιν αὐτοῖς. Ἀνάξανδρος μὲν ἅρματι ἀνηγορεύθη πρῶτος· τὸ δὲ ἐπίγραμμά φησι τὸ ἐπ' αὐτῷ τοῦ πατρὸς τοῦ Ἀναξάνδρου πρότερον ἐπιστεφανωθῆναι τὸν πατέρα πεντάθλῳ· οὗτος μὲν δὴ ἔοικεν εὐχόμενος τῷ θεῷ. Πολυκλῆς ἐπίκλησιν λαβὼν Πολύχαλκος τεθρίππῳ μὲν καὶ οὗτος ἐκράτησεν· ἡ δὲ εἰκὼν ἐπὶ τῇ χειρὶ ἔχει οἱ τῇ δεξιᾷ ταινίαν. παρὰ δὲ αὐτῷ παιδία δύο, τὸ μὲν τροχὸν κατέχει, τὸ δὲ αἰτεῖ τὴν ταινίαν. ἐνίκησε δὲ ὁ Πολυκλῆς ἵπποις, ὡς τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ λέγει, καὶ Πυθοῖ καὶ Ἰσθμοῖ τε καὶ Νέμεα.

8) ἐδήλωσα ἐν τοῖς λόγοις, οἳ etc.] Vid. ſupra L. III. C. 8. et 15.

CAPUT

## CAPUT II.

Statuae Lacedaemoniorum equis alendis inclytorum — de ſtatua Thraſybuli vatis et priſca ex animalium extis vaticinandi ratione — Iamidis vatibus — Timoſthenis et Antipatri aliorumque ſtatuis — Meſſenii e Peloponneſo ejecti victoriarum in ludis Olympicis expertes ſunt et reducti illarum participes evadunt.

Παγκρατιαστοῦ δὲ ἀνδρὸς τὸν μὲν ἀνδριάντα εἰργάσατο Λύσιππος· ὁ δὲ ἀνὴρ οὗτος ἀνείλετο ἐπὶ παγκρατίῳ νίκην τῶν ἄλλων Ἀκαρνάνων καὶ τῶν ἐξ αὐτῆς Στρατοῦ [1]) πρῶτος, καὶ Ξενάργης ἐκαλεῖτο Φιλανδρίδου. Λακεδαιμονίων οἱ δὲ [2]) ἄρα μετὰ τὴν ἐπιστρατείαν τοῦ Μήδου διετέθησαν πάντων φιλοτιμότατα Ἑλλήνων πρὸς ἵππων τροφάς. χωρὶς γὰρ ὅσους αὐτῶν κατέλεξα ἤδη, τοσοίδε ἄλλοι τῶν ἐκ Σπάρτης ἱπποτρόφων μετὰ τὴν εἰκόνα ἀνάκεινται τοῦ Ἀκαρνᾶνος ἀθλητοῦ, Ξενάργης καὶ Λυκῖνος [3]), Ἀρκεσίλαός τε καὶ ὁ παῖς τοῦ Ἀρκεσιλάου Λίχας. Ξενάργει μὲν δὴ καὶ ἐν Δελφοῖς καὶ ἐν Ἄργει τε ὑπῆρξε καὶ ἐν Κορίνθῳ προσανελέσθαι νίκας· Λυκῖνος δὲ ἀγαγὼν ἐς Ὀλυμπίαν πώλους, καὶ οὐ δοκιμασθέν-

1) τῶν ἐξ αὐτῆς Στρατοῦ] Sic *Palmer.* p. 400. et *Kuhn.* hunc locum pro more optime emendarunt, et ita pro vulgatis τοῦ ἐξ αὐτ. στρατοῦ reſcribere, minime haeſitandum eſſe putavi. De Strato, maxima Acarnaniae urbe, vid. Strabon. L. X. p. 631. A. et Steph. Byz., qui ὁ et ἡ Στρατὸς dici affirmat. Mox pro Ξενάργης Cod. Vind. Ξενάρχης et Moſc. Ξενάχης.

2) Λακεδαιμονίων οἱ δὲ] Turbant conſtructionem et ſententiam voces οἱ δέ. Quare cum Amaſaeo ſcribere mallem Λακεδαιμόνιοι δέ.

3) Ξενάργης καὶ Λυκ.] Cod. Vind. Ξενάρχης. Diverſus vero hic Xenarges ſit neceſſe eſt ab Acarnane modo memorato, niſi mavis legere Ξενάργους· καὶ Λυκ. etc.

μασθέντος ἑνὸς ἐξ αὐτῶν, καθῆκεν ἐς τῶν ἵππων τὸν δρόμον τῶν τελείων τοὺς πώλους, καὶ ἐνίκα δι' αὐτῶν. ἀνέθηκε δὲ καὶ ἀνδριάντας δύο ἐς Ὀλυμπίαν, Μύρωνος τοῦ Ἀθηναίου ποιήματα. τῷ δὲ Ἀρκεσιλάῳ καὶ Λίχᾳ τῷ παιδὶ, τῷ μὲν αὐτῶν γεγόνασι δύο Ὀλυμπικαὶ νῖκαι· Λίχας δὲ [4]), εἰργομένων τηνικαῦτα τοῦ ἀγῶνος Λακεδαιμονίων, καθῆκεν ἐπὶ ὀνόματι τοῦ Θηβαίων δήμου τὸ ἅρμα, τὸν δὲ ἡνίοχον νικήσαντα ἀνέδησεν αὐτὸς ταινίᾳ· καὶ ἐπὶ τούτῳ μαστιγοῦσιν αὐτὸν οἱ Ἑλλανοδίκαι. καὶ διὰ τὸν Λίχαν τοῦτον [5]) ἡ κατὰ Ἆγιν βασιλέα ἐπιστρατεία Λακεδαιμονίων ἐγένετο ἐπὶ Ἠλείους, καὶ ἐντὸς τῆς Ἄλτεως μάχη. καταπαυθέντος δὲ τοῦ πολέμου, τὴν μὲν εἰκόνα ἐνταῦθα ἔστησε. τὰ δὲ Ἠλείων ἐς τοὺς Ὀλυμπιονίκας φασὶ γράμματα, οὐ Λίχαν, Θηβαίων δὲ τὸν δῆμον σχεῖν νενικηκότα. Τοῦ δὲ Λίχα πλησίον 2
μάντις ἕστηκεν Ἠλεῖος Θρασύβουλος ἐκ τῶν Ἰαμιδῶν [6]), ὃς καὶ Μαντινεῦσιν ἐμαντεύσατο ἐναντία Λακεδαιμονίων καὶ Ἄγιδος τοῦ Εὐδαμίδου βασιλέως· ἃ δὴ καὶ ἐς πλέον ἐν τῷ λόγῳ τῷ ἐς Ἀρκάδας ἐπέξειμι [7]). τοῦ Θρασυβούλου δὲ τῇ εἰκόνι γαλεώτης [8]) πρὸς τὸν ὦμον προσέρπων ἐστὶ τὸν δεξιόν· καὶ κύων ἱερεῖον δὴ παρ' αὐτῷ κεῖται διατετμημένος τε δίχα, καὶ φαίνων τὸ ἧπαρ. μαντικὴ δὲ ἡ μὲν ἐρίφων καὶ ἀρνῶν τε καὶ μόσχων

4) Λίχας δὲ etc.] In Thucyd. L. V. ſ. 50., qui eadem paullo accuratius refert, legitur Λείχας.

5) καὶ διὰ τὸν Λίχαν τοῦτον etc.] Vid. Thucyd. l. modo cit. et Pauſ. ſupra L. III. C. 8.

6) ἐκ τῶν Ἰαμιδῶν] De his vid. ſupra L. III. C. 11. not. 6.

7) ἃ δὴ — ἐπέξειμι] Vid. L. VIII. C. 10.

8) γαλεώτης] Stellio. Vide *Beckm.* V. C. ad Ariſtotel. de mirab. auſcult. C. 67. et 160.

μόσχων ἐκ παλαιοῦ δήλη καθεςῶσά ἐςιν ἀνθρώποις· Κύπριοι δὲ ὡς καὶ[9]) ὑσὶν ἐπεξευρόντες εἰσὶ μαντεύεσθαι. κυσὶ δὲ οὐδένες ἐπί γε μαντικῆς νομίζουσιν οὐδὲν χρᾶσθαι. ἔοικεν οὖν ἰδίαν τινὰ ὁ Θρασύβουλος ἐπὶ σπλάγχνων μαντικὴν κυνείων καταςήσασθαι.
3 Οἱ δ᾽ Ἰαμίδαι καλούμενοι μάντεις, γεγόνασιν ἀπὸ Ἰάμου· τὸν δὲ εἶναι παῖδα Ἀπόλλωνος, καὶ λαβεῖν
4 μαντικήν φησιν ἐν ᾄσματι Πίνδαρος[10]). Παρὰ δὲ τοῦ Θρασυβούλου τὴν εἰκόνα Τιμοσθένης τε Ἠλεῖος ἕςηκε ςαδίου νίκην ἐν παισὶν εἰληφὼς, καὶ Μιλήσιος Ἀντίπατρος Κλεινοπάτρου, παῖδας κατειργασμένος πύκτας. Συρακουσίων δὲ ἄνδρες ἄγοντες ἐς Ὀλυμπίαν παρὰ Διονυσίου θυσίαν, τὸν πατέρα τοῦ Ἀντιπάτρου χρήμασιν ἀναπείθουσιν ἀναγορευθῆναί οἱ τὸν παῖδα ἐκ Συρακουσῶν. Ἀντίπατρος δὲ ἐν οὐδενὶ τοῦ τυράννου τὰ δῶρα ἡγούμενος, ἀνεῖπεν αὑτὸν[11]) Μιλήσιον, καὶ ἀνέγραψε τῇ εἰκόνι, ὡς γένος τε εἴη Μιλήσιος, καὶ Ἰώνων ἀναθείη πρῶτος ἐς Ὀλυμπίαν εἰκόνα. τούτου μὲν δὴ Πολύκλειτος τὸν ἀνδριάντα εἰργάσατο· τὸν δὲ Δημοσθένην[12]) Εὐτυχίδης Σικυώνιος παρὰ Λυσίππῳ δεδιδαγμένος. ὁ δὲ Εὐτυχίδης οὗτος καὶ Σύροις τοῖς ἐπὶ Ὀρόντῃ Τύχης ἐποίησεν ἄγαλμα, μεγάλας παρὰ τῶν ἐπιχωρίων ἔχον τιμάς[13]). Ἐν δὲ τῇ Ἄλτει παρὰ τὸν τοῦ Δημοσθένους ἀνδρι-

9) ὡς καὶ] ὡς pro οὕτως, ὁμοίως, uti in Homero et aliis poëtis. Vid. Hesych. h. v.

10) φησιν — Πίνδαρος] Vid. Olymp. Od. VI. v. 82. 83. Conf. v. 120. 121.

11) ἀνεῖπεν αὑτὸν] Cod. Mosc. ἀν. αὐτόν.

12) τὸν δὲ Δημοσθένην] Hunc eundem esse, qui paullo supra Τιμοσθένης dictus, ex orationis serie luculenter patet. Quare et hic scribendum esse puto Τιμοσθένην et mox Τιμοσθένους pro Δημοσθένους, sicuti etiam *Amasaeus* legit.

13) ἔχον τιμάς] Cod. Vind. ἔχων τιμάς. Sic ad artificem Euty-

ἀνδριάντα ἀνάκειται Τίμων, καὶ ὁ παῖς τοῦ Τίμωνος Αἴσυπος[14]), παιδίον ἐπὶ ἵππῳ καθήμενον. ἔςι γὰρ δὴ καὶ ἡ νίκη τῷ παιδὶ ἵππου κέλητος· ὁ Τίμων δ' ἐπὶ ἅρματι ἀνηγορεύθη. τῷ δὲ Τίμωνι εἰργάσατο καὶ τῷ παιδὶ τὰς εἰκόνας Δαίδαλος Σικυώνιος, ὃς καὶ ἐπὶ τῇ Λακωνικῇ νίκῃ τὸ ἐν τῇ Ἄλτει τρόπαιον[15]) ἐποίησεν Ἠλείοις. Ἐπίγραμμα δὲ τὸ ἐπὶ τῷ Σαμίῳ πύκτῃ τὸν ἀναθέντα μὲν ὅτι ὁ παιδοτρίβης εἴη Μήκων[16]), καὶ ὅτι Σάμιοι τὰ ἐς ἀθλητὰς καὶ ἐπὶ ναυμαχίαις εἰσὶν Ἰώνων ἄριςοι· τάδε μὲν λέγει τὸ ἐπίγραμμα, ἐς δὲ αὐτὸν τὸν πύκτην ἐσήμαινεν οὐδέν. Παρὰ δὲ Μεσσηνίων Δαμίσκος[17]), ὃς δύο γεγονὼς 5
ἔτη καὶ δέκα ἐνίκησεν ἐν Ὀλυμπίᾳ. θαῦμα δὲ εἴπερ ἄλλό τι καὶ τόδε ἐποιησάμην. Μεσσηνίους μὲν γὰρ[18]) ἐκ Πελοποννήσου φεύγοντας ἐπέλιπεν ἡ περὶ τὸν ἀγῶνα τύχη τὸν Ὀλυμπικόν. ὅτι γὰρ μὴ Λεοντίσκος καὶ Σύμμαχος τῶν ἐπὶ πορθμῷ Μεσσηνίων, ἄλλος γε οὐδεὶς Μεσσήνιος, οὐδὲ Σικελιώτης[19]), οὔτ' ἐκ Ναυπάκτου, δῆλός ἐςιν Ὀλυμπιάσιν ἀνηρημένος νίκην. εἶναι δὲ οἱ Σικελιῶται καὶ τούτους τῶν ἀρχαίων Ζαγκλαίων, καὶ οὐ Μεσσηνίους φασί. συγκατῆλθε δὲ τοῖς Μεσσηνίοις ἐς Πελοπόννησον



Eutychidem, non ad Fortunae ſignum, haec referenda eſſent.

14) Αἴσυπος] Cod. Vind. Αἴσιπος.

15) τρόπαιον] De hoc vid. ſupra L. V. C. 27. in fine.

16) ὅτι ὁ παιδοτρίβης εἴη Μήκων] Ex utroque Codice inſerui ὁ. Pro Μήκων uterque Cod. exhibet Μύκων, et *Kuhn.* mavult Μίκων.

17) Παρὰ δὲ Μεσσηνίων Δαμ.] ſcil. ἕςηκεν vel ἀνάκειται. Pro Μεσσηνίων uterque Cod. dat Μεσσηνίοις.

18) Μεσσηνίους μὲν γὰρ] In utroque Cod μὲν male abeſt; reſpondet enim in ſequentibus συγκατῆλθε δέ.

19) οὐδὲ Σικ.] Forte ſcribendum ſit οὔτε Σικ.

καὶ ἡ περὶ τὸν ἀγῶνα τύχη τὸν Ὀλυμπικόν. ἐνιαυτῷ γὰρ ὕϛερον τοῦ οἰκισμοῦ τοῦ Μεσσήνης ἀγόντων Ὀλύμπια Ἠλείων, ἐνίκα ϛάδιον παῖδας ὁ Δαμίσκος οὗτος, καί οἱ καὶ πέντε ἀθλήσαντι ὕϛερον ἐγένοντο ἐν Νεμέᾳ τε νῖκαι καὶ Ἰσθμοῖ.

## CAPUT III.

Recenſio ſignorum athletarum Olympiae poſitorum continuata — de tempore expeditionis Eleorum et Thebanorum contra Sicyonios — ſtatua Cratini ex Aegira, illius aetatis hominum pulcherrimi — ſtatua Oebotae, quem pugnae ad Plataeas non intereſſe potuiſſe ex temporum ratione patet — ſtatua Diconis Cauloniatae et de Cauloniae urbis fatis — ſtatua Lyſandri Lacedaemonii.

Δαμίσκου δὲ ἐγγύτατα ἕϛηκεν ἀνὴρ ὅϛις δή· τὸ γὰρ ὄνομα οὐ λέγουσιν ἐπ' αὐτῷ· Πτολεμαίου δὲ ἀνάθημά ἐϛι τοῦ Λάγου. Μακεδόνα δὲ αὐτὸν ὁ Πτολεμαῖος ἐν τῷ ἐπιγράμματι ἐκάλεσε βασιλεύων ὅμως Αἰγύπτου. Χαιρέα δὲ Σικυωνίῳ πύκτῃ παιδὶ [1]) ἐπίγραμμά ἐϛιν, ὡς νίκην εἷλεν ἡλικίαν νέος, καὶ ὡς πατρὸς εἴη Χαιρήμονος. γέγραπται δὲ καὶ ὁ τὸν ἀνδριάντα εἰργασμένος Ἀϛερίων Αἰσχύλου. Μετὰ δὲ τὸν Χαιρέαν Μεσσήνιός τε παῖς Σόφιος, καὶ ἀνὴρ Ἠλεῖος ἀνάκειται Στόμιος. καὶ τῷ μὲν τοὺς συνθέοντας τῶν παίδων παρελθεῖν, Στομίῳ δὲ πένταθλόν τε ἐν Ὀλυμπίᾳ καὶ Νεμείων [2]) τρεῖς ὑπῆρξεν ἀνελέσθαι νίκας. τὸ

1) Σικυωνίῳ πύκτῃ π.] Cod. Moſc. Σικυωνίων π. π.

2) Νεμείων] Cod. Vind. Νεμέων. Utraque forma in Pauſania eſt obvia, Νέμεα tamen in aliis ſcriptoribus uſitatior.

τὸ δὲ ἐπίγραμμα τὸ ἐπ᾽ αὐτῷ καὶ τάδε ἐπιλέγει, τῆς ἵππου τε Ἠλείοις αὐτὸν ἡγούμενον ἀναστῆσαι τρόπαια, καὶ ἄνδρα τοῖς πολεμίοις στρατηγοῦντα ἀποθανεῖν ὑπὸ τοῦ Στομίου μονομαχήσαντα οἱ κατὰ πρόκλησιν. εἶναι δὲ αὐτὸν ἐκ Σικυῶνος οἱ Ἠλεῖοί φασι, καὶ ἄρχειν Σικυωνίων· στρατεῦσαι δὲ ἐπὶ Σικυῶνα αὐτοὶ, φιλίᾳ Θηβαίων, ὁμοῦ τῇ ἐκ Βοιωτίας δυνάμει.
Φαίνοιτο ἂν οὖν ἡ ἐπὶ Σικυῶνα Ἠλείων καὶ Θηβαίων 2
στρατεία γεγενῆσθαι μετὰ τὸ ἀτύχημα Λακεδαιμονίοις [3]) τὸ ἐν Λεύκτροις. Ἐφεξῆς δὲ ἀνάκειται μὲν πύκτης ἐκ Λεπρέου τοῦ Ἠλείων Λάβαξ Εὔφρονος. ἀνάκειται δὲ καὶ ἐξ αὐτῆς Ἤλιδος παλαιστὴς ἀνὴρ Ἀριστόδημος Θεάσιδος· γεγόνασι δὲ αὐτῷ καὶ Πυθοῖ δύο νῖκαι. ἡ δὲ εἰκών ἐστι τοῦ Ἀριστοδήμου τέχνη [4]), Δαιδάλου τοῦ Σικυωνίου μαθητοῦ, καὶ πατρὸς Πατροκλέους. Ἵππον δὲ Ἠλεῖον [5]) πυγμῇ παῖδα κρατήσαντα ἐποίησε Δημόκριτος Σικυώνιος, ὃς ἐς πέμπτον διδάσκαλον ἀνῄει τὸν Ἀττικὸν Κριτίαν. Πτόλιχος μὲν γὰρ ἔμαθεν ὁ Κορκυραῖος παρ᾽ αὐτῷ Κριτίᾳ· Πτολίχου δὲ ἦν μαθητὴς Ἀμφίων· Πίσων δὲ ἀνὴρ ἐκ Καλαυρείας ἐδιδάχθη παρ᾽ Ἀμφίονι· ὁ δὲ παρὰ τῷ Πίσωνι Δαμόκριτος [6]). Κρατῖνος δὲ ἐξ Αἰγείρας 3
τῆς



3) τὸ ἀτύχημα Λακεδαιμονίοις etc.] Cum *Sylburgio* scribere mallem τὸ ἀτ. Λακεδαιμονίων.

4) ἡ δὲ εἰκών ἐστι τοῦ Ἀριστοδήμου τέχνη etc.] Hoc *Aristodemi luctatoris* signum rectae interpunctionis ope *Aristodemi statuarii* arti vindicavi, cum prava distinctio vulgata illud Daedalo tribueret. De *Aristodemo statuario* vid. Plin. Hist. Nat. L. XXXIV. C. 8. p. 657., ubi illum potissimum *luctatores* fecisse legimus.

5) Ἵππον δὲ Ἠλεῖον] Sic ex Codice Vind. rescripsi, constructione flagitante, pro vulgatis Ἵππων δὲ Ἠλείων. *Amas.* legisse vel emendasse videtur Ἵππωνα, interpretatus *Hipponem Eleum.*

6) Δαμόκριτος] Paullo supra fuit Δημόκριτος. Paullo infra pro

τῆς Ἀχαιῶν τότε ἐγένετο κάλλιςος τῶν ἐφ' αὐτοῦ, καὶ σὺν τέχνῃ μάλιςα ἐπάλαισε. καταπαλαίσαντι δὲ αὐτῷ τοὺς παῖδας, προσαναςῆναι καὶ τὸν παιδοτρίβην ὑπὸ Ἠλείων ἐδόθη. τὸν δὲ ἀνδριάντα ἐποίησε Σικυώνιος Κάνθαρος, Ἀλέξιδος μὲν πατρὸς, διδασκάλου δὲ ὢν Εὐτυχίδου. Εὐπολέμου δὲ Ἠλείου τὴν μὲν εἰκόνα Σικυώνιος εἴργαςαι Δαίδαλος· τὸ δὲ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ μηνύει ςαδίου μὲν ἀνδρῶν Ὀλυμπιάσι νίκην ἀνελέσθαι τὸν Εὐπόλεμον, εἶναι δὲ καὶ δύο Πυθικοὺς αὐτῷ πεντάθλου ςεφάνους, καὶ ἄλλον Νεμείων [7]). λέγεται δὲ ἐπὶ τῷ Εὐπολέμῳ καὶ τάδε· ὡς ἐφεςήκοιεν τρεῖς ἐπὶ τοῦ δρόμου τῷ πέρατι Ἑλλανοδίκαι, νικᾶν δὲ τῷ μὲν Εὐπολέμῳ δύο ἐξ αὐτῶν δοῖεν, ὁ τρίτος δὲ Ἀμβρακιώτῃ Λέοντι, καὶ ὡς χρημάτων καταδικάσαιτο ὁ Λέων ἐπὶ τῆς Ὀλυμπικῆς βουλῆς ἑκατέρου τῶν Ἑλλανοδικῶν [8]), οἳ νικᾶν τὸν Εὐπόλεμον ἔγνωσαν.
4 Οἰβώτα δὲ τὸν μὲν ἀνδριάντα Ἀχαιοὶ κατὰ πρόςταγμα ἀνέθεσαν τοῦ ἐν Δελφοῖς Ἀπόλλωνος ἐπὶ ὀλυμπιάδος ὀγδοηκοςῆς· ἡ δὲ τοῦ ςαδίου νίκη τῷ Οἰβώτᾳ γέγονεν ὀλυμπιάδι ἕκτῃ [9]). πῶς ἂν οὖν τήν γε ἐν Πλαταιαῖς μάχην μεμαχημένος ὁ Οἰβώτας εἴη μετὰ Ἑλλήνων; πέμπτῃ γὰρ ἐπὶ τῇ ἑβδομηκοςῇ ὀλυμπιάδι τὸ πταῖσμα ἐγένετο ἐν Πλαταιαῖς Μαρδονίῳ καὶ Μήδοις. ἐμοὶ μὲν οὖν λέγειν μὲν [10]) τὰ ὑπὸ Ἑλλη-

pro προσαναςῆναι Cod. Vindob. exhibet προσαναςῆσαι.

7) Νεμείων] Uterque Cod. Νεμίων.

8) ἑκατέρου τ. Ἑλλ.] Forte ἑκάτερον legendum ſit.

9) ὀλυμπιάδι ἕκτῃ] *Amaſ.* haec male turbavit, interpretatus: *olympiade ſexta et octogeſima.* Vulgatam enim ἕκτῃ ſanam eſſe, ex alio Pauſaniae loco liquet L. VII. C. 17. Οἰβώτᾳ γὰρ ἀνδρὶ Δυμαίῳ etc.

10) ἐμοὶ μὲν οὖν λέγειν μὲν] In Cod. Vind. μὲν οὖν abeſt, et in Cod. Moſc. οὖν. Equidem μὲν poſt λέγειν delendum eſſe puto.

Ἑλλήνων λεγόμενα ἀνάγκη, πείθεσθαι δὲ πᾶσιν οὐκ ἔτι ἀνάγκη. τὰ δὲ ἄλλα, ὁποῖα τὰ συμβάντα ἦν ἐς τὸν Οἰβώταν, τῇ ἐς Ἀχαιοὺς προσέσαι μοι συγγραφῇ [11]). Ἀντιόχου δὲ ἀνδριάντα ἐποίησε μὲν Νικόδαμος· γένος δὲ ὁ Ἀντίοχος ἦν ἐκ Λεπρέου. παγκρατίῳ δὲ ἄνδρας ἐν Ὀλυμπίᾳ μὲν ἐκράτησεν ἅπαξ, ἐν Ἰσθμῷ δὲ καὶ Νεμέᾳ δὶς ἐνταῦθα ἐν ἑκατέρῳ τῷ ἀγῶνι. οὐ γάρ τι Ἰσθμίων Λεπρεάταις δεῖμα, ὥσπέρ γε αὐτοῖς ἐστιν Ἠλείοις ἐπὶ Ὕσμωνι τῷ Ἠλείῳ. πλησίον δὲ τοῦ Ἀντιόχου καὶ Ὕσμων οὗτος ἕστηκε. τούτῳ τῷ ἀνδρὶ ἀθλήσαντι πένταθλον, ἥ τε Ὀλυμπικὴ νίκη καὶ Νεμέων γέγονεν ἡ ἑτέρα. Ἰσθμίων δὲ δῆλα [12]) ὡς καὶ οὗτος κατὰ ταυτὰ Ἠλείοις τοῖς ἄλλοις εἴργετο. λέγεται δὲ παιδὶ ἔτι ὄντι τῷ Ὕσμωνι κατασκῆψαι ῥεῦμα ἐς τὰ νεῦρα, καὶ αὐτὸν ἐπὶ τούτῳ μελετῆσαι πένταθλον, ἵνα δὴ ἐκ τῶν πόνων ὑγιής τε καὶ ἄνοσος ἀνὴρ εἴη· τῷ δὲ ἄρα τὸ μάθημα καὶ νίκας ἔμελλεν ἐπιφανεῖς οὕτω παρασκευάσειν. ὁ δὲ ἀνδριὰς αὐτῷ Κλέωνος μέν ἐστιν ἔργον, ἔχει δὲ ἁλτῆρας ἀρχαίους. Μετὰ δὲ Ὕσμωνα παλαιστὴς παῖς ἐξ Ἡραίας ἀνάκειται τῆς Ἀρκάδων Νικόστρατος Ξενοκλείδου [13])· Παντίας δὲ αὐτῷ τὴν εἰκόνα ἐποίησεν, ὃς ἀπὸ Ἀριστοκλέους τοῦ Σικυωνίου καταριθμουμένῳ τοὺς διδαχθέντας, ἕβδομος ἀπὸ τούτου μαθητής.
Δίκων δὲ ὁ Καλλιβρότου [14]) πέντε μὲν Πυθοῖ δρόμου 5
νίκας, τρεῖς δὲ ἀνείλετο Ἰσθμίων, τέσσαρας δὲ ἐν



11) τῇ ἐς Ἀχαιοὺς — συγγραφῇ] Vid. L. VII. C. 17. Paullo infra in Cod. Mosc. ὁ ante Ἀντίοχος abest.

12) Ἰσθμίων δὲ δῆλα etc.] Vid. supra C. 2.

13) Ξενοκλείδου] Ex utroque Codice dedi pro Ξενοκλίδου.

14) Καλλιβρότου] Scribendum esse Καλλιμβρότου, Wesseling. ad Diodor. L. XV. f. 14. confirmat ex inedito epigramm.

Νεμέᾳ, καὶ Ὀλυμπικὰς μίαν μὲν ἐν παισὶ, δύο δὲ ἄλλας ἀνδρῶν· καί οἱ καὶ ἀνδριάντες ἴσοι ταῖς νίκαις εἰσὶν ἐν Ὀλυμπίᾳ. παιδὶ μὲν δὴ ὄντι αὐτῷ Καυλωνιάτῃ, καθάπερ γε καὶ ἦν, ὑπῆρξεν ἀναγορευθῆναι· τὸ δὲ ἀπὸ τούτου Συρακούσιον αὐτὸν [15]) ἀνηγόρευσεν ἐπὶ χρήμασι. Καυλωνία δὲ ἀπῳκίσθη μὲν ἐς Ἰταλίαν ὑπὸ Ἀχαιῶν, οἰκιστὴς δὲ ἐγένετο αὐτῆς Τύφων Αἰγιεύς. Πύῤῥου δὲ τοῦ Αἰακίδου καὶ Ταραντίνων ἐς τὸν πρὸς Ῥωμαίους πόλεμον καταστάντων, ἄλλαί τε τῶν ἐν Ἰταλίᾳ πόλεων ἐγένοντο αἱ μὲν ὑπὸ Ῥωμαίων, αἱ δὲ ὑπὸ τῶν Ἠπειρωτῶν ἀνάστατοι· κατέλαβε δὲ ἐς ἅπαν ἐρημωθῆναι καὶ τὴν Καυλωνίαν ἁλοῦσαν ὑπὸ Καμπανῶν, οἳ Ῥωμαίοις μεγίστη τοῦ συμμαχικοῦ μοῖρα ἦσαν. Ἐπὶ δὲ τῷ Δίκωνι [16]) ἀνάκειται μὲν Ξενοφῶν Μενεφύλου, παγκρατιαστὴς ἀνὴρ ἐξ Αἰγίου τῆς Ἀχαιῶν· ἀνάκειται δὲ Πυριλάμπης Ἐφέσιος λαβὼν δολιχοῦ νίκην. τοῦ μὲν δὴ τὴν εἰκόνα ἐποίησεν Ὄλυμπος, Πυριλάμπει δὲ ὁμώνυμος καὶ ὁ πλάστης, γένος δὲ [17]) οὐ Σικυώνιος, ἀλλὰ ἐκ Μεσσήνης τῆς ὑπὸ τῇ
6 Ἰθώμῃ. Λύσανδρον δὲ τὸν Ἀριστοκρίτου Σπαρτιάτην ἀνέθεσαν ἐν Ὀλυμπίᾳ Σάμιοι· καὶ αὐτοῖς τὸ μὲν πρότερον τῶν ἐπιγραμμάτων ἐστίν·

Ἐν πολυθαήτῳ τεμένει Διὸς ὑψιμέδοντος
Ἕστηκ' ἀναθέντων δημοσίᾳ Σαμίων.

τοῦτο

15) αὐτὸν] Reſcripſi, ſenſu ita poſtulante, pro vulgata αὐτόν.

16) Ἐπὶ δὲ τῷ Δίκωνι] Nomen *Diconis* pro vulgato Ἑλικῶνι reſtitui ex *Amaſaei* interpretatione et utroque Codice, in quibus poſt τῷ lacuna apparet. Forte genuina lectio fuerit Ἐπὶ δὲ τῷ Συρακουσίῳ Δίκωνι.

17) γένος δὲ] Cod. Vindob. γένει δέ. Mox in inſcriptione ἀναθέντων repoſui pro vulgato ἀνθέντων.

τοῦτο μὲν δὴ τοὺς τὸ ἀνάθημα ἀναθέντας μηνύει· τὸ δ' ἐφεξῆς ἐς αὐτὸν ἔπαινός ἐςι Λύσανδρον·

Ἀθάνατον πάτραν καὶ Ἀριςοκρίτῳ [18]) κλέος ἔργων
Λύσανδρ' ἐκτελέσας, δόξαν ἔχεις ἀρετᾶς.

δῆλοι οὖν εἰσιν οἵ τε Σάμιοι καὶ οἱ ἄλλοι Ἴωνες, κατὰ τὸ λεγόμενον ὑπ' αὐτῶν Ἰώνων, τοὺς τοίχους τοὺς δύο ἐπαλείφοντες [19]). Ἀλκιβιάδου μέν γε τριήρεσιν Ἀθηναίων περὶ Ἰωνίαν ἰσχύοντος, ἐθεράπευον αὐτὸν Ἰώνων οἱ πολλοί· καὶ εἰκὼν Ἀλκιβιάδου χαλκῆ παρὰ τῇ Ἥρᾳ τῇ Σαμίων ἐςὶν ἀνάθημα. ὡς δὲ ἐν Αἰγὸς ποταμοῖς ἑάλωσαν αἱ ναῦς αἱ Ἀττικαὶ, Σάμιοι μὲν ἐς Ὀλυμπίαν τὸν Λύσανδρον, Ἐφέσιοι δὲ ἐς τὸ ἱερὸν ἀνετίθεσαν τῆς Ἀρτέμιδος Λύσανδρόν τε αὐτὸν καὶ Ἐτεόνικον, καὶ Φάρακα [20]), καὶ ἄλλους Σπαρτιατῶν, ἥκιςα ἐς γε τὸ Ἑλληνικὸν γνωρίμους. μεταπεσόντων δὲ αὖθις τῶν πραγμάτων, καὶ Κόνωνος κεκρατηκότος τῇ ναυμαχίᾳ περὶ Κνίδον καὶ ὄρος τὸ Δώριον ὀνομαζόμενον, οὕτω μετεβάλλοντο οἱ Ἴωνες, ὡς καὶ Κόνωνα [21]) ἀνακείμενον χαλκοῦν καὶ Τιμόθεον ἐν Σάμῳ τέ ἐςιν ἰδεῖν παρὰ τῇ Ἥρᾳ, καὶ ὡσαύτως ἐν Ἐφέσῳ παρὰ τῇ



18) *πάτραν καὶ Ἀριςοκρίτῳ*] Cod. Casaub. et Cod. Vind. bene exhibent *πάτρᾳ*, atque in utroque Codice est *Ἀριςοκράτῳ*, de quo vid. not. 10. ad L. III. C. 6.

19) *τοὺς τοίχους τοὺς δύο ἐπαλείφοντες*] Hanc proverbialem locutionem, quae de iis dicitur, *qui in utramque partem propendent*, Suidas explicat his verbis: *δύο τοίχους ἀλείφεις· λέγεται ἐπὶ τῶν ἐπαμφοτεριζόντων καὶ διὰ μέσου χωρούντων ἐν μάχῃ ἢ φιλίαις. εὕρηται δὲ ἴσως ἀπὸ τῶν δύο τοίχους εὐφέγγους ποιούντων.* Cicero Epist. ad Divers. L. VII. 29. hoc proverbium latine servavit: *duo parietes de eadem fidelia dealbare.*

20) *Φάρακα*] Cod. Vindob. *Φάρμακα.*

21) *ὡς καὶ Κόνωνα*] In utroque Codice *ὡς* bene abest.

Ἐφεσίᾳ θεῷ. ταῦτα μέν ἐστιν ἔχοντα οὕτω τὸν ἀεὶ χρόνον, καὶ Ἴωσιν ὡσαύτως οἱ πάντες ἄνθρωποι θεραπεύουσι τὰ ὑπερέχοντα τῇ ἰσχύϊ.

## CAPUT IV.

Recenſionis ſignorum athletarum Olympiae poſitorum continuatio — ſtatua Soſtrati Sicyonii cognomine Acrocherſitae et Leontiſci — Olympias CIV. ab Eleis non notata, quia Piſaei et Arcades tunc ludos celebrarunt — puer taenia redimitus, unicum Olympiae ſignum a Phidia confectum — Chilonis Patrenſis ſignum — Ariſtotelis Stagiritae — Archidami, regis Lacedaemoniorum — Ergotelis Cretenſis.

Ἔχεται δὲ τοῦ Λυσάνδρου τῆς εἰκόνος Ἐφέσιός τε πύκτης, τοὺς ἐλθόντας κρατήσας τῶν παίδων, ὄνομα δέ οἱ ἦν Ἀθήναιος· καὶ Σικυώνιος Σώστρατος παγκρατιαστὴς ἀνὴρ, ἐπίκλησις δὲ ἦν Ἀκροχερσίτης¹) αὐτῷ. παραλαμβανόμενος γὰρ ἄκρων τοῦ ἀνταγωνιζομένου τῶν χειρῶν ἔκλα, καὶ οὐ πρότερον ἀνίει, πρὶν ἢ αἴσθοιτο ἀπαγορεύσαντος. γεγόνασι δὲ αὐτῷ Νεμείων μὲν νῖκαι καὶ Ἰσθμίων ἀναμὶξ δυώδεκα, Ὀλυμπιάσι δὲ καὶ Πυθοῖ, τῇ μὲν δύο, τρεῖς δὲ
2 ἐν Ὀλυμπίᾳ. Τὴν τετάρτην δὲ ὀλυμπιάδα ἐπὶ ταῖς ἑκατὸν (πρώτην γὰρ δὴ ἐνίκησεν ὁ Σώστρατος ταύτην) οὐκ ἀναγράφουσιν οἱ Ἠλεῖοι, διότι μὴ αὐτοὶ τὸν ἀγῶνα, ἀλλὰ Πισαῖοι καὶ Ἀρκάδες ἔθεσαν ἀντ' αὐτῶν²). Παρὰ

1) Ἀκροχερσίτης etc.] Eadem de Soſtrato et Leontiſco ex Pauſania habet *Suidas* v. ἀκροχειρίζεσθαι, ubi tamen ἠφίει pro ἀνίει et ἢ ante αἴσθοιτο abeſt.

2) Τὴν τετάρτην — αὐτῶν] Conf. L. V. C. 9. in fine.

Παρὰ δὲ τὸν Σώστρατον παλαιστὴς ἀνὴρ πεποίηται Λεοντίσκος, ἐκ Σικελίας τε ὢν γένος, καὶ ἀπὸ τῆς ἐν τῷ πορθμῷ Μεσσήνης· στεφανωθῆναι δὲ ὑπό τε Ἀμφικτυόνων καὶ ὑπὸ Ἠλείων, εἶναι δὲ αὐτῷ λέγεται τὴν πάλην, καθὰ δὴ καὶ τὸ παγκράτιον τῷ Σικυωνίῳ Σωστράτῳ· καὶ γὰρ τὸν Λεοντίσκον καταβαλεῖν μὲν οὐκ ἐπίστασθαι τοὺς παλαίοντας, νικᾷν δὲ αὐτὸν κλῶντα τοὺς δακτύλους. τὸν δὲ ἀνδριάντα Πυθαγόρας ἐποίησεν ὁ Ῥηγῖνος, εἴπερ τις καὶ ἄλλος ἀγαθὸς τὰ ἐς πλαστικήν. διδαχθῆναι δὲ παρὰ Κλεάρχῳ φασὶν αὐτὸν, Ῥηγίνῳ μὲν καὶ αὐτῷ, μαθητῇ δὲ Εὐχείρου· τὸν δὲ Εὔχειρον εἶναι Κορίνθιον, φοιτῆσαι δὲ ὡς Συάδραν τε καὶ Χάρταν Σπαρτιάτας.
3 Ὁ δὲ παῖς [3]) ὁ ἀναδούμενος ταινίᾳ τὴν κεφαλὴν, ἐπεισήχθω μοι καὶ οὗτος ἐς τὸν λόγον, Φειδίου τε εἵνεκα καὶ τῆς ἐς τὰ ἀγάλματα τοῦ Φειδίου σοφίας· ἐπεὶ ἄλλως γε οὐκ ἴσμεν ὅτου [4]) τὴν εἰκόνα ὁ Φειδίας ἐποίησε. Σάτυρος δὲ Ἠλεῖος Λυσιάνακτος πατρὸς, γένους δὲ τοῦ Ἰαμιδῶν, ἐν Νεμέᾳ πεντάκις ἐνίκησε πυκτεύων, καὶ Πυθοῖ τε δὶς, καὶ δὶς ἐν Ὀλυμπίᾳ. τέχνη δὲ Ἀθηναίου Σιλανίωνος ὁ ἀνδριάς ἐστι. Πλάστης δὲ ἄλλος τῶν Ἀττικῶν Πολυκλῆς, Σταδιέως μαθητὴς Ἀθηναίου, πεποίηκε παῖδα Ἐφέσιον παγκρατιαστὴν, Ἀμύνταν Ἑλλανίκου. Χίλωνι δὲ 4
Ἀχαιῷ Πατρεῖ δύο μὲν Ὀλυμπιακαὶ νῖκαι πάλης ἀνδρῶν, μία δὲ ἐγένετο ἐν Δελφοῖς, τέσσαρες δὲ ἐν Ἰσθμῷ, καὶ Νεμείων τρεῖς. ἐτάφη δὲ ὑπὸ τοῦ κοινοῦ τῶν Ἀχαιῶν, καί οἱ καὶ τοῦ βίου συνέπεσε

3) Ὁ δὲ παῖς etc.] *Pantarcem* innui, *Kuhnius* opinatur; de quo vid. supra L. V. C. 11.

4) ὅτου] Uterque Cod. male exhibet ὅπου.

συνέπεσε πολέμῳ [5]) τὴν τελευτὴν γενέσθαι. μαρτυρεῖ δέ μοι καὶ τὸ ἐπίγραμμα τὸ ἐν Ὀλυμπίᾳ·

Μοῦνος [6]) πάλῃ νικῶ δὶς Ὀλύμπια Πύθιά τ' ἄνδρας,
Τρὶς Νεμέᾳ, τετράκις δ' Ἰσθμῷ ἐν ἀγχιάλῳ,
Χίλων, ὃς Πατρεὺς ἦν· αὐτὰρ [7]) ὁ λαὸς Ἀχαιῶν
Ἐν πολέμῳ φθίμενον θάψ' ἀρετῆς ἕνεκεν.

τὸ μὲν δὴ ἐπίγραμμα ἐπὶ τοσούτῳ [8]) ἐδήλωσεν. εἰ δὲ Λυσίππου τοῦ ποιήσαντος τὴν εἰκόνα τεκμαιρόμενον τῇ ἡλικίᾳ συμβαλέσθαι δεῖ με τὸν πόλεμον, ἔνθα ὁ Χίλων ἔπεσεν, ἤτοι ἐς Χαιρώνειαν Ἀχαιοῖς τοῖς πᾶσιν ὁμοῦ στρατεύσασθαι, ἢ ἰδίᾳ κατ' ἀρετήν τε καὶ τόλμαν Ἀχαιῶν μόνος Ἀντιπάτρου μοι [9]) καὶ Μακεδόνων ἐναντία ἀγωνίσασθαι περὶ Λάμιαν φαίνεται τὴν ἐν
5 Θεσσαλίᾳ. Ἐφεξῆς δὲ τοῦ Χίλωνος δύο ἀνάκεινται· τῷ μὲν Μολπίων ἐστὶν ὄνομα, στεφανωθῆναι δὲ τὸ ἐπίγραμμά φησιν αὐτὸν ὑπὸ Ἠλείων· τὸν δὲ ἕτερον, ὅτῳ μηδέν ἐστιν ἐπίγραμμα, μνημονεύουσιν ὡς Ἀριστοτέλης ἐστὶν ὁ ἐκ τῶν Θρακίων Σταγείρων. καὶ αὐτὸν ἤτοι μαθητὴς, ἢ καὶ στρατιωτικὸς ἀνέθηκεν ἀνὴρ, ἅτε παρὰ Ἀντιπάτρῳ καὶ πρότερον ἰσχύσαντα παρὰ Ἀλεξάνδρῳ. Σωδάμας δὲ ὁ ἐξ Ἀσσοῦ τῆς ἐν τῇ Τρῳάδι, κειμένης δὲ ὑπὸ τῇ Ἴδῃ, πρῶτος Αἰολέων τῶν

ταύτῃ,

5) *συνέπεσε πολέμῳ*] Scribendum esse *συνέπεσε ἐν πολέμῳ*, vix dubito.

6) Μοῦνος] Uterque Codex Μούνῳ. Quae lectio Camerario favet legenti Μουνοπάλης, de qua voce vid. Hesych.

7) ὃς Πατρεὺς ἦν· αὐτὰρ] Uterque Cod. exhibet ὃς Π. ὢν, et *αὐτὰρ* omisit.

8) *ἐπὶ τοσούτῳ*] *Sylb.* et *Kuhn.* haud temere emendant *ἐπὶ τοσοῦτο* vel *τοσοῦτον*, *in tantum.*

9) *μοι*] Inserui ex utroque Codice.

ταύτῃ, στάδιον Ὀλυμπιάσιν ἐνίκησεν ἐν παισί. Παρὰ 6
δὲ Συδάμαν Ἀρχίδαμος ἕστηκεν ὁ Ἀγησιλάου, Λακεδαιμονίων βασιλεύς. πρὸ δὲ τοῦ Ἀρχιδάμου τούτου βασιλέως, εἰκόνα οὐδενὸς ἔν γε τῇ ὑπερορίᾳ Λακεδαιμονίους ἀναθέντας εὕρισκον. Ἀρχιδάμου δὲ ἄλλων τε καὶ τῆς τελευτῆς (ἐμοὶ δοκεῖν) εἵνεκα ἀνδριάντα [10]) ἐς Ὀλυμπίαν ἀπέστειλαν, ὅτι ἐν βαρβάρῳ τε ἐπέλαβεν αὐτὸν τὸ χρεὼν, καὶ βασιλέων μόνος τῶν ἐν Σπάρτῃ δῆλός ἐστιν ἁμαρτὼν τάφου. ταῦτα μὲν δὴ καὶ ἐν τοῖς Σπαρτιατικοῖς λόγοις ἐς πλέον ἡμῖν δεδήλωται [11]). Εὐάνθει δὲ Κυζικηνῷ γεγόνασι πυγμῆς νῖκαι, μία μὲν ἐν ἀνδράσιν Ὀλυμπικὴ, Νεμείων δὲ ἐν παισὶ καὶ Ἰσθμίων. Πεποίηται δὲ παρὰ τὸν Εὐάνθη ἀνήρ τε ἱπποτρόφος καὶ τὸ ἅρμα, ἀναβεβηκυῖα δὲ ἐπὶ τῷ ἅρματι [12]) παῖς παρθένος. ὄνομα μὲν Λάμπος τῷ ἀνδρὶ, πατρὶς δὲ ἦν αὐτῷ νεωτάτη τῶν ἐν Μακεδονίᾳ πόλεων, καλουμένη δὲ ἀπὸ τοῦ οἰκιστοῦ Φιλίππου τοῦ Ἀμύντου [13]). Κυνίσκῳ δὲ τῷ ἐκ Μαντινείας πύκτῃ παιδὶ ἐποίησε Πολύκλειτος τὴν εἰκόνα. Ἐργοτέλης δὲ ὁ Φιλάνορος δολιχοῦ δύο 7
ἐν Ὀλυμπίᾳ νίκας, τοσαύτας δὲ ἄλλας Πυθοῖ καὶ ἐν Ἰσθμῷ τε καὶ Νεμείων ἀνῃρημένος, οὐχ Ἱμεραῖος εἶναι τὸ ἐξ ἀρχῆς, καθάπερ γε τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ φησὶ, Κρὴς δὲ εἶναι λέγεται Κνώσσιος· ἐκπεσὼν δὲ

10) ἀνδριάντα] Sic rescripsi ex *Amasaei* interpretatione pro vulgata ἀνδριάντας, re ipsa illud postulante.

11) ταῦτα μὲν — δεδήλωται] Vid. supra L. III. C. 10.

12) ἐπὶ τῷ ἅρματι] Ex utroque Codice dedi pro vulgatis ἐπὶ τὸ ἅρμα.

13) καλουμένη — Ἀμύντου] Non Philippopolin in Thracia, sed Philippos, Macedoniae urbem, designat Pausanias. Vid. Palmer. Exerc. p. 401.

δὲ ὑπὸ στασιωτῶν ἀπὸ Κνωσσοῦ [14]), καὶ ἐς Ἱμέραν ἀφικόμενος, πολιτείας τετύχηκεν· ᾧ καὶ πολλὰ εὕρετο ἄλλα ἐς τιμήν. ἔμελλεν οὖν, ὡς τὸ εἰκὸς, Ἱμεραῖος ἐν τοῖς ἀγῶσιν ἀναγορευθήσεσθαι.

## CAPUT V.

Signum Polydamantis, qui ſtatura corporis omnes ſuperavit, heroibus exceptis — de Scotuſſae, Polydamantis patriae, fatis — Polydamantis alia, praeter victoriam Olympicam, fortiter facta narrantur — de Polydamantis interitu.

Ὁ δὲ ἐπὶ τῷ βάθρῳ τῷ ὑψηλῷ, Λυσίππου μέν ἐστιν ἔργον, μέγιστος δὲ ἁπάντων ἐγένετο ἀνθρώπων, πλὴν τῶν ἡρώων καλουμένων, καὶ εἰ δή τι ἄλλο ἦν πρὸ τῶν ἡρώων θνητὸν γένος· ἀνθρώπων δὲ τῶν καθ' ἡμᾶς οὗ-
2 τός ἐστιν ὁ μέγιστος Πουλυδάμας [1]) Νικίου. Σκότουσσα δὲ ἡ τοῦ Πουλυδάμαντος πατρὶς οὐκ ᾠκεῖτο ἔτι ἐφ' ἡμῶν. Ἀλέξανδρος γὰρ τὴν πόλιν ὁ Φεραίων τυραννήσας κατέλαβε σπονδαῖς, καὶ Σκοτουσσαίων τούς τε ἐς τὸ θέατρον συνειλεγμένους (ἔτυχε γάρ σφισι καὶ ἐκκλησία τηνικαῦτα οὖσα) τούτους τε ἅπαντας κατηκόντισεν, πελτασταῖς ἐν κύκλῳ περισχὼν καὶ τοξόταις, καὶ τὸ ἄλλο ὅσον ἐν ἡλικίᾳ κατεφόνευσε, γυναῖκας δὲ ἀπέδοτο καὶ παῖδας, μισθὸν εἶναι τὰ χρήματα

τοῖς

14) ἀπὸ Κν.] Vulgatum fuit ὑπὸ, quod conſtructionis ratio repudiabat; quare, *Sylburgio* monente, ἀπὸ repoſui, quod cum ἐκπίπτειν jungendum eſt.

1) Πουλυδάμας] In Suida, qui omnia de Polydamante ex Pauſania exſcripſit, legitur Πολυδάμας, uti et in aliis. Conf. Lucian. Deor. concil.

τοῖς ξένοις. αὕτη Σκοτουσσαίοις ἡ συμφορὰ Φρα-
σικαίδου [2]) μὲν Ἀθήνησιν ἐγένετο ἄρχοντος, δευτέρᾳ
δὲ ὀλυμπιάδι ἐπὶ ταῖς ἑκατὸν, ἣν Δάμων Θούριος ἐνίκα
τὸ δεύτερον, ταύτης ἔτει δευτέρῳ τῆς ὀλυμπιάδος,
καὶ ὀλίγον τε ἔμενε τὸ διαφυγὸν τῶν Σκοτουσσαίων,
καὶ αὖθις ὑπὸ ἀσθενείας ἐξέλιπον καὶ οὗτοι τὴν πόλιν,
ὅτε καὶ τοῖς πᾶσιν Ἕλλησι προσπταῖσαι δεύτερα ἐν
τῷ πρὸς Μακεδόνας πολέμῳ παρεσκεύασεν ὁ δαίμων.
Παγκρατίου μὲν δὴ καὶ ἄλλοις ἤδη γεγόνασιν ἐπιφα- 3
νεῖς νῖκαι· Πουλυδάμαντι [3]) δὲ τάδε ἀλλοῖα παρὰ
τοὺς ἐπὶ τῷ παγκρατίῳ ςεφάνους ὑπάρχοντά ἐςιν.
ἡ ὀρεινὴ τῆς Θράκης, ἡ ἔνδον Νέςου ποταμοῦ τοῦ ῥέον-
τος διὰ τῆς Ἀβδηριτῶν, καὶ ἄλλα θηρία, ἐν δὲ αὐτοῖς
παρέχεται καὶ λέοντας, οἵ καὶ τῷ ςρατῷ ποτε ἐπιθέ-
μενοι τῷ Ξέρξου, τὰς ἀγούσας καμήλους τὰ σιτία
ἐλυμήναντο [4]). οὗτοι πολλάκις οἱ λέοντες καὶ ἐς τὴν
περὶ τὸν Ὄλυμπον πλανῶνται χώραν. τούτου δὲ τοῦ
ὄρους ἡ μὲν ἐς Μακεδονίαν πλευρὰ, ἡ δὲ ἐπὶ Θεσσα-
λοὺς καὶ τὸν ποταμὸν τέτραπται τὸν Πηνειόν. ἐνταῦθα
ὁ Πουλυδάμας λέοντα ἐν τῷ Ὀλύμπῳ μέγαν καὶ ἄλκι-
μον θηρίον κατειργάσατο οὐδενὶ ἐσκευασμένος ὅπλῳ.
προήχθη δὲ ἐς τὸ τόλμημα φιλοτιμίᾳ πρὸς τὰ Ἡρα-
κλέους ἔργα· ὅτι καὶ Ἡρακλέα ἔχει λόγος κρατῆσαι
τοῦ ἐν Νεμέᾳ λέοντος. Ἕτερον δὲ ἐπὶ τούτῳ θαῦμα
ὑπελείπετο [5]) ὁ Πουλυδάμας ἐς μνήμην. ἐς ἀγέλην
ἐσελθὼν

2) Σκοτουσσαίοις —, Φρασικαίδου] Uterque Cod. Σκοτουσσαίων, et Cod. Vindob. Φρακαισίδου. Potius ſcribendum eſſe Φρασικλείδου, ex Pauſan. L. VIII. C. 27. manifeſto patet, nec non ex Diodot. Sic. L. XV. ſ. 51., ubi vid. Weſſeling., nec non ad ſ. 75.

3) Πουλυδάμαντι] Cod. Vind. Πολυδάμαντι.

4) οἳ καὶ — ἐλυμήναντο] Ex Herodot. L. VII. ſ. 125. 126.

5) ὑπελείπετο] *Sylb.* mavult ὑπελίπετο.

ἐσελθὼν βοῶν, τὸν μέγιστον καὶ ἀγριώτατον λαβὼν τοῦ ἑτέρου τῶν ὄπισθεν ποδῶν, τὰς χηλὰς κατεῖχεν ἄκρας, καὶ πηδῶντα καὶ ἐπειγόμενον οὐκ ἀνίει, πρίν γε δὴ ὁ ταῦρος ὀψέ ποτε καὶ ἐς ἅπαν ἀφικόμενος βίας, ἀπέφυγεν ἀφεὶς ταύτῃ τῷ Πουλυδάμαντι τὰς χηλάς. Λέγεται δὲ καὶ ὡς ἄνδρα ἡνίοχον ἐλαύνοντα σπουδῇ τὸ ἅρμα ἐπέσχε τοῦ πρόσω. λαβόμενος γὰρ τῇ ἑτέρᾳ τῶν χειρῶν ὄπισθεν τοῦ ἅρματος, ὁμοῦ καὶ τοὺς ἵππους πεδήσας [6]) καὶ τὸν ἡνίοχον εἶχε. Δαρεῖος δὲ Ἀρταξέρξου παῖς νόθος, ὃς ὁμοῦ τῷ Περσῶν δήμῳ Ἰσόγαιον καταπαύσας [7]) παῖδα Ἀρταξέρξου γνήσιον, ἔσχεν ἀντ' ἐκείνου τὴν ἀρχήν, οὗτος ὡς ἐβασίλευσεν ὁ Δαρεῖος (ἐπυνθάνετο γὰρ τοῦ Πουλυδάμαντος τὰ ἔργα) πέμπων ἀγγέλους ὑπισχνούμενος δῶρα, ἀνέπεισεν αὐτὸν ἐς Σοῦσά τε καὶ ἐς ὄψιν ἀφικέσθαι τὴν αὐτοῦ. ἔνθα δὴ κατὰ πρόκλησιν Περσῶν ἄνδρας τῶν καλουμένων ἀθανάτων [8]) ἀριθμὸν τρεῖς, ἀθρόους οἱ μονομαχήσαντας ἀπέκτεινεν. ἔργων δὲ τῶν κατειλεγμένων οἱ τὰ μὲν ἐπὶ τῷ βάθρῳ τοῦ ἀνδριάντος ἐν Ὀλυμπίᾳ, τὰ δὲ καὶ δηλούμενά ἐστιν ὑπὸ τοῦ ἐπι-
4 γράμματος. Ἔμελλε δὲ ἄρα τὸ ὑπὸ Ὁμήρου προθεσπισθὲν [9]) ἄλλους τε τῶν φρονησάντων ἐπὶ ἰσχύϊ [10]), καὶ

6) τοὺς ἵππους πεδήσας] *equos quaſi compedivit et inhibuit.* Suid. l. c. habet καὶ στήσας τοὺς ἵππους.

7) Ἰσόγαιον καταπαύσας] Cod. Vind. καταπαλαίσας. Nomen Ἰσόγαιον corruptum eſſe videtur. Is enim, qui a Dario Notho regnó privatus eſt, Sogdianus dicitur Diodor. Sic. L. XII. ſ. 71., ubi vide Weſſeling. Conf. Palmer. Exerc. p. 401.

8) τῶν καλ. ἀθανάτων] De his vid. Herodot. L. VII. ſ. 83.

9) τὸ ὑπὸ Ὁμήρου προθεσπ.] Suidas v. Πουλυδ. excitat locum Homeri Il. η. v. 407. de Hectore: δαιμόνιε, φθίσει σε τὸ σὸν μένος.

10) τῶν φρονησάντων ἐπὶ ἰσχ.] Plenius τῶν μέγα φρον. ἐπὶ ἰσχ. Suidas

καὶ Πουλυδάμαντα ἐπιλήψεσθαι, καὶ ὑπὸ τῆς αὐτοῦ ῥώμης ἔμελλεν ἀπολεῖσθαι καὶ οὗτος. εἰς σπήλαιον γὰρ οἵ τε ἄλλοι τῶν συμποτῶν καὶ ὁ Πουλυδάμας ἐσῆλθεν ὥρᾳ θέρους. καί πως οὐ κατά τινα ἀγαθὸν δαίμονα ἡ κορυφὴ τηνικαῦτα τοῦ σπηλαίου κατερ-ρήγνυτο, καὶ δῆλα ἦν ὡς αὐτίκα ἐμπεσεῖσθαι καὶ χρόνον οὐκ ἐπὶ πολὺν ἔμελλεν ἀνθέξειν. γενομένης δὲ αἰσθήσεως τοῦ ἐπιόντος κακοῦ, καὶ τρεπομένων ἐς φυγὴν τῶν λοιπῶν, παρέστη καταμεῖναι τῷ Πουλυ-δάμαντι, καὶ ἀνέσχε τὰς χεῖρας ὡς ἐπιπίπτοντι ἀνθ-έξων τῷ σπηλαίῳ, καὶ οὐ βιασθησόμενος ὑπὸ τοῦ ὄρους. τούτῳ μὲν ἐνταῦθα ἐγένετο ἡ τελευτή.

## CAPUT VI.

Continuatur recensio signorum athletarum Olympiae positorum — de Euthymo pugili — Herois daemonis cultu Temessae instituto, eoque ab Euthymo superato — pictura huc pertinente.

Ἐν δὲ Ὀλυμπίᾳ παρὰ τοῦ Πουλυδάμαντος τὸν ἀν-δριάντα, δύο τε ἐκ τῆς Ἀρκάδων, καὶ Ἀττικὸς ὁ τρίτος ἕστηκεν ἀθλητής. τὸν μὲν δὴ Μαντινέα Πρω-τόλαον Διαλκοῦς, πυγμῇ παῖδας κρατήσαντα, ὁ Ῥηγῖνος Πυθαγόρας· Ναρυκίδαν[1]) δὲ τὸν Δαμαρέτου παλαιστὴν ἄνδρα ἐκ Φιγαλίας, Σικυώνιος Δαίδαλος· Καλλίᾳ δὲ Ἀθηναίῳ παγκρατιαστῇ τὸν ἀνδριάντα ἀνὴρ Ἀθηναῖος Μίκων ἐποίησεν ὁ ζωγράφος. Νικο-δάμου

Suidas l. c. addit μέγα. Conf. not. 7. ad L. I. C. 12. Hanc Polydamantis mortis rationem praeter Suidam memorat quoque Valer. Max. L. IX. C. 12. ext. 10.

1) Ναρυκίδαν] Cod. Vind. Ναρκίδαν.

δάμου δὲ ἔργον τοῦ Μαιναλίου παγκρατιαστὴς ἐστιν ἐκ Μαινάλου δύο νίκας ἐν ἀνδράσιν ἀνελόμενος Ἀνδροσθένης Λοχαίου. Ἐπὶ δὲ τούτοις Εὐκλῆς ἀνάκειται Καλλιάνακτος, γένος μὲν Ῥόδιος, οἴκου δὲ τοῦ Διαγοριδῶν [2]) · Διαγόρου γὰρ θυγατρὸς παῖς ἦν· ἐν δὲ ἀνδράσι πυγμῆς ἔσχεν Ὀλυμπικὴν νίκην. τούτου μὲν δὴ ἡ εἰκὼν Ναυκύδους ἐστὶν ἔργον. Πολύκλειτος δὲ Ἀργεῖος, οὐχ ὁ τῆς Ἥρας τὸ ἄγαλμα ποιήσας, μαθητὴς δὲ Ναυκύδους, παλαιστὴν παῖδα εἰργάσατο Θηβαῖον Ἀγήνορα· ἀνετέθη δὲ ἡ εἰκὼν ὑπὸ τοῦ Φωκέων κοινοῦ. Θεόπομπος γὰρ ὁ πατὴρ τοῦ Ἀγήνορος πρόξενος τοῦ ἔθνους ἦν αὐτῶν. Νικόδαμος δὲ ὁ πλάστης ὁ ἐκ Μαινάλου Δαμοξενίδαν ἄνδρα πύκτην ἐποίησεν ἐκ Μαινάλου. Ἕστηκε δὲ καὶ Λαστρατίδα παιδὸς εἰκὼν Ἠλείου, πάλης ἀνελομένου στέφανον· ἐγένετο δὲ αὐτῷ καὶ Νεμείων ἔν τε παισὶ καὶ ἀγενείων ἑτέρα νίκη. Παραβάλλοντι δὲ τῷ Λαστρατίδα [3]) πατρὶ ὑπῆρξε μὲν διαύλου παρελθεῖν δρόμῳ· ὑπελείπετο δὲ καὶ ἐς τοὺς ἔπειτα φιλοτιμία, τῶν νικησάντων Ὀλυμπιάσι τὰ ὀνόματα ἀναγράψαι [4]) ἐν γυμνασίῳ τῷ ἐν Ὀλυμπίᾳ. τὰ μὲν δὴ
2 ἐς τούτους εἶχεν οὕτω. Τὰ δὲ ἐς Εὔθυμον τὸν πύκτην [5]), οὔ με εἰκὸς ὑπερβαίνειν ἦν τὰ ἐς τὰς νίκας αὐτῷ

2) οἴκου δὲ τοῦ Διαγοριδῶν] De his vid. Cap. 7. ab init., coll. L. IV. C. 24.

3) Λαστρατίδα] Ex utroque Codice reposui pro vulgata Λαστρατίδου.

4) ὑπελείπετο—φιλοτιμία, — ἀναγράψαι etc.] Cod. Vindob. recte, si quid sentio, dat ἀναγράψας. Inde locum sic constituendum censeo: ὑπελείπετο (sc. παραβάλλων) — φιλοτιμίαν — ἀναγράψας.

5) Εὔθυμον τὸν πύκτην] Conf. de eo Suidas v. Εὔθυμος, qui Pausaniam exscripsit, et Aelian. Var. Hist. L. VIII. C. 18. ibique not.

αὐτῷ καὶ τὰ ἐς δόξαν ὑπάρχοντα τὴν ἄλλην. γένος μὲν δὴ ἦν ὁ Εὔθυμος ἐκ τῶν ἐν Ἰταλίᾳ Λοκρῶν, οἳ χώραν τὴν πρὸς τῷ Ζεφυρίῳ τῇ ἄκρᾳ νέμονται 6), πατρὸς δὲ ἐκαλεῖτο Ἀστυκλέους· εἶναι δὲ αὐτὸν οὐ τούτου, ποταμοῦ δὲ οἱ ἐπιχώριοι τοῦ Καικίνου 7) φασὶν, ὃς τὴν Λοκρίδα καὶ Ῥηγίνην ὁρίζων τὸ ἐς τοὺς τέττιγας παρέχεται θαῦμα. οἱ μὲν γὰρ τέττιγες οἱ ἐντὸς τῆς Λοκρίδος ἄχρι τοῦ Καικίνου κατὰ τὰ αὐτὰ τοῖς ἄλλοις τέττιξιν ᾄδουσι· διαβάντων δὲ τὸν Καικίνην οὐδεμίαν ἔτι οἱ ἐν τῇ Ῥηγίνῃ τέττιγες ἀφιᾶσι τὴν φωνήν. τούτου μὲν δὴ παῖδα εἶναι λέγεται τὸν Εὔθυμον. ἀνελομένῳ δέ οἱ πυγμῆς ἐν Ὀλυμπίᾳ νίκην τετάρτῃ πρὸς ταῖς ἑβδομήκοντα ὀλυμπιάδι, οὐ κατὰ τὰ αὐτὰ ἐς τὴν ἐπιοῦσαν ὀλυμπιάδα ἔμελλε χωρήσειν. Θεαγένης γὰρ ὁ Θάσιος ὀλυμπιάδι ἐθέλων τῇ αὐτῇ πυγμῆς τε ἀνελέσθαι καὶ παγκρατίου νίκας, ὑπερεβάλλετο πυκτεύων τὸν Εὔθυμον. οὐ μὴν οὐδὲ ὁ Θεαγένης ἐπὶ τῷ παγκρατίῳ λαβεῖν ἐδυνήθη τὸν κότινον, ἅτε προκατεργασθεὶς τῇ μάχῃ πρὸς τὸν Εὔθυμον. ἐπὶ τούτῳ δὲ ἐπιβάλλουσιν οἱ Ἑλλανοδίκαι τῷ Θεαγένει τάλαντον μὲν ἱερὰν ἐς τὸν θεὸν ζημίαν, τάλαντον δὲ βλάβης τῆς ἐς Εὔθυμον, ὅτι ἐπηρείᾳ τῇ ἐς ἐκεῖνον ἐδόκει σφίσιν ἐπανελέσθαι τὸ ἀγώνισμα τῆς πυγμῆς· τούτων εἵνεκα καταδικάζουσιν αὐτὸν ἐκτίσαι καὶ ἰδίᾳ τῷ Εὐθύμῳ χρήματα. ἕκτῃ δὲ ὀλυμπιάδι ἐπὶ ταῖς ἑβδομήκοντα, τὸ μὲν τῷ θεῷ τοῦ ἀργυρίου γιγνόμενον ἐξέτισεν ὁ Θεαγένης,



6) Λοκρῶν, οἳ — νέμονται] Locri Ἐπιζεφύριοι dicti, de quibus vid. Strab. L. VI. p. 397.

7) τοῦ Καικίνου] In quo fluvio periiſſe dicebatur, uti Aelian. refert Var. Hiſt. L. VIII. C. 18., ubi vid. Periz.

γένης, καὶ ἀμειβόμενος αὐτὸν [8]) οὐκ ἐσῆλθεν ἐπὶ τὴν
πυγμήν· καὶ ἐπ' ἐκείνης τε αὐτῆς καὶ ἐπὶ τῆς μετ'
ἐκείνην ὀλυμπιάδος τὸν ἐπὶ πυγμῇ σέφανον ἀνείλετο
ὁ Εὔθυμος. ὁ δέ οἱ ἀνδριὰς τέχνη τέ ἐστιν Πυθαγό-
3 ρου, καὶ θέας ἐς τὰ μάλιστα ἄξιος. Ἐπανήκων δὲ
ἐς Ἰταλίαν, τότε δὴ ἐμαχέσατο πρὸς τὸν Ἥρω [9]).
τὰ δὲ ἐς αὐτὸν εἶχεν οὕτως. Ὀδυσσέα πλανώμενον
μετὰ ἅλωσιν τὴν Ἰλίου, κατενεχθῆναί φασιν ὑπὸ
ἀνέμων ἔς τε ἄλλας τῶν ἐν Ἰταλίᾳ καὶ Σικελίᾳ
πόλεων, ἀφικέσθαι δὲ καὶ ἐς Τεμέσσαν [10]) ὁμοῦ
ταῖς ναυσί· μεθυσθέντα οὖν ἐνταῦθα ἕνα τῶν ναυ-
τῶν παρθένον βιάσασθαι, καὶ ὑπὸ τῶν ἐπιχωρίων
ἀντὶ τούτου καταλευσθῆναι τοῦ ἀδικήματος· Ὀδυσ-
σέα μὲν δὴ ἐν οὐδενὶ λόγῳ θέμενον αὐτοῦ τὴν ἀπώ-
λειαν, ἀποπλέοντα οἴχεσθαι· τοῦ καταλευσθέντος
δὲ ἀνθρώπου τὸν δαίμονα οὐδένα ἀνιέναι καιρὸν
ἀποκτείνοντά τε ὁμοίως τοὺς ἐν τῇ Τεμέσσῃ καὶ
ἐπεξερχόμενον ἐπὶ πᾶσαν ἡλικίαν· ἐς ὃ ἡ Πυθία
τοπαράπαν ἐξ Ἰταλίας ὡρμημένους φεύγειν, Τεμέσ-
σην μὲν ἐκλιπεῖν οὐκ εἴα [11]), τὸν δὲ Ἥρω σφᾶς ἐκέλευσεν
ἱλάσκεσθαι, τέμενός τε ἀποτεμομένους οἰκοδομή-
σασθαι νεὼν, διδόναι δὲ κατὰ ἔτος αὐτῷ γυναῖκα
τῶν

8) καὶ ἀμειβόμενος αὐτὸν] Recte *Sylb.* haec ita interpretatur: *et ut remuneraretur eum* (scil. Euthymum, cui talentum pendere jussus erat), *non descendit in pugilatum.*

9) τότε δὴ ἐμαχέσατο πρὸς τὸν Ἥρω etc.] Haec memorant quoque Strab. L. VI. p. 392. et 393., Suid. v. Εὔθυμος et Aelian. Var. Hist. L. VIII. C. 18., qui illum Heroëm appellant τὸν ἐν Τεμέσῃ Ἥρωα, et Suidas τὸν ἐν Τεμέσῃ Ἥρωα Ἀλύβαντα. Straboni l. c. illud daemonis templum dicitur Ἡρῷον Πολίτου τῶν Ὀδυσσέως ἑταίρων etc.

10) Τεμέσσαν] In scriptoribus modo laudatis constanter legitur Τεμέση.

11) οὐκ εἴα] In utroque Codice male desunt.

τῶν ἐν Τεμέσσῃ παρθένων τὴν καλλίστην. τοῖς μὲν δὴ τὰ ὑπὸ τοῦ θεοῦ προστεταγμένα ὑπουργοῦσι, δεῖμα ἀπὸ τούτου τοῦ δαίμονος [12]) ἐς τὰ ἄλλα ἦν οὐδέν. Εὔθυμος δὲ (ἀφίκετο γὰρ ἐς τὴν Τεμέσσαν, καί πως τηνικαῦτα τὸ ἔθος ἐποιεῖτο τῷ δαίμονι) πυνθάνεται τὰ παρόντα σφίσιν, καὶ ἐσελθεῖν τε ἐπεθύμησεν ἐς τὸν ναὸν, καὶ τὴν παρθένον ἐσελθὼν θεάσασθαι. ὡς δὲ εἶδε, τὰ μὲν πρῶτα ἐς οἶκτον, δεύτερα δὲ ἀφίκετο καὶ ἐς ἔρωτα αὐτῆς. καὶ ἡ παῖς τε συνοικήσειν κατώμνυτο αὐτῷ σώσαντι αὐτὴν, καὶ ὁ Εὔθυμος ἐνεσκευασμένος ἔμενε τὴν ἔφοδον τοῦ δαίμονος· ἐνίκα τε δὴ τῇ μάχῃ, καὶ ἐξηλαύνετο γὰρ ἐκ τῆς γῆς ὁ Ἥρως, ἀφανίζεταί τε καταδὺς ἐς θάλασσαν. καὶ γάμος τε ἐπιφανὴς Εὐθύμῳ καὶ ἀνθρώποις τοῖς ἐνταῦθα ἐλευθερία τοῦ λοιποῦ σφίσιν ἦν ἀπὸ τοῦ δαίμονος. ἤκουσα δὲ καὶ τοιόνδε ἔτι ἐς τὸν Εὔθυμον, ὡς γήρως τε ἐπὶ μακρότατον ἀφίκοιτο, καὶ ὡς ἀποθανεῖν ἐκφυγὼν, αὖθις ἕτερόν τινα ἐξ ἀνθρώπων [ἄλλον] ἀπέλθοι τρόπον [13]). οἰκεῖσθαι δὲ τὴν Τεμέσσαν καὶ ἐς ἐμὲ ἀνδρὸς ἤκουσα πλεύσαντος
κατὰ ἐμπορίαν. Τόδε μὲν ἤκουσα, γραφῇ δὲ τοιᾷδε 4
ἐπιτυχὼν οἶδα. ἦν δὲ αὕτη γραφῆς μίμημα ἀρχαίας. Νεανίσκος Σύβαρις [14]), καὶ Κάλαβρός τε ποταμὸς,



12) τούτου τοῦ δαιμ.] Restitui τούτου ex utroque Codice.

13) αὖθις — [ἄλλον] ἀπέλθοι τρόπον] ἄλλον glossema vocis ἕτερον esse, dubium non est; quare uncinis notavi. Fluvium autem Caecinum subiisse et sic e conspectu abiisse Euthymus perhibebatur, uti Aelian. refert l. paullo ante cit. In Plinii Hist. Nat. L. VII. C. 47. illum vivum consecratum esse legimus.

14) Σύβαρις] Monstri hujus nominis historiam iis, quae de Heroë Temessensi narrantur, non prorsus dissimilem habet Antonin. Liber. Metamorph. C. VIII.

Καλύκα πηγὴ, πρὸς δὲ Ἥρα τε καὶ Τεμέσσα ἦν ἡ πόλις, ἐν δέ σφισι καὶ δαίμων, ὄντινα ἐξέβαλεν ὁ Εὔθυμος, χρόαν δὲ δεινῶς μέλας, καὶ τὸ εἶδος ἅπαν ἐς τὰ μάλιστα φοβερὸς, λύκου δὲ ἀμπίσχετο δέρμα ἐσθῆτα· ἐτίθετο δὲ καὶ ὄνομα Λύβαντα ἐπὶ [15]) τῇ γραφῇ γράμματα. ταῦτα μὲν δὴ ἐς τοσοῦτον εἰρήσθω.

## CAPUT VII.

Statua Diagorae et Diagoridarum — de Dorieo ejusque morte — porro recensentur athletarum signa Olympiae posita.

Μετὰ δὲ τὸν ἀνδριάντα τοῦ Εὐθύμου, Πύθαρχός τε ἕστηκε Μαντινεὺς σταδιοδρόμος, καὶ πύκτης Ἠλεῖος Χαρμίδης [1]), λαβόντες νίκας ἐπὶ παισί [2]). Θεασάμενος δὲ καὶ τούτους, ἐπὶ τῶν Ῥοδίων ἀθλητῶν ἀφίξῃ τὰς εἰκόνας, Διαγόραν [3]) καὶ τὸ ἐκείνου γένος. οἱ δὲ συνεχεῖς τε ἀλλήλοις καὶ ἐν κόσμῳ τοιῷδε ἀνέκειντο· Ἀκουσίλαος μὲν λαβὼν πυγμῆς ἐν ἀνδράσι στέφανον, Δωριεὺς δὲ ὁ νεώτατος παγκρατίῳ νικήσας ὀλυμπιάσιν ἐφεξῆς τρισί. πρότερον δ' ἔτι [4]) τοῦ Δωριέως ἐκρά-

15) Λύβαντα ἐπὶ etc.] Suidas l. c. exhibet Ἀλύβαντα. Bene autem *Kuhn.* hic emendat: Λύβαντα τὰ ἐπί etc. Equidem mallem Λύβαν τὰ ἐπί etc. Inter nomina propria enim a Suida refertur Λύβας.

1) Χαρμίδης] Cod. Vindob. Χαλμίδης.

2) ἐπὶ παισί] Ex utroque Codice et Amasaei interpretatione reddidi παισὶ pro vulgata πᾶσι.

3) Διαγόραν etc.] Ejus laudes celebrat Pindar. Ol. Od. VII., ubi vid. Schol. Conf. *Schneideri* V. C. Pind. Fragm. p. 3.

4) πρότερον δ' ἔτι] Rescripsi δ' ἔτι pro vulgatis δὲ ἐπὶ, *Kuhnio* et re ipsa monente.

ἐκράτησε καὶ Δαμάγητος τοὺς ἐσελθόντας ἐς τὸ
παγκράτιον· οὗτοι μὲν ἀδελφοί τε εἰσὶ καὶ Διαγόρου
παῖδες. ἐπὶ δὲ αὐτοῖς κεῖται καὶ ὁ Διαγόρας,
πυγμῆς ἐν ἀνδράσιν ἀνελόμενος νίκην· τοῦ Διαγόρου
δὲ τὴν εἰκόνα Μεγαρεὺς εἰργάσατο Καλλικλῆς ὁ
Θεοκόσμου τοῦ ποιήσαντος τὸ ἄγαλμα ἐν Μεγάροις
τοῦ Διός[5]). Διαγόρου δὲ καὶ οἱ τῶν θυγατέρων
παῖδες πύξ τε ἤσκησαν, καὶ ἔσχον Ὀλυμπιακὰς
νίκας· ἐν μὲν ἀνδράσιν Εὐκλῆς, Καλλιάνακτός τε ὢν
καὶ Καλλιπατείρας τῆς Διαγόρου, Πεισίδωρος[6]) δὲ
ἐν παισὶν, ὃν ἡ μήτηρ ἀνδρὸς ἐπιθεμένη γυμναστοῦ
σχῆμα ἐπὶ τῶν Ὀλυμπίων αὐτὴ τὸν ἀγῶνα ἤσκησεν.
οὗτος δὲ ὁ Πεισίδωρος καὶ ἐν τῇ Ἄλτει παρὰ τῆς μη-
τρὸς τὸν πατέρα ἕστηκε. Διαγόραν δὲ καὶ ὁμοῦ τοῖς
παισὶν Ἀκουσιλάῳ καὶ Δαμαγήτῳ λέγουσιν ἐς
Ὀλυμπίαν ἐλθεῖν. νικήσαντες δὲ οἱ νεανίσκοι διὰ
τῆς πανηγύρεως τὸν πατέρα ἔφερον, βαλλόμενόν τε
ὑπὸ τῶν Ἑλλήνων ἄνθεσι καὶ εὐδαίμονα ἐπὶ τοῖς
παισὶ καλούμενον. γένος δὲ ὁ Διαγόρας[7]) τὸ ἐξ ἀρχῆς
Μεσσήνιος πρὸς γυναικῶν ἦν, καὶ ἀπὸ τῆς Ἀριστομέ-
νους ἐγεγόνει θυγατρός. Δωριεῖ δὲ τῷ Διαγόρου 2
παρεξῆς Ὀλυμπιάσιν[8]), Ἰσθμίων μὲν γεγόνασιν
ὀκτὼ νῖκαι, Νεμείων δὲ ἀποδέουσαι μιᾶς ἐς τὰς
ὀκτώ· λέγοιτο[9]) δὲ καὶ ὡς Πύθια ἀνέλοιτο ἀκονιτί.



5) ὁ Θεοκόσμου τ. ποιήσ. — Διός] In utroque Codice ὁ abest. De Jovis signo Megar. vid. L. I. C. 40. Mox pro Διαγόρου δὲ uterque Cod. Διαγόρας δέ.

6) Καλλιπατείρας τ. Δ., Πεισίδωρος etc.] Uterque Cod. Καλλιπατέρας. Ad rem ipsam vide supra L. V. C. 6.

7) γένος δὲ ὁ Διαγόρας etc.] Vid. supra L. IV. C. 24.

8) παρεξῆς Ὀλυμπιάσιν] *deinceps post Olympicas victorias.*

9) λέγοιτο] Recte *Sylb.* suspicatur,

ἀνηγορεύοντο δὲ οὗτός τε καὶ ὁ Πεισίδωρος Θούριοι, διωχθέντες ὑπὸ τῶν ἀντιςασιωτῶν ἐκ τῆς Ῥόδου, καὶ ἐς Ἰταλίαν παρὰ Θουρίους ἀπελθόντες. χρόνῳ δὲ ὕςερον κατῆλθεν ὁ Δωριεὺς ἐς Ῥόδον· καὶ Φανερώτατα δὴ ἁπάντων ἀνὴρ εἷς Φρονήσας οὗτος τὰ Λακεδαιμονίων Φαίνεται, ὥςτε καὶ ἐναυμάχησεν ἐναντία Ἀθηναίων ναυσὶν οἰκείαις· ἐς ὃ τριήρων ἁλοὺς[10]) Ἀττικῶν ἀνήχθη ζῶν παρὰ Ἀθηναίους. οἱ δὲ Ἀθηναῖοι πρὶν μὲν ἢ Δωριέα παρὰ σφᾶς ἀναχθῆναι, θυμῷ τε ἐς αὐτὸν καὶ ἀπειλαῖς ἐχρῶντο· ὡς δὲ ἐς ἐκκλησίαν συνελθόντες ἄνδρα οὕτω μέγαν καὶ δόξης ἐς τοσοῦτον ἥκοντα ἐθεάσαντο ἐν σχήματι αἰχμαλώτου, μεταπίπτει σφίσιν ἐς αὐτὸν ἡ γνώμη, καὶ ἀπελθεῖν ἀφιᾶσιν, οὐδὲ ἔργον οὐδὲν ἄχαρι ἐργάζονται, παρὸν σφισι πολλά τε καὶ σὺν τῷ δικαίῳ δρᾶσαι. Τὰ δὲ ἐς τοῦ Δωριέως τὴν τελευτὴν, ἔςιν ἐν τῇ συγγραφῇ τῇ Ἀτθίδι Ἀνδροτίωνι[11]) εἰρημένα· εἶναι μὲν τηνικαῦτα ἐν Καύνῳ τὸ βασιλέως ναυτικὸν, καὶ Κόνωνα ἐπ᾽ αὐτῷ ςρατηγὸν, Ῥοδίων τε τὸν δῆμον πεισθέντα ὑπὸ τοῦ Κόνωνος, ἀπὸ Λακεδαιμονίων μεταβαλέσθαι σφᾶς ἐς τὴν βασιλέως καὶ Ἀθηναίων συμμαχίαν. Δωριέα δὲ ἀποδημεῖν μὲν τότε ἐκ Ῥόδου περὶ τὰ ἐκτὸς

spicatur, scribendum esse ἐλέγετο vel λέγεται. Nam optativus hic prorsus alieno loco est.

10) τριήρων ἁλοὺς] *Kuhn.* ὑπὸ ante τριήρ. excidisse putat. At ferri posse genitivum sine praepositione, exempla constructionis vocis ἁλῶναι docent.

11) ἐν τῇ συγγραφῇ τῇ Ἀτθ. Ἀνδροτίωνι] Ejusdem *Androtionis historia Attica* quoque memoratur L. X. C. 8. init., nec non a Polluce L. VIII. ſ. 121. et a Stephano Byzant. aliquoties. Vid. de eo Voss. de Historic. Graec. Plures Ἀτθίδα seu rerum Atticarum historiam composuisse, Casaub. docet ad Strab. L. V. p. 339. not. 2.

ἐκτὸς Πελοποννήσου χωρία· συλληφθέντα δὲ ὑπὸ ἀνδρῶν Λακεδαιμονίων αὐτὸν, καὶ ἀναχθέντα ἐς Σπάρτην, ἀδικεῖν τε ὑπὸ Λακεδαιμονίων καταγνωσθῆναι, καὶ ἐπιβληθῆναί οἱ θάνατον ζημίαν. εἰ δὲ τὸν ὄντα εἶπεν Ἀνδροτίων λόγον, ἐθέλειν μοι φαίνεται Λακεδαιμονίους ἐς τὸ ἴσον ἔτι Ἀθηναίοις καταστῆσαι· ὅτι καὶ Ἀθηναίοις ἐς Θράσυλλον καὶ τοὺς ἐν Ἀργινούσαις ὁμοῦ τῷ Θρασύλλῳ στρατηγήσαντας, προπετείας ἐστὶν ἔγκλημα [12]). Διαγόρας μὲν δὴ καὶ τὸ ἀπ᾽ αὐτοῦ γένος δόξης ἐς τοσοῦτο ἀφίκοντο.

Ἐγένοντο δὲ καὶ Ἀλκαινέτῳ τῷ Θεάντου Λε- 3
πρεάτῃ καὶ αὐτῷ καὶ τοῖς παισὶν Ὀλυμπικαὶ νῖκαι. αὐτὸς μέν γε πυκτεύων ὁ Ἀλκαίνετος ἔν τε ἀνδράσι καὶ πρότερον ἔτι ἐπεκράτησεν ἐν παισίν· Ἑλλάνικον δὲ τὸν Ἀλκαινέτου καὶ Θέαντον ἐπὶ πυγμῇ παίδων ἀναγορευθῆναι τὸν μὲν ἐνάτῃ πρὸς ταῖς ὀγδοήκοντα ὀλυμπιάδι, τὸν δὲ τῇ ἐφεξῆς ταύτῃ συνέβη τὸν Θέαντον· καί σφισιν ἀνδριάντες ἅπασιν ἐν Ὀλυμπίᾳ κεῖνται. Ἐπὶ δὲ τοῦ Ἀλκαινέτου τοῖς υἱοῖς, Γνάθων τε Διπαιεὺς [13]) τῆς Μαιναλέων χώρας καὶ Λυκῖνος ἔστηκεν Ἠλεῖος· κρατῆσαι δὲ ὀλυμπιάδι πυγμῇ παῖδας ὑπῆρξε καὶ τούτοις. Γνάθωνα δὲ καὶ ἐς τὰ μάλιστα, ὅτε ἐνίκησεν, εἶναι νέον, τὸ ἐπίγραμμα τὸ ἐπ᾽ αὐτῷ φησί. Καλλικλέους δὲ τοῦ Μεγαρέως ποίημα ὁ ἀνδριάς ἐστιν. Ἀνὴρ δὲ ἐκ Στυμφήλου Δρομεὺς ὄνομα, καὶ δὴ καὶ ἔργον τοῦτο ἐπὶ δολιχῷ παρεσχημένος, δύο



12) ὅτι καὶ Ἀθηναίοις — ἔγκλημα] De his vide Diodor. L. XIII. ſ. 97. — 103. et Xenoph. Hiſt. Gr. L. I. C. 20.

13) Διπαιεὺς] Sic pro vulgato Διπεὺς reſcripſi ex Pauſania L. III. C. 11. οἱ δὲ Διπαιεῖς ἐν τῇ Μαιναλίᾳ πόλισμα Ἀρκάδων ἦσαν, et L. VIII. C. 8. atque ex Stephano Byzant. v. Δίπαια.

μὲν ἔσχεν ἐν Ὀλυμπίᾳ νίκας, τοσαύτας δὲ ἄλλας Πυθοῖ, καὶ Ἰσθμίων τε τρεῖς, καὶ ἐν Νεμέᾳ πέντε. λέγεται δὲ, ὡς καὶ κρέας ἐσθίειν ἐπινοήσειε· τέως δὲ τοῖς ἀθληταῖς σιτία τυρὸν[14]) ἐκ τῶν ταλάρων εἶναι. τούτου μὲν δὴ Πυθαγόρας τὴν εἰκόνα, τὴν δὲ ἐφεξῆς ταύτῃ πένταθλον Ἠλεῖον Πυθοκλέα Πολύκλειτός ἐστιν εἰργασμένος.

## CAPUT VIII.

Athletarum ſigna Olympiae poſita porro enumerantur — de Damarchi transmutatione in lupum narratio — de Timanthe ejusque vitae exitu — Timaſithei rebus geſtis et morte.

Σωκράτους δὲ Πελληνέως δρόμου νίκην ἐν παισὶν εἰληφότος, καὶ Ἠλείου Ἀμέρτου καταπαλαίσαντος ἐν Ὀλυμπίᾳ παῖδας, καταπαλαίσαντος δὲ καὶ Πυθοῖ τοὺς ἐλθόντας τῶν ἀνδρῶν, τοῦ μὲν τὸν ποιήσαντα τὴν εἰκόνα οὐ λέγουσι· τὴν δὲ τοῦ Ἀμέρτου, Φράδμων ἐποίησεν Ἀργεῖος. Εὐανορίδᾳ δὲ Ἠλείῳ πάλης ἐν παισὶν ὑπῆρξεν ἔν τε Ὀλυμπίᾳ καὶ Νεμέᾳ νίκη[1]). γενόμενος δὲ Ἑλλανοδίκης, ἔγραψε καὶ
2 οὗτος τὰ ὀνόματα ἐν Ὀλυμπίᾳ τῶν νενικηκότων. Ἐς δὲ πύκτην ἄνδρα, γένος μὲν Ἀρκάδα ἐκ Παῤῥασίων, Δάμαρχον δὲ ὄνομα, οὔ μοι πιστὰ ἦν, πέρα γε τῆς ἐν Ὀλυμπίᾳ νίκης, ὁπόσα ἄλλα[2]) ἀνδρῶν ἀλαζόνων ἐστὶν εἰρημένα, ὡς ἐξ ἀνθρώπου μεταβάλλοι τὸ εἶδος ἐς

14) σιτία τυρὸν] Cod. Vindob. τὰ σιτία, et uterque Cod. τυρῶν. Malc.

1) καὶ Νεμέᾳ νίκη] Uterque Codex καὶ Νεμίων νίκη.

2) ὁπόσα ἄλλα] Uterque Codex male exhibet ὁπόσα ἄλλων,

ἐς λύκον ἐπὶ τῇ θυσίᾳ τοῦ Λυκαίου Διὸς, καὶ ὡς ὕϛερον τούτων ἔτει δεκάτῳ γένοιτο αὖθις ἄνθρωπος. οὐ μὴν οὐδὲ ὑπὸ τῶν Ἀρκάδων λέγεσθαί μοι τοῦτο ἐφαίνετο ἐς αὐτόν· ἐλέγετο γὰρ ἂν καὶ ὑπὸ τοῦ ἐπιγράμματος τοῦ ἐν Ὀλυμπίᾳ. ἔχει γὰρ δὴ οὕτως·

Υἱὸς Δινύττα [3]) Δάμαρχος τήνδ' ἀνέθηκεν
Εἰκόν', ἀπ' Ἀρκαδίας Παῤῥάσιος γενεάν.

τοῦτο μὲν δὴ ἐς τοσοῦτο πεποίηται. Εὐβώτας [4]) δὲ ὁ Κυρηναῖος, ἅτε τὴν ἐσομένην οἱ δρόμου νίκην ἐν Ὀλυμπίᾳ παρὰ τοῦ μαντείου τοῦ ἐν Λιβύῃ προπεπυσμένος, τήν τε εἰκόνα ἐπεποίητο πρότερον, καὶ ἐπὶ ἡμέρας τῆς αὐτῆς ἀνηγορεύθη τε νικήσας καὶ ἀνέθηκε τὴν εἰκόνα. λέγεται δὲ καὶ ὡς κρατήσειε καὶ ἅρματι ἐπὶ ὀλυμπιάδος ταύτης, ἣ [5]) λόγῳ τῷ Ἠλείων ἐϛὶ κίβδηλος τῶν ἀγωνοθετησάντων Ἀρκάδων εἵνεκα. Κλεωναίῳ δὲ Τιμάνθει παγκρατίου λαβόντι ἐν ἀν- 3
δράσι ϛέφανον, καὶ Τροιζηνίῳ Βάκιδι [6]) παλαιϛὰς καταβαλόντι ἄνδρας, τῷ μὲν τοῦ Ἀθηναίου Μύρωνος, Βάκιδι δὲ Ναυκύδους ἐϛὶν ὁ ἀνδριὰς ἔργον. τῷ δὲ Τιμάνθει τὸ τέλος τοῦ βίου συμβῆναί φασιν ἐπὶ αἰτίᾳ τοιᾷδε· πεπαῦσθαι μὲν αὐτὸν [7]) ἀθλοῦντα, ἀποπειρᾶσθαι δὲ ὅμως ἔτι τῆς ἰσχύος, τόξον μέγα ἐπὶ ἑκάϛης τείνοντα τῆς ἡμέρας· ἀποδημῆσαί τε δὴ αὐτὸν, καὶ ἐπὶ τῷ τόξῳ τηνικαῦτα ἐκλειφθῆναί οἱ

τὴν

3) Δινύττα] In utroque Cod. legitur Δινύτα.

4) Εὐβώτας] In Diodor. Sic. L. XIII. ſ. 68. legitur Εὔβατος Κυρ., qui vicit olymp. 93., ubi vid. Weſſeling. Conf. Perizon. ad Aelian. V. H. L. X. C. 2.

5) ἐπὶ ὀλυμπιάδος ταύτης, ἣ etc.] Olympias CIV. illa eſſe videtur, de qua vide ſupra C. 4. not. 2. et infra C. 22.

6) Βάκιδι] Uterque Cod. hic et paullo infra exhibet Βαύκιδι et Βαύκιδα.

7) αὐτὸν] Hanc vocem uterque Codex poſt ὅμως exhibet.

τὴν μελέτην. ὡς δὲ ἐπανήκων οὐχ οἷός τε ἔτι τεῖναι τὸ τόξον ἐγένετο, πῦρ ἀνακαύσας ἀφίησι ζῶντα ἐς τὴν πυρὰν αὐτόν. ὁπόσα δὲ ἤδη τοιαῦτα ἐγένετο[8]) ἐν ἀνθρώποις, ἢ καὶ ὕστερόν ποτε ἔσται, μανία μᾶλλον ἢ ἀνδρεία νομίζοιτο ἂν κατά γε ἐμὴν γνώμην. Μετὰ δὲ τὸν Βάκιδά εἰσιν ἀθλητῶν Ἀρκάδων εἰκόνες· Εὐθυμένης τε ἐξ αὐτῆς Μαινάλου, νίκας τὴν μὲν ἀνδρῶν πάλης, τὴν δὲ ἔτι[9]) πρότερον ἐν παισὶν εἰληφώς· καὶ Ἀζὰν ἐκ Πελλάνας[10]) Φίλιππος κρατήσας πυγμῇ παῖδας, καὶ Κριτόδαμος ἐκ Κλείτορος, ἐπὶ πυγμῇ καὶ οὗτος ἀναγορευθεὶς παίδων. τὰς δέ σφισιν εἰκόνας, τὴν μὲν ἐν παισὶ τοῦ Εὐθυμένους Ἄλυπος, τὴν δὲ τοῦ Δαμοκρίτου[11]) Κλέων, Φιλίππου δὲ τοῦ Ἀζᾶνος Μύρων τὴν αὐτὴν εἰκόνα ἐποίησε. Τὰ δὲ ἐς Πρόμαχον τὸν Δρυῶνος παγκρατιαστὴν Πελληνέα προσέσται μοι καὶ ταῦτα τῷ ἐς Ἀχαιοὺς
4 λόγῳ[12]). Προμάχου δὲ οὐ πόῤῥω, Τιμασίθεος ἀνάκειται γένος Δελφὸς, Ἀγελάδα μὲν ἔργον τοῦ Ἀργείου, παγκρατίου δὲ δύο μὲν ἐν Ὀλυμπίᾳ νίκας, τρεῖς δὲ ἀνῃρημένος Πυθοῖ. καὶ αὐτῷ καὶ ἐν πολέμοις ἐστὶν ἔργα τῇ τε τόλμῃ λαμπρὰ, καὶ οὐκ ἀποδέοντα τῇ εὐτυχίᾳ, πλήν γε δὴ τοῦ τελευταίου· τοῦτο[13]) δὲ αὐτῷ θάνατον τὸ ἐγχείρημα ἤνεγκεν. Ἰσα-

8) ἐγένετο] Cod. Mosc. dat ἐγίγνετο.

9) ἔτι] Ex utroque Codice hanc vocem reddidi.

10) Ἀζὰν ἐκ Πελλάνας] Rectius forte Παλλήνης scribitur; id quod Scholia docent ad Apollon. Rhod. L. I v. 177. Ἡ Ἀχαϊκὴ Πελλήνη διὰ τοῦ ε, ἡ δὲ ἑτέρα ἡ τῆς Ἀρκαδίας διὰ τοῦ α γράφεται Παλλήνη.

11) τοῦ Δαμοκρίτου] Vel hic Κριτοδάμου, vel paullo supra Δαμοκρίτου scribendum esse, facile patet.

12) τῷ ἐς Ἀχαιοὺς λόγῳ] Vide infra L. VII. C. 27.

13) τοῦτο] Sic scripsi pro vulgata τούτῳ, Sylburgio monente

Ἰσαγόρα γὰρ [14]) τῷ Ἀθηναίῳ τὴν ἀκρόπολιν τὴν Ἀθηναίων καταλαβόντι ἐπὶ τυραννίδι, μετασχὼν τοῦ ἔργου καὶ ὁ Τιμασίθεος (ἐγένετο γὰρ τῶν ἐγκαταλειφθέντων ἐν τῇ ἀκροπόλει) θάνατον ζημίαν εὕρετο τοῦ ἀδικήματος παρὰ Ἀθηναίων.

## CAPUT IX.

Theogneti aliorumque signa — de Gelone ejusque curru Olympiae posito — Cleomede et illis, quae ei acciderunt.

Θεογνήτῳ δὲ Αἰγινήτῃ πάλης μὲν στέφανον λαβεῖν ὑπῆρξεν ἐν παισί· τὸν δὲ ἀνδριάντα οἱ Πτόλιχος [1]) ἐποίησεν Αἰγινήτης. διδάσκαλοι δὲ ἐγεγόνεσαν Πτολίχῳ μὲν Συννόων ὁ πατὴρ, ἐκείνῳ δὲ Ἀριστοκλῆς Σικυώνιος, ἀδελφός τε Κανάχου, καὶ οὐ πολὺ τὰ ἐς δόξαν ἐλασσούμενος. ἐφ' ὅτῳ δὲ Θεόγνητος πίτυος τῆς ἡμέρου καὶ ῥοιᾶς φέρει καρπὸν, ἐμοὶ μὲν οὐχ οἷά τε ἦν συμβαλέσθαι· τάχα δ' ἂν Αἰγινήταις τισὶν ἐπιχώριος ἐς αὐτὰ εἴη λόγος. Μετὰ δὲ τὴν εἰκόνα τοῦ ἀνδρὸς, ὃν Ἠλεῖοί φασιν οὐ γραφῆναι μετὰ τῶν ἄλλων, ὅτι ἐπὶ κάλπης ἀνηγορεύθη δρόμῳ, μετὰ τούτου τὴν εἰκόνα Ξενοκλῆς τε Μαινάλιος ἕστηκε παλαιστὰς καταβαλὼν παῖδας· καὶ Ἄλκετος Ἀλκίνου κρατήσας πυγμῇ παῖδας, Ἀρκὰς καὶ οὗτος ἐκ Κλείτορος. καὶ τοῦ μὲν Κλέων, Ξενοκλέους δὲ τὸν ἀνδριάντα

nente et sententia illud exigente.

14) Ἰσαγόρᾳ γὰρ etc.] Vide supra L. III. C. 4.

1) Πτόλιχος] Pro vulgata Πόλιχος ita rescribere non dubitavi ex Codice Mosc. et ipso Pausania infra C. 10. in fine. Idem nomen artificis Corcyraei memoratur supra C. 3. Mox pro συμβαλέσθαι Cod. Mosc. exhibet συμβάλλεσθαι.

δριάντα Πολύκλειτός ἐστιν εἰργασμένος. Ἀριστεὺς δὲ
Ἀργεῖος, δολιχοῦ μὲν νίκην ἔσχεν αὐτὸς, πάλης δὲ
ὁ πατὴρ τοῦ Ἀριστέως Χείμων. ἑστήκασι μὲν δὴ ἐγγὺς
ἀλλήλων· ἐποίησε δὲ τὸν μὲν Παντίας Χῖος, παρὰ
τῷ πατρὶ δεδιδαγμένος Σωστράτῳ. αἱ δὲ εἰκόνες τοῦ
Χείμωνος ἔργον ἐστὶν (ἐμοὶ δοκεῖν) τῶν δοκιμωτάτων
Ναυκύδους, ἥ τε ἐν Ὀλυμπίᾳ καὶ ἡ ἐς τὸ ἱερὸν τῆς
Εἰρήνης τὸ ἐν Ῥώμῃ κομισθεῖσα ἐξ Ἄργους. λέγεται
δὲ, ὡς Ταυροσθένη[2]) καταπαλαίσειεν ὁ Χείμων τὸν
Αἰγινήτην, καὶ ὡς Ταυροσθένης τῇ ὀλυμπιάδι τῇ
ἐφεξῆς καταβάλοι τοὺς ἐσελθόντας ἐς τὴν πάλην,
καὶ ὡς ἐοικὸς Ταυροσθένει φάσμα ἐπ᾽ ἐκείνης τῆς
ἡμέρας ἐν Αἰγίνῃ φανὲν ἀπαγγείλειε τὴν νίκην. Φίλ-
λην[3]) δὲ Ἠλεῖον κρατήσαντα παῖδας πάλῃ Σπαρτιά-
2 της Κρατῖνος ἐποίησε. Τὰ δὲ ἐς τὸ ἅρμα τὸ Γέλωνος
οὐ κατὰ ταυτὰ δοξάζειν ἐμοί τε παρίστατο καὶ τοῖς
πρότερον ἢ ἐγὼ τὰ ἐς αὐτὸν[4]) εἰρηκόσιν, οἳ Γέλωνος
τοῦ ἐν Σικελίᾳ τυραννήσαντός φασιν ἀνάθημα εἶναι
τὸ ἅρμα. ἐπίγραμμα μὲν δή ἐστιν αὐτῷ, Γέλωνα
Δεινομένους ἀναθεῖναι Γελῷον· καὶ ὁ χρόνος τούτῳ
τῷ Γέλωνί ἐστι τῆς νίκης τρίτῃ πρὸς ταῖς ἑβδομήκοντα
ὀλυμπιάδι[5]). Γέλων δὲ ὁ Σικελίας τυραννήσας
Συρακούσας ἔσχεν, Ὑβριλίδου μὲν Ἀθήνῃσιν ἄρχον-
τος,

2) λέγεται δὲ, ὡς Ταυροσθέ-νη etc.] Haec de ſpectro et alia narratio legitur in Aelian. Var. Hiſt. L. IX. C. 2. Paullo infra pro ἐοικὸς in utroque Codice legitur εἰκός.

3) Φίλλην] Rectius forte eſſet Φίλυν. Nam Φίλυς Eleus memoratur infra C. 14.

4) ἐς αὐτὸν] Praefero lectionem Codicis Vindob. ἐς αὐτὸ, ſcil. ἅρμα.

5) τρίτῃ — ὀλυμπιάδι] *Sylb.* forte τρίτη — ὀλυμπιάσι legendum eſſe putat, ut constructio nominativo χρόνος reſpondeat. Sed vulgata non minus ferri poſſunt. Cod. Moſc. male dat ὀλυμπιάδας.

τος, δευτέρῳ δὲ ἔτει τῆς δευτέρας καὶ ἑβδομηκοστῆς ὀλυμπιάδος, ἣν Τισικράτης ἐνίκα Κροτωνιάτης στάδιον. δῆλα οὖν ὡς Συρακούσιον ἤδη, καὶ οὐ Γελῶον, ἀναγορεύειν αὐτὸν ἔμελλεν. ἀλλὰ γὰρ ἰδιώτης εἶναί τις ὁ Γέλων οὗτος, πατρός τε ὁμωνύμου τῷ τυράννῳ καὶ αὐτὸς ὁμώνυμος. Γλαυκίας δὲ Αἰγινήτης τό τε ἅρμα καὶ αὐτῷ τῷ Γέλωνι ἐποίησε τὴν εἰκόνα. Τῇ δὲ 3
ὀλυμπιάδι τῇ πρὸ ταύτης Κλεομήδη φασὶν Ἀστυπαλαιέα, ὡς Ἴκκῳ πυκτεύων ἀνδρὶ Ἐπιδαυρίῳ, τὸν Ἴκκον [6]) ἀποκτείνειεν ἐν τῇ μάχῃ, καταγνωσθεὶς δὲ ὑπὸ τῶν Ἑλλανοδικῶν ἄδικα εἰργάσθαι, καὶ ἀφῃρημένος τὴν νίκην, ἔκφρων ἐγένετο ὑπὸ τῆς λύπης· καὶ ἀνέστρεψε μὲν ἐς Ἀστυπαλαίαν, διδασκαλείῳ δ' ἐπιστὰς, ἐνταῦθα ὅσον ἑξήκοντα ἀριθμὸν παίδων [7]), ἀνατρέπει τὸν κίονα, ὃς τὸν ὄροφον ἀνεῖχεν. ἐμπεσόντος δὲ τοῦ ὀρόφου τοῖς παισὶ, καταλιθούμενος ὑπὸ τῶν ἀστῶν, κατέφυγεν ἐς Ἀθηνᾶς ἱερόν. ἐσβάντος δὲ ἐς κιβωτὸν κειμένην ἐν τῷ ἱερῷ, καὶ ἐφελκυσάμενος [8]) τὸ ἐπίθημα, κάματον ἐς ἀνωφελὲς οἱ Ἀστυπαλαιεῖς ἔκαμνον ἀνοίγειν τὴν κιβωτὸν πειρώμενοι. τέλος δὲ τὰ ξύλα τῆς κιβωτοῦ καταῤῥήξαντες, ὡς οὔτε ζῶντα Κλεομήδην οὔτε τεθνεῶτα εὕρισκον, ἀποστέλλουσιν ἄνδρας ἐς Δελφοὺς ἐρησομένους, ὁποῖα ἐς Κλεο-

6) τὸν Ἴκκον] Cod. Vind. male τὸν Ὄγκον, et Suidas, qui eadem de Cleomede refert, Κίκιον. Conf. de Icco Euſeb. Praepar. Evang. L. V. C. 34. et Aelian. Var. Hiſt. L. XI. C. 3.

7) παίδων] Cod Vind. perperam παῖδας. Forte παῖδες genuina lectio fuerit, quam et Suidas l. c. habet.

8) ἐσβάντος — καὶ ἐφελκυσάμενος] Hi caſus ſibi invicem repugnant, et recte in Suida et Euſeb. legitur ἐμβάς. Mihi tamen hic ἐφελκυσαμένου potius ſcribendum eſſe videtur.

Κλεομήδη τὰ συμβάντα ἦν. τούτοις χρῆσαι τὴν Πυθίαν φασίν·

Ὕςατος ἡρώων Κλεομήδης Ἀςυπαλαιεύς,
Ὃν θυσίαις τιμᾶθ' ὡς μηκέτι [9]) θνητὸν ἐόντα.

Κλεομήδει μὲν οὖν Ἀςυπαλαιεῖς ἀπὸ τούτου τιμὰς ὡς ἥρωϊ νέμουσι. Παρὰ δὲ τοῦ Γέλωνος τὸ ἅρμα ἀνάκειται Φίλων, τέχνη τοῦ Αἰγινήτου Γλαυκίου. τούτῳ τῷ Φίλωνι Σιμωνίδης ὁ Λεωπρέπους ἐλεγεῖον δεξιώτατον ἐποίησε·

Πατρὶς μὲν Κορκύρα, Φίλων δ' ὄνομ' [10]), εἰμὶ δὲ Γλαύκου
Υἱὸς, καὶ νίκη πὺξ δύ' ὀλυμπιάδας.

Ἀνάκειται καὶ Μαντινεὺς Ἀγαμήτωρ, κρατήσας πυγμῇ παῖδας.

## CAPUT X.

Glauci Caryſtii ſtatua et de eo narratio — porro athletarum ſigna recenſentur.

Ἐπὶ δὲ τοῖς κατειλεγμένοις ἕςηκεν ὁ Καρύςιος Γλαῦκος [1]). εἶναι δέ φασιν ἐξ Ἀνθηδόνος τῆς Βοιωτῶν τὸ ἄνωθεν αὐτὸν [2]) γένος ἀπὸ Γλαύκου τοῦ ἐν θαλάσσῃ δαίμονος. πατρὸς δὲ οὗτος ὁ Καρύςιος ἦν Δημύλου, καὶ γῆν φασιν αὐτὸν καταρχὰς ἐργάζεσθαι. ἐκπεσοῦσαν

9) τιμᾶθ' ὡς μηκέτι] Uterque Codex τιμᾶτε μηκέτι.

10) ὄνομ'] Uterque Codex ὄνομα, et mox νίκα pro νίκη. *Amaſ.* legiſſe videtur νικῶ.

1) Καρύςιος Γλαῦκος] Ad hunc pertinet Pindari fragm. a *Schneidero* V. C. exhibitum p. 4.

2) αὐτὸν] Reſcripſi pro vulgata αὐτῶν, re ipſa et Sylburgio monente.

σοῦσαν δὲ ἐκ τοῦ ἀρότρου τὴν ὕνην, πρὸς τὸ ἄροτρον καθήρμοσε τῇ χειρὶ ἀντὶ σφύρας χρώμενος. καί πως ἐθεάσατο ὁ Δήμυλος τὸ ὑπὸ τοῦ παιδὸς ποιούμενον, καὶ ἐπὶ τούτῳ πυκτεύσοντα [3]) ἐς Ὀλυμπίαν αὐτὸν ἀνήγαγεν. ἔνθα δὴ ὁ Γλαῦκος, ἅτε οὐκ ἐμπείρως ἔχων τῆς μάχης, ἐτιτρώσκετο ὑπὸ τῶν ἀνταγωνιζομένων, καὶ ἡνίκα πρὸς τὸν λειπόμενον ἐξ αὐτῶν ἐπύκτευεν, ἀπαγορεύειν ὑπὸ τοῦ πλήθους τῶν τραυμάτων ἐνομίζετο. καί οἱ τὸν πατέρα βοῆσαί φασιν· Ὦ παῖ τὴν ἀπ᾿ ἀρότρου [4]). οὕτω βιαιοτέραν ἐς τὸν ἀνταγωνιζόμενον ἐνεγκὼν τὴν πληγὴν, αὐτίκα εἶχε τὴν νίκην. ϛεφάνους δὲ λέγεται καὶ ἄλλους Πύθια μὲν δὶς λαβεῖν, Νεμείων δὲ καὶ Ἰσθμίων ὀκτάκις ἐν ἑκατέρῳ ἀγῶνι. τοῦ Γλαύκου δὲ τὴν εἰκόνα ἀνέθηκε μὲν ὁ παῖς αὐτοῦ, Γλαυκίας δὲ Αἰγινήτης ἐποίησε· σκιαμαχοῦντος [5]) δὲ ὁ ἀνδριὰς παρέχεται σχῆμα, ὅτι ὁ Γλαῦκος [6]) ἦν ἐπιτηδειότατος τῶν κατ᾿ αὐτὸν χειρονομῆσαι πεφυκώς [7]). ἀποθανόντα δὲ οἱ Καρύϛιοι ταφῆναί

3) πυκτεύσοντα] Uterque Cod. πυκτεύσαντα.

4) Ὦ παῖ τὴν ἀπ᾿ ἀρότρου] ſcil. χεῖρα. *Infer manum, quam in aratro adhibuiſti.* Potius tamen ex ſubſequentibus ſupplendum eſſe videtur πληγήν. Suidas, qui v. Γλαῦκος Pauſaniam exſcripſit, exhibet: παῖε τὴν ἐπ᾿ ἀρότρου, quae lectio non prorſus videtur repudianda.

5) σκιαμαχοῦντος] σκιαμαχεῖν de iis dicebatur, *qui exercitationis cauſa ictibus auras verberabant, et pugnae ſimulacrum edebant;* de quo ſtatu vide Winkelm. *Deſcription des pierr. grav. de Mr. Stoſch,* *p.* 458. *n.* 20.

6) ὁ Γλαῦκος] In utroque Codice ὁ abeſt.

7) χειρονομῆσαι πεφυκώς] *Kuhn.* abundare putat πεφυκὼς propter antecedens ἦν. At ἦν πεφυκὼς dictum pro πέφυκε, uti ſaepius. χειρονομεῖν eſt *variato et ad certam legem compoſito manuum motu geſticulari,* et hic de *pugilatu* dicitur. Suidas: χειρονομεῖν, πυκτεύειν, ac Pollux: χειρονομῆσαι, τὸ ταῖν χεροῖν ἐν ῥυθμῷ κινηθῆναι. Inde

φῆναί φασιν αὐτὸν ἐν νήσῳ καλουμένῃ Γλαύκου καὶ ἐς
2 ἡμᾶς ἔτι. Δαμαρέτῳ δὲ Ἡραιεῖ, υἱῷ τε τοῦ Δαμαρέτου καὶ υἱωνοῖς, δύο ἐν Ὀλυμπίᾳ γεγόνασιν ἑκάστῳ νῖκαι· Δαμαρέτῳ μὲν πέμπτῃ [8]) ἐπὶ ταῖς ἑξήκοντα ὀλυμπιάδι, ὅτε ἐνομίσθη πρῶτον ὁ τοῦ ὁπλίτου δρόμος, καὶ ὡσαύτως τῇ ἐφεξῆς· πεποίηται ὁ ἀνδριὰς ἀσπίδα τε κατὰ τὰ αὐτὰ ἔχων τοῖς ἐφ' ἡμῶν, καὶ κράνος ἐπὶ τῇ κεφαλῇ, καὶ κνημῖδας ἐπὶ τοῖς ποσί. ταῦτα μὲν δὴ ἀνὰ χρόνον ὑπό τε Ἠλείων καὶ ὑπὸ Ἑλλήνων τῶν ἄλλων ἀφῃρέθη τοῦ δρόμου. Θεοπόμπῳ δὲ τῷ Δαμαρέτου καὶ αὖθις ἐκείνου παιδὶ ὁμωνύμῳ ἐπὶ πεντάθλῳ, Θεοπόμπῳ δὲ τῷ δευτέρῳ πάλης ἐγένοντο αἱ νῖκαι. τὴν δὲ εἰκόνα Θεοπόμπου μὲν τοῦ παλαίσαντος τὸν ποιήσαντα οὐκ ἴσμεν· τὰς δὲ τοῦ πατρὸς αὐτοῦ καὶ τοῦ πάππου φησὶ τὸ ἐπίγραμμα Εὐτελίδα τε εἶναι καὶ Χρυσοθέμιδος Ἀργείων. οὐ μὴν παρ' ὅτῳ γε ἐδιδάχθησαν, δεδήλωκεν· ἔχει γὰρ δὴ οὕτως·

Εὐτελίδας καὶ Χρυσόθεμις τάδε ἔργα τέλεσσαν
Ἀργεῖοι, τέχναν εἰδότες ἐκ προτέρων.

Ἴκκος [9]) δὲ ὁ Νικολαΐδα Ταραντῖνος τόν τε Ὀλυμπικὸν στέφανον ἔσχεν ἐπὶ πεντάθλῳ, καὶ ὕστερον γυμναστὴς ἄριστος λέγεται τῶν ἐφ' αὐτῷ γενέσθαι. Μετὰ δὲ Ἴκκον καταπαλαίσας παῖδας Παντάρκης ἔστηκεν Ἠλεῖος

de *pantomimica ſaltatione* quoque adhibebatur, vid. Heſych. χειρονόμος et ibi not., ac de *geſticulatione ad animi ſenſa declaranda*, vid. Aelian. Var. Hiſt. L. XIV. C. 22. et ibi *Kuhn.* in Indice.

8) Δαμαρέτῳ μὲν πέμπτῃ etc.] Vid. ſupra L. V. C. 8. in fine. Mox pro πεποίηται ὁ ἀνδριὰς mallem πεποίηται δὲ ὁ ἀνδρ.

9) Ἴκκος] Continentia et temperantia inſignis fuit, quae praedicatur a veteribus et inprimis ab Aelian. Var. Hiſt. L. XI. C. 3.

Ἠλεῖος ὁ ἐρώμενος Φειδίου. Ἐπὶ δὲ τῷ Παντάρκει Κλεοσθένους ἐστὶν ἅρμα ἀνδρὸς Ἐπιδαμνίου. τοῦτο ἔργον μέν ἐστιν Ἀγελάδα, ἕστηκε δὲ ὄπισθεν τοῦ Διὸς [10]) τοῦ ἀπὸ τῆς μάχης τῆς Πλαταιᾶσιν ἀνατεθέντος ὑπὸ Ἑλλήνων. ἐνίκα μὲν δὴ τὴν ἕκτην ὀλυμπιάδα καὶ ἑξηκοστὴν ὁ Κλεοσθένης· ἀνέθηκε δὲ ὁμοῦ τοῖς ἵπποις αὐτοῦ καὶ εἰκόνα καὶ τὸν ἡνίοχον. ἐπιγέγραπται δὲ καὶ τῶν ἵππων τὰ ὀνόματα, Φοίνιξ καὶ Κόραξ· ἑκατέρωθεν δὲ οἱ παρὰ τὸ ζυγὸν [11]), κατὰ μὲν τὰ δεξιὰ Κνακίας, ἐν δὲ τῇ ἀριστερᾷ Σάμος· καὶ ἐλεγεῖον τόδ' ἐστὶν ἐπὶ τῷ ἅρματι·

Κλεοσθένης μ' ἀνέθηκεν ὁ Πόντιος ἐξ Ἐπιδάμνου,
Νικήσας ἵπποις καλὸν ἀγῶνα Διός.

Τῶν δὲ ἱπποτροφησάντων ἐν Ἕλλησι, πρῶτος ἐς Ὀλυμπίαν εἰκόνα ἀνέθηκεν ὁ Κλεοσθένης οὗτος. τὰ γὰρ Μιλτιάδου τοῦ Ἀθηναίου καὶ Εὐαγόρου τοῦ Λάκωνος ἀναθήματα, τοῦ μὲν ἅρματός ἐστιν [12]), οὐ μὴν καὶ αὐτὸς ἐπὶ τοῖς ἅρμασιν Εὐαγόρας· τὰ Μιλτιάδου δὲ, ὁποῖα ἐς Ὀλυμπίαν ἀνέθηκεν, ἑτέρωθι δηλώσω τοῦ λόγου [13]). Ἐπιδάμνιοι δὲ χώραν μὲν, ἥνπερ καὶ ἐξ ἀρχῆς, πόλιν δὲ οὐ τὴν ἀρχαίαν ἐπὶ ἡμῶν ἔχουσιν, ἐκείνης δὲ ἀφεστηκυῖαν ὀλίγον· ὄνομα δὲ τῇ

 πόλει

10) ὄπισθεν τοῦ Διὸς etc.] De quo vide ſupra L. V. C. 23. init.

11) ἑκατέρωθεν δὲ οἱ παρὰ τὸ ζυγὸν] Cod. Vind. τὸν ζυγόν. *Amaſ.* vero male interpretatur: *qui eodem ſunt juncti jugo.* Non enim *equi ſubjugi,* ſed *funales* quadrigis juncti denotantur, qui Graecis παρήοροι et παράσειροι dicebantur. Pollux L. I. ſ. 141.: οἱ μὲν ὑπὸ τῷ ζυγῷ ζύγιοι, οἱ δὲ ἑκατέρωθεν παρήωροι et παράσειροι. Conf. Suidas et Heſych. v. παρήορος.

12) ἅρματός ἐστιν] Scil. ἀνάθημα. Sed ob ſubſequens ἅρμασιν hic ſcribere mallem ἅρματά ἐστιν.

13) ἑτέρωθι δηλώσω τοῦ λόγου] Vid. C. 19. Cod. Moſc. dat ἑτέρωθι δὴ δηλώσω.

πόλει τῇ νῦν Δυῤῥάχιον ἀπὸ τοῦ οἰκιστοῦ. Λυκῖνον δὲ Ἡραιέα, καὶ Ἐπικράδιον Μαντινέα, καὶ Τέλλωνα Θάσιον, καὶ Ἠλεῖον Ἀγιάδαν, ἐν παισὶν ἀνελομένους νίκας, Λυκῖνον μὲν δρόμου, τοὺς δὲ ἐπ᾽ αὐτῷ κατειλεγμένους πυγμῆς, Ἐπικράδιον μὲν καὶ Ἀγιάδαν, τὸν μὲν αὐτῶν Πτόλιχος Αἰγινήτης ἐποίησε, τὸν δὲ Ἀγιάδαν Σήραμβος, γένος καὶ οὗτος Αἰγινήτης· Λυκίνου δέ ἐστιν ὁ ἀνδριὰς Κλέωνος τέχνη· τὸν δὲ Τέλλωνα ὅστις εἰργάσατο, οὐ μνημονεύουσιν.

## CAPUT XI.

Signa regum Macedoniae, Philippi, Alexandri etc. — de Theagene varia narrantur — Theagenis ſigna in multis Graeciae locis poſita et culta.

Ἐφεξῆς τούτων ἀναθήματά ἐστιν Ἠλείων, Φίλιππος ὁ Ἀμύντου, καὶ Ἀλέξανδρος ὁ Φιλίππου, καὶ Σελευκός τε καὶ Ἀντίγονος· τοῖς μὲν δὴ ἐφ᾽ ἵππων, Ἀντι-
2 γόνῳ δὲ ἀνὴρ πεζός ἐστιν ἡ εἰκών. Τῶν δὲ βασιλέων τῶν εἰρημένων ἕστηκεν οὐ πόῤῥω Θεαγένης ὁ Τιμοσθένους Θάσιος. Θάσιοι δὲ οὐ Τιμοσθένους παῖδα εἶναι Θεαγένη φασὶν, ἀλλὰ ἱερᾶσθαι μὲν Ἡρακλεῖ τὸν Τιμοσθένη [1]) Θασίῳ, τοῦ Θεαγένους δὲ τῇ μητρὶ Ἡρακλέους συγγενέσθαι φάσμα ἐοικὸς Τιμοσθένει. ἔνατόν τε δὴ ἔτος εἶναι τῷ παιδὶ, καὶ αὐτὸν ἀπὸ διδασκάλων φασὶν ἐς τὴν οἰκίαν ἐρχόμενον, ἄγαλμα ὅτου δὴ θεῶν ἀνακείμενον ἐν τῇ ἀγορᾷ χαλκοῦν (χαίρειν γὰρ τῷ ἀγάλματι αὐτὸν) ἀνασπάσαι τε δὴ τὸ ἄγαλμα, καὶ ἐπὶ τὸν ἕτερον τῶν ὤμων ἀναθέμενον

1) τὸν Τιμοσθένη] Uterque Cod. τὸν Τιμόξενον, et ita mox pro Τιμοσθένει Cod. Vind. Τιμοξένῳ et Moſc. Τιμοσθένῳ.

θέμενον ἐνεγκεῖν παρ' αὐτόν. ἐχόντων δὲ ὀργὴν ἐς αὐτὸν ἐπὶ τῷ πεποιημένῳ τῶν πολλῶν, ἀνήρ τις αὐτῶν δόκιμος καὶ ἡλικίᾳ προήκων ἀποκτεῖναι μὲν σφᾶς τὸν παῖδα οὐκ ἐᾷ, ἐκεῖνον δὲ ἐκέλευσεν ἐκ τῆς οἰκίας αὖθις κομίσαι τὸ ἄγαλμα ἐς τὴν ἀγοράν. ὡς δὲ ἤνεγκε, μέγα αὐτίκα ἦν κλέος τοῦ παιδὸς ἐπὶ ἰσχύϊ, καὶ τὸ ἔργον ἀνὰ πᾶσαν ἐβεβόητο τὴν Ἑλλάδα. ὅσα μὲν δὴ ἔργων τῶν Θεαγένους ἐς τὸν ἀγῶνα ἥκει τὸν Ὀλυμπιακὸν, προεδήλωσεν ἤδη [2]) ὁ λόγος μοι τὰ δοκιμώτατα ἐξ αὐτῶν, Εὔθυμόν τε ὡς κατεμαχέσατο τὸν πύκτην, καὶ ὡς ὑπὸ Ἠλείων ἐπεβλήθη Θεαγένει ζημία. τότε μὲν δὴ τοῦ παγκρατίου τὴν νίκην ἀνὴρ ἐκ Μαντινείας Δρομεὺς ὄνομα, πρῶτος ὧν ἴσμεν ἀκονιτὶ λαβεῖν λέγεται· τὴν δὲ ὀλυμπιάδα τὴν ἐπὶ ταύτῃ παγκρατιάζων ὁ Θεαγένης ἐκράτει. γεγόνασι δὲ αὐτῷ καὶ Πυθοῖ νῖκαι τρεῖς, αὗται μὲν ἐπὶ πυγμῇ, Νεμείων δὲ ἐννέα, καὶ Ἰσθμίων δέκα παγκρατίου τε ἀναμὶξ καὶ πυγμῆς. ἐν Φθίᾳ δὲ τῇ Θεσσαλῶν, πυγμῆς ἢ παγκρατίου παρῆκε τὴν σπουδὴν, ἐφρόντιζε δὲ, ὅπως καὶ ἐπὶ δρόμῳ ἐμφανὴς ἐν Ἕλλησιν εἴη, καὶ τοὺς ἐσελθόντας ἐς τὸν δολιχὸν ἐκράτησεν. ἦν δέ οἱ πρὸς Ἀχιλλέα (ἐμοὶ δοκεῖν) τὸ φιλοτίμημα, ἐν πατρίδι τοῦ ἀρίστου τῶν καλουμένων ἡρώων ἀνελέσθαι δρόμου νίκην. τοὺς δὲ σύμπαντας στεφάνους τετρακοσίους τε ἔσχε καὶ χιλίους [3]). ὡς δὲ ἀπῆλ-



2) προεδήλωσεν ἤδη etc.] Vid. supra C. 6.

3) τετρακοσίους — χιλίους] *Amas. mille quadringentae.* Nec infitiandum est, numerum millenarium fidem excedere videri. Attamen Suidas, qui haec et subsequentia iisdem fere verbis de Nicone, non de Theagene, narrat, quoque exhibet στεφάνους, ὥς φασι, χιλίους καὶ τετρακοσίους. Conf. Petr. Fabri Agonist. L. III. C. 22.

ἀπῆλθεν ἐξ ἀνθρώπων, ἀνὴρ τῶν τις ἀπηχθημένων ζῶντι αὐτῷ 4), παρεγίνετο ἀνὰ πᾶσαν νύκτα ἐπὶ τοῦ Θεαγένους τὴν εἰκόνα, καὶ ἐμαστίγου τὸν χαλκὸν ἅτε αὐτῷ Θεαγένει λυμαινόμενος. καὶ τὸν μὲν ὁ ἀνδριὰς ἐμπεσὼν ὕβρεως παύει· τοῦ ἀνθρώπου δὲ τοῦ ἀποθανόντος οἱ παῖδες τῇ εἰκόνι ἐπεξήεσαν φόνου. καὶ οἱ Θάσιοι καταποντοῦσι τὴν εἰκόνα, ἐπακολουθήσαντες γνώμῃ τῇ Δράκοντος, ὃς Ἀθηναίοις θεσμοὺς γράψας φονικοὺς, ὑπερώρισε καὶ τὰ ἄψυχα, εἴγε ἐμπεσόν τι ἐξ αὐτῶν ἀποκτείνειεν ἄνθρωπον. ἀνὰ χρόνον δὲ, ὡς τοῖς Θασίοις οὐδέν ἀπεδίδου καρπὸν ἡ γῆ, θεωροὺς ἀποστέλλουσιν ἐς Δελφοὺς, καὶ αὐτοῖς ἔχρησεν ὁ θεὸς 5) καταδέχεσθαι τοὺς δεδιωγμένους. καὶ οἱ μὲν ἐπὶ τῷ λόγῳ τούτῳ καταδεχθέντες, οὐδὲν τῆς ἀκαρπίας παρείχοντο ἴαμα. δεύτερα οὖν ἐπὶ τὴν Πυθίαν ἔρχονται, λέγοντες ὡς καὶ ποιήσασιν αὐτοῖς τὰ χρησθέντα διαμένοι τὸ ἐκ τῶν θεῶν μήνιμα. ἐνταῦθα ἀπεκρίνατό σφισιν ἡ Πυθία·

Θεαγένην 6) δ' ἄμνηστον ἀφήκατε τὸν μέγαν ὑμέων.

ἀπορούντων δὲ αὐτῶν, ὁποίᾳ μηχανῇ τοῦ Θεαγένους τὴν εἰκόνα ἀνασώσωνται, φασὶν ἁλιέας ἀναχθέντας ἐς τὸ πέλαγος ἐπὶ ἰχθύων θήραν, περισχεῖν τῷ δικτύῳ τὴν εἰκόνα, καὶ ἀνενεγκεῖν 7) αὖθις ἐς τὴν γῆν. Θάσιοι δὲ ἀναχθέντι ἔνθα καὶ ἐξ ἀρχῆς ἔκειτο, νομίζουσιν ἅτε
3 θεῷ θύειν. Πολλαχοῦ δὲ καὶ ἑτέρωθι ἔν τε Ἕλλησιν οἶδα

4) ζῶντι αὐτῷ] Suidas v. Νίκων habet ὡς ζῶντι αὐτῷ.

5) καὶ αὐτοῖς ἔχρησεν ὁ θεὸς] Hoc oraculum ſervatum legitur in Euſebii Praepar. Evang. L. V. C. 34.

6) Θεαγένην] Ex utroque Codice ſcripſi pro vulgata Θειαγένην.

7) ἀνενεγκεῖν] Reſtitui ἀνενεγκεῖν pro vulgata ἐνεγκεῖν ex utroque Codice et Suida l. c.

οἶδα καὶ παρὰ βαρβάροις ἀγάλματα ἱδρυμένα Θεαγένους, καὶ νοσήματά τε αὐτὸν [8]) ἰώμενον, καὶ ἔχοντα παρὰ τῶν ἐπιχωρίων τιμάς. ὁ δὲ ἀνδριὰς τοῦ Θεαγένους ἐστὶν ἐν τῇ Ἄλτει, τέχνη τοῦ Αἰγινήτου Γλαυκίου.

## CAPUT XII.

Dinomenis, Hieronis filii, donaria Olympiae — de Hierone, Hieroclis filio, et Dinomene — Arei, Lacedaemoniorum regis, et Arati aliorumque donariis et signis.

Πλησίον δὲ ἅρμα τέ ἐστι χαλκοῦν, καὶ ἀνὴρ ἀναβεβηκὼς ἐπ' αὐτὸ [1]), κέλητες δὲ ἵπποι παρὰ τὸ ἅρμα, εἷς ἑκατέρωθεν ἕστηκε, καὶ ἐπὶ τῶν ἵππων καθέζονται παῖδες. ὑπομνήματα δὲ ἐπὶ νίκαις Ὀλυμπικαῖς ἐστιν Ἱέρωνος τοῦ Δεινομένους τυραννήσαντος Συρακουσίων μετὰ τὸν ἀδελφὸν Γέλωνα. τὰ δὲ ἀναθήματα οὐχ Ἱέρων ἀπέστειλεν, ἀλλ' ὁ μὲν ἀποδοὺς τῷ θεῷ, Δεινομένης ἐστὶν ὁ Ἱέρωνος· ἔργα δὲ, τὸ μὲν Ὀνάτα τοῦ Αἰγινήτου τὸ ἅρμα, Καλάμιδος δὲ οἱ ἵπποι τε οἱ ἑκατέρωθεν, καὶ ἐπ' αὐτῶν εἰσιν οἱ παῖδες. Παρὰ δὲ 2
τοῦ Ἱέρωνος τὸ ἅρμα ἀνήρ ἐστιν ὁμώνυμός τε τῷ Δεινομένους, καὶ ἐν Συρακούσαις καὶ οὗτος τυραννήσας· Ἱέρων δὲ ἐκαλεῖτο Ἱεροκλέους. μετὰ δὲ τὴν Ἀγαθοκλέους τοῦ πρότερον τυραννήσαντος τελευτὴν Συρακουσίοις αὖθις ἀναπεφύκει τύραννος ὁ Ἱέρων οὗτος, τὴν



8) αὐτὸν] Pro vulgato αὐτῶν scripsi, uti *Hartung.* jam emendaverat.

1) ἀναβ. ἐπ' αὐτὸ] Rectius forte ἐπ' αὐτοῦ, uti alibi in Pausania.

τὴν δὲ ἀρχὴν εἶχεν ἔτει δευτέρῳ τῆς ὀλυμπιάδος [2]) ἐπὶ ταῖς εἴκοσι καὶ ἑκατὸν, ἣν Κυρηναῖος ςάδιον ἐνίκησεν Ἴδαῖος. οὗτος ὁ Ἱέρων ξενίαν πρὸς Πύῤῥον τὸν Αἰακίδου καὶ ὁμοῦ τῇ ξενίᾳ καὶ ἐπιγαμίαν ἐποιήσατο Γέλωνι τῷ παιδὶ, Νηρηΐδα ἀγαγόμενος τὴν Πύῤῥου. Ῥωμαίων δὲ περὶ Σικελίας ἐς τὸν πρὸς Καρχηδονίους [3]) πόλεμον καταςάντων, εἶχον μὲν οἱ Καρχηδόνιοι τῆς νήσου πλέον ἢ ἥμισυ· Ἱέρωνι δὲ συνιόντι μὲν ἄρτι ἐς τὸν πόλεμον, ἑλέσθαι τὰ Καρχηδονίων ἤρεσε. μετὰ δὲ οὐ πολὺ δυνάμει τε εἶναι νομίζων τὰ Ῥωμαίων ἐχυρώτερα καὶ βεβαιότερα ἅμα ἐς φιλίαν, μετεβάλετο ὡς τούτους. τοῦ δέ οἱ βίου συνέβη γενέσθαι τὴν τελευτὴν ὑπὸ Δεινομένους [4]), γένους μὲν Συρακουσίου, δυσμενέςατα δὲ ἀνδρὸς ἐς τυραννίδα ἔχοντος, ὃς καὶ ὕςερον τούτων Ἱπποκράτει τῷ ἀδελφῷ τῷ Ἐπικύδους ἐξ Ἐρβησσοῦ [5]) παρεληλυθότι ἄρτι ἐς Συρακούσας, καὶ ἐς τὸ πλῆθος ποιεῖσθαι λόγους ἀρχομένῳ, ἐπέδραμεν ὡς ἀποκτενῶν τὸν Ἱπποκράτη· τοῦ δέ οἱ ἀντιςάντος, κρατήσαντες τῶν δορυφόρων ἄλλοι, διαφθείρουσι τὸν Δεινομένη. τοὺς ἀνδριάντας δὲ τοῦ Ἱέρωνος ἐν Ὀλυμπίᾳ, ἐφ' ἵππου τὸν ἕτερον, τὸν δὲ αὐτῶν

2) τῆς ὀλυμπιάδος] *Amas.* legit τῆς τρίτης ὀλυμπ., et ſic ſcribendum eſſe *Kuhn.* affirmat. At *Palmer.* Exercit. p. 405., hunc olympiadum numerum ab hiſtoria discrepare demonſtrans, hic legendum eſſe cenſet ἔ. δ. τῆς ἕκτης ὀλ. ἑ. etc.

3) πρὸς Καρχηδονίους] Cod. Vind. πρὸς τοὺς Καρχηδονίους.

4) τοῦ δέ οἱ — ὑπὸ Δεινομένους] Repugnant Pauſaniae alii veterum hiſtorici, qui Hieronem ex morbo deceſſiſſe narrant, praecipue Livius L. XXIV. C. 7., ubi Hieronymum, nepotem Hieronis, a Dinomene occiſum eſſe legimus. Quare *Valeſ.* in not. ad Excerpta ex Diodoro p. 569. in Pauſania quaedam de hoc Hieronymo excidiſſe non temere arbitratur.

5) Ἐρβησσοῦ] Ex utroque Codice, Ptolemaeo, Stephano et aliis ſic ſcripſi pro vulgato Ἐρβυσσοῦ.

αὐτῶν πεζὸν, ἀνέθεσαν μὲν τοῦ Ἱέρωνος οἱ παῖ-
δες, ἐποίησε δὲ Μίκων Νικοκράτου [6]) Συρακούσιος.
Μετὰ δὲ τοῦ Ἱέρωνος τὰς εἰκόνας Ἀρεὺς ὁ Ἀκροτάτου 3
Λακεδαιμονίων βασιλεὺς, καὶ Ἄρατος ἕστηκεν ὁ Κλει-
νίου· καὶ αὖθις ἀναβεβηκώς ἐστιν Ἀρεὺς ἵππον.
ἀνάθημα δὲ ὁ μὲν Κορινθίων ὁ Ἄρατος, Ἀρεὺς δὲ
Ἠλείων ἐστί. καί μοι τοῦ λόγου τὰ πρότερα οὔτε τὰ
ἐς Ἄρατον, οὔτε τὰ ἐς Ἀρέα ἀμνημόνως ἔσχε [7]).
Ἄρατος δὲ καὶ ἅρματι ἀνηγορεύθη νικῶν ἐν Ὀλυμπίᾳ.
Τίμωνι δὲ τῷ Αἰγύπτου, καθέντι ἐς Ὀλυμπίαν ἵππους,
ἀνδρὶ Ἠλείῳ, ἔστι τούτῳ χαλκοῦν, ἐπ' αὐτοῦ δ' ἀνα-
βεβηκὸς σθένος (ἐμοὶ δοκεῖν) νίκης [8]). Κάλλωνα δὲ
τὸν Ἁρμοδίου, καὶ τὸν Μοσχίωνος Ἱππόμαχον, γένος
τε Ἠλείους καὶ πυγμῇ κρατήσαντας ἐν παισὶ, τὸν
μὲν αὐτῶν ἐποίησε Δάϊππος, Ἱππομάχου δὲ ὅστις



6) Νικοκράτου] *Amaſ.* legiſſe videtur Νικοκράτους, vertens *Nicocratis*. In Plinio memoratur Niceratus, ſtatuarius.

7) καί μοι — ἔσχε] De Arato vide ſupra L. II. C. 8. 9., et de Areo L. III. C. 6.

8) ἔστι τούτῳ χαλκοῦν, ἐπ' αὐτοῦ δ' ἀναβεβηκὸς σθένος (ἐμοὶ δοκεῖν) νίκης] Primum hic poſt vel ante vocem χαλκοῦν excidiſſe ἅρμα, cum verba ipſa declarant, tum *Amaſaeus*, qui exhibet *aeneus currus;* dein inſolentior et poëtica dictio σθένος νίκης non temere interpretes vexavit. Quare *Kuhn.* emendavit ἔ. τ. χαλκοῦν ἅρμα, ἐπ' αὐτοῦ δ' ἀναβεβηκὸς εἶδος (ἐμοὶ δοκεῖν) νίκης. Contra *Toup* emend. in Suid. et Heſych. Vol. III. p. 195. (coll. not. ad Vol. I. p. 196.) σθένος retinendum et a Pauſania ex Sophoclis Trachin. v. 501. depromptum eſſe cenſet, ubi Schol. σθένος νίκης, περιφραστικῶς τὴν νίκην.

Codices cum Amaſaeo σθένος exhibent, in ceteris tamen mendoſe variant. Cod. Vind. ἐπ' αὐτὸν ἀναβεβεῖεν σθ. ἐμ. δοκ. νίκην, et Moſc. ἐπ' αὐτὸν ἀναβεβήκην. Inde, ſi hariolari fas eſt, ſcribendum puto ἐπ' αὐτοῦ δ' ἀναβέβηκεν, ὡς ἐμοὶ δοκεῖ, Νίκη. Similiter infra C. 18. init. χαλκοῦν ἅρμα, καὶ Νίκη τε ἐπιβέβηκε τοῦ ἅρματος, καὶ αὐτός etc.

μὲν τὸν ἀνδριάντα εἰργάσατο, οὐκ ἴσμεν. καταμαχέσασθαι δὲ τρεῖς [9]) Φασιν ἀνταγωνιστὰς αὐτὸν, οὔτε πληγὴν ἀποδεξάμενον, οὔτε τι τρωθέντα τοῦ σώματος. Θεόχρηστον δὲ Κυρηναῖον, ἱπποτροφήσαντα κατὰ τὸ ἐπιχώριον Λίβυσι, καὶ αὐτόν τε ἐν Ὀλυμπίᾳ, καὶ ἔτι πρότερον τὸν ὁμώνυμόν τε αὐτῷ καὶ τοῦ πατρὸς πατέρα, τούτους μὲν ἐνταῦθα ἵππων νίκας, ἐν δὲ Ἰσθμῷ τοῦ Θεοχρήστου λαβεῖν τὸν πατέρα, τὸ ἐπίγραμμα δηλοῖ τὸ ἐπὶ τῷ ἅρματι. Ἡγήσαρχον δὲ τὸν Αἱμοστράτου [10]) Τριταιέα, κρατῆσαι μὲν πύκτας ἄνδρας ἐν Ὀλυμπίᾳ, καὶ Νεμέᾳ τε καὶ Πυθοῖ καὶ ἐν Ἰσθμῷ, μαρτυρεῖ τὸ ἐλεγεῖον. Ἀρκάδας δὲ τοὺς Τριταιεῖς εἶναι τοῦ ἐλεγείου λέγοντος, ἀληθεύοντα εὕρισκον. πόλεων γὰρ τῶν ἐν Ἀρκαδίᾳ ταῖς μὲν ἐπειλημμέναις δόξης οὐδὲ τὰ ἐς τοὺς οἰκιστάς ἐστιν ἄγνωστα· τὰς δὲ ἐξ ἀρχῆς τε ὑπὸ ἀσθενείας ἀφανεστέρας, καὶ δι᾽ αὐτὸ ἀνοικισθείσας εἰς Μεγάλην πόλιν, οὐ περιέχει σφᾶς γενόμενόν ποτε τοῦ Ἀρκάδων κοινοῦ δόγμα [11])· οὐδέ τινά ἐστιν ἐν Ἕλλησι Τρίταιαν πόλιν ἄλλην

9) καταμαχέσασθαι δὲ τρεῖς etc] Eadem habet Suidas v. Ἱππόμαχος.

10) Ἡγήσαρχον δὲ τὸν Αἱμοστράτου] Cod. Vind. Ἀργήσαρχον δὲ τ. Ἀμεστράτου, et Mosc. Ἀργήσαρχον δὲ τὸν Ἰμεστράτου.

11) Ἀρκάδας — λέγοντος, ἀληθεύοντα — οὐ περιέχει σφᾶς γενόμενόν ποτε — δόγμα] Haec, si sensum spectes, inter se discrepare, legenti statim liquet. Pausanias enim demonstrare vult, *falso in inscriptione legi, Tritaeënses esse Arcadas.* Id quod *Kuhn.* jam vidit, sed temeraria medicina usus est, οὐ ante περιέχει Attico more abundare dicens; nunquam enim negativa οὐ vi sua carere, mendose tamen inserta esse potest. Locum potius ita constituendum esse, nullus dubito: — λέγοντος, ΟΥΚ ἀληθεύοντα εὕρισκ. — πόλιν, περιέχει σφᾶς etc. Pro ποτε uterque Codex male exhibet ὑπό τε. Decretum Arcadum et nomina urbium Megalopolin translatarum infra memorantur L. VIII. C. 27. De

ἄλλην γε ἢ τὴν Ἀχαιῶν εὑρεῖν. τηνικαῦτα γοῦν ἐς Ἀρκάδας ἡγοῖτο ἄν τις συντελέσαι τοὺς Τριταιεῖς, καθὰ καὶ νῦν ἔτι Ἀρκάδων αὐτῶν εἰσιν οἱ ἐς τὸ Ἀργολικὸν τελοῦντες. τοῦ Ἡγησάρχου [12]) δέ ἐστιν ἡ εἰκὼν τέχνη τῶν Πολυκλέους παίδων. τούτων μὲν δὴ ποιησόμεθα μνήμην καὶ ἐν τοῖς ὑστέροις τοῦ λόγου [13]).

## CAPUT XIII.

Pila Chionidis victorias enumerans — Hermogenes Equus dictus, et Polites curſu inſignis — Leonidas curſu celebratiſſimus — aliorum athletarum ſigna recenſentur — de Phidolae equa — equo pilae inſiſtente, victoriae Lyci monumento.

Ἄστυλος δὲ Κροτωνιάτης Πυθαγόρου μέν ἐστιν ἔργον· τρεῖς δὲ ἐφεξῆς ὀλυμπιάσι [1]) σταδίου τε καὶ διαύλου νίκας ἔχει. ὅτι δὲ ἐν δύο ταῖς ὑστέραις ἐς χάριν τὴν Ἱέρωνος τοῦ Δεινομένους ἀνηγόρευσεν ἑαυτὸν Συρακούσιον, τούτων εἵνεκα οἱ Κροτωνιᾶται τὴν οἰκίαν αὐτοῦ δεσμωτήριον εἶναι κατέγνωσαν, καὶ τὴν εἰκόνα καθεῖλον παρὰ τῇ Ἥρᾳ τῇ Λακεδαιμονίᾳ [2]) κειμένην.

Ἀνάκειται δὲ ἐν τῇ Ὀλυμπίᾳ καὶ στήλη λέγουσα τοῦ Λακεδαιμονίου Χιόνιδος [3]) τὰς νίκας. εὐήθειας μὲν δὴ μετέχουσι καὶ ὅσοι Χίονιν αὐτὸν ἀναθεῖναι τὴν στήλην, ἀλλ᾽ οὐ Λακεδαιμονίων ἥγηνται τὸ δημόσιον· ἔστι

De Tritaea Achaeorum vide L. VII. C. 22. et ibi not.

12) Ἡγησάρχου] Cod. Vind. Ἡγησιλάρχου, et Moſc. Ἡγησιάρχου.

13) τούτων — τοῦ λόγου] Vid. L. X. C. 34. in fine.

1) ὀλυμπιάσι] Ex utroque Codice dedi pro vulgata ὀλυμπιάδας, conſtructionis ratione adſtipulante.

2) Λακεδαιμονίᾳ] Cod. Vind. Λακινίᾳ.

3) Χιόνιδος] Vide ſupra not. 8. ad L. III. C. 14.

ἔςι γὰρ δήπου ἐν [4]) τῇ ςήλῃ οὐκ εἶναί πω τοῦ ὅπλου τὸν δρόμον· πῶς ἂν οὖν ἐπίςαιτο ὁ Χίονις, εἰ αὖθίς ποτε προςνομοθετήσουσιν Ἠλεῖοι; τούτων δὲ ἔτι ἐς πλέον ἥκουσιν εὐηθείας, οἳ τὸν ἑςηκότα [5]) ἀνδριάντα παρὰ τῇ ςήλῃ Φασὶν εἰκόνα εἶναι Χιόνιδος, ἔργον ὄντα
2 τοῦ Ἀθηναίου Μύρωνος. Ἐοικότα δὲ Χιόνιδι τὰ ἐς δόξαν καὶ ἀνὴρ Λύκιος παρέσχετο Ἑρμογένης Ξάνθιος, ὃς τὸν κότινον ἐν τρισὶν ὀλυμπιάσιν ἀνείλετο ὀκτάκις, ἐπίκλησίν τε ἔσχεν Ἵππος ὑπὸ Ἑλλήνων. ποιήσαιο δ' ἂν καὶ Πολίτην ἐν μεγάλῳ θαύματι. ὁ Πολίτης δ' ἦν οὗτος ἐκ Κεράμου τῆς ἐν τῇ Θρακίᾳ Καρίᾳ [6]). ἀνέΦηνε δὲ ἀρετὴν ποδῶν ἐν Ὀλυμπίᾳ πᾶσαν. ἀπὸ γὰρ τοῦ μηκίςου καὶ διαρκεςάτου δι' ὀλιγίςου δὴ καιροῦ μεθηρμόσατο ἐπὶ τὸ βραχύτατον ὁμοῦ καὶ ὤκιςον [7])· καὶ δολιχοῦ γε ἐν ἡμέρᾳ τῇ αὐτῇ καὶ παραυτίκα ςαδίου λαβὼν νίκην, προσέθηκε διαύλου

σφίσι

4) δήπου ἐν] Uterque Codex δήπου ὡς ἐν. Unde vero illud ὡς perperam intrusum sit, mihi non liquet. Forte lectio genuina fuerit ἔςι γὰρ δή πως ἐν etc. Ad rem vide L. III. C 14. §. 3., ubi ὁ σὺν τῇ ἀσπίδι δρόμος, quod hic enunciatur τοῦ ὅπλου ὁ δρόμος. De quo conf. not. ad L. VI. C. 15.

5) τὸν ἑςηκότα] Cod. Vind. male dat τὸν ἐνεςηκότα.

6) ἐκ Κεράμου τῆς ἐν τῇ Θρακίᾳ Καρίᾳ]· Suidas, qui v. Ἱππόμαχος haec de Polite verbotenus exscripsit, legisse videtur τῆς ἐν Θράκῃ Καρίας. Conf. interpretes ad Pomp. Mel. L. II. C. 2. At cum Thraciae Caria nullibi reperiatur, Palmer. Exercit. p. 406. 407. recte monet, in Pausania scribendum esse ἐν τῇ τραχείᾳ Καρίᾳ, *in aspera Caria.* Conf. Scaliger. ad Eusebii Chronic. p. 200.

7) ἀπὸ γὰρ — ὤκιςον] Pro ὀλιγίςου Cod. Mosc. dat ὀλίγου, et pro ὤκιςον Suidas l. c. habet ἥκιςον, quod praefero. Sic vero ista sunt interpretanda: *quod enim curriculi spatium longissimum et maxime extensum fuit, maxima temporis brevitate in brevissimum* et (pernicissimum) *minimum transtulit.*

σφίσι τὴν τρίτην. Πολίτης μὲν δὴ ἐπὶ τῆς δευτέρας* [8])
καὶ τέσσαρας, ὡς ἕκαστοι συνταχθῶσιν ὑπὸ τοῦ
κλήρου, καὶ οὐκ ἀθρόους ἀφίασιν ἐς τὸν δρόμον·
οἳ δ' ἂν ἐν ἑκάστῃ τάξει κρατήσωσιν, ὑπὲρ αὐ-
τῶν αὖθις θέουσι τῶν ἄθλων· καὶ οὕτως στα-
δίου δύο ὁ στεφανούμενος ἀναιρήσεται νίκας. Τὰ 3
μέν τοι ἐπιφανέστατα ἐς δρόμον Λεωνίδᾳ Ῥοδίῳ [9])
ἐστίν. ἐπὶ γὰρ τέσσαρας ὀλυμπιάδας, ἀκμάζων
τε τῇ ὠκύτητι, ἀντήρκεσε, καὶ γεγόνασιν αὐτῷ δρό-
μου νῖκαι δύο ἀριθμὸν καὶ δέκα. Χιόνιδος δὲ οὐ
πόῤῥω τῆς ἐν Ὀλυμπίᾳ στήλης ἕστηκε Δοῦρις ὁ Σά-
μιος [10]), κρατήσας πυγμῇ παῖδας· τέχνη δὲ ἡ εἰκὼν
ἐστὶ μὲν Ἱππίου, τὸ δὲ ἐπίγραμμα δηλοῖ τὸ ἐπ' αὐτῷ
νικῆσαι Χίονιν [11]), ἡνίκα ὁ Σαμίων δῆμος ἔφευγεν ἐκ
τῆς νήσου. τὸν δὲ καιρὸν, καθ' ὃν ἐπὶ τὰ οἰκεῖα τὸν
δῆμον* [12]). Παρὰ δὲ τὸν Τύραννον Δίαλλος ὁ Πόλ- 4
λιδος

8) ἐπὶ τῆς δευτέρας *] Hic non pauca deesse, verba ipsa nec constructionis nec sensus nexu cohaerentia satis declarant, et Codex Vind. post δευτέρας lacunam esse spatio vacuo relicto notavit. Quaenam exciderint, ne conjectura quidem credibiliter assequi valeo. Mox pro ἀθρόους Cod. Vind. exhibet ἀθρόως.

9) Λεωνίδᾳ Ῥοδίῳ] Hujus primae victoriae mentionem facit Philostrat. Heroic. C. 19. init.

10) Δοῦρις ὁ Σάμιος] Uterque Cod. ὁ Δούριος Σάμιος.

11) νικῆσαι Χίονιν] *Amas.* pro Χίονιν recte legit αὐτὸν, scil. Δοῦριν, nam de hoc sermo est, non de Chionide; quare vel Δοῦριν scribendum, vel Χίονιν prorsus delendum.

12) τὸν δῆμον *] Etiam hic lacunam esse, facile patet, et spatio in Codice Vind. vacuo relicto confirmatur. Non absurde illam ex parte explere videtur *Kuhnius* ex ipso Pausania L. VII. C. 2., coll. C. 4., ubi de Samiis ejectis et restitutis agitur. Inde haec suppleri posse putat: τὸν δῆμον (τῶν Σαμίων) κατελθεῖν συνέβη, δηλώσω ἐν τῷ ἐς Ἀχαιοὺς λόγῳ. Praeter ista nonnulla de Tyranno quodam, athleta, excidisse, quae mox subsequuntur, declarant.

Τύραν-

λιδος ἀνάκειται, γένος μὲν Σμυρναῖος, Ἰώνων δὲ πρῶτος λαβεῖν ἐν Ὀλυμπίᾳ φησὶν οὗτος ὁ Δίαλλος παγκρατίου στέφανον ἐν παισίν. Θερσίλοχον δὲ Κερκυραῖον, καὶ Ἀριστίωνα Θεοφιλοῦς Ἐπιδαύριον, τὸν μὲν ἀνδρῶν πυγμῆς, Θερσίλοχον δὲ λαβόντα ἐν παισὶ στέφανον, Πολύκλειτος ἐποίησε σφᾶς ὁ Ἀργεῖος. Βύκελος [13]) δὲ, ὃς Σικυωνίων πρῶτος πὺξ ἐκράτησεν ἐν παισὶν, ἔστιν ἔργον Σικυωνίου Κανάχου παρὰ τῷ Ἀργείῳ Πολυκλείτῳ διδαχθέντος. Παρὰ δὲ τὸν Βύκελον ὁπλίτης ἀνὴρ ἐπίκλησιν Λίβυς, Μνασέας Κυρηναῖος ἕστηκε· Πυθαγόρας δὲ ὁ Ῥηγῖνος ἐποίησε τὴν εἰκόνα. Κυζικηνῷ δὲ Ἀγεμάχῳ τῶν [14]) ἐκ τῆς Ἀσιανῆς ἠπείρου γενέσθαι ἐν Ἄργει [15]) τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ μηνύει. Νάξου δὲ οἰκισθείσης ποτὲ ἐν Σικελίᾳ ὑπὸ Χαλκιδέων τῶν ἐπὶ τῷ Εὐρίπῳ [16]), τῆς πόλεως μὲν οὐδὲ ἐρείπια ἐλείπετο ἐς ἡμᾶς ἔτι· ὄνομα δὲ καὶ ἐς τοὺς ἔπειτα εἶναι τῆς Νάξου, Τίσανδρος ὁ Κλεοκρίτου μάλιστα αἰτίαν ἐχέτω. τετράκις γὰρ δὴ ἐν ἀνδράσι κατεμαχέσατο ὁ Τίσανδρος πύκτας ἐν Ὀλυμπίᾳ, τοσαῦται δὲ καὶ Πυθοῖ γεγόνασιν αὐτῷ νῖκαι· καὶ Κορινθίοις δὲ οὐκ ἦν πω τηνικαῦτα οὐδὲ Ἀργείοις ἐς ἅπαντας ὑπομνήματα τοὺς Νεμεάτας.

5 Ἡ δὲ ἵππος ἡ τοῦ Κορινθίου Φειδώλα, ὄνομα μὲν, ὡς οἱ Κορίνθιοι μνημονεύουσιν, ἔχει Αὔρα, τὸν δὲ ἀναβάτην

Τύραννον enim nomen proprium hic esse, persuasum habeo, licet interpretes appellativum maluerint.

13) Βύκελος] Ex Codice Mosc. pro Βύκελλος. Ita quoque paullo infra est Βύκελον.

14) Ἀγεμάχῳ τῶν] Cod. M. Ἀγεμάχῳ τῷ.

15) γενέσθαι ἐν Ἄργει] scil. τὴν εἰκόνα.

16) ἐπὶ τῷ Εὐρίπῳ] Pro ὑπὸ rescripsi ἐπὶ ex constante loquendi usu; sic L. V. C. 23. Χαλκιδεῖς οἱ ἐπὶ τῷ Εὐρίπῳ, et in Strabone L. X. p. 685. B. Χαλκὶς ἐπ' αὐτῷ τῷ Εὐρίπῳ ἱδρυμένη

βάτην ἔτι ἀρχομένου τοῦ δρόμου συνέπεσεν ἀποβαλεῖν
αὐτὴν, καὶ οὐδέν τι ἧσσον θέουσα ἐν κόσμῳ περί τε
τὴν νύσσαν ἐπέστρεφε, καὶ ἐπεὶ τῆς σάλπιγγος ἤκου-
σεν, ἐπετάχυνεν ἐς πλέον τὸν δρόμον [17]), φθάνει τε
δὴ ἐπὶ τοὺς Ἑλλανοδίκας ἀφικομένη καὶ νικῶσα
ἔγνω, καὶ παύεται τοῦ δρόμου. Ἠλεῖοι δὲ ἀνηγό-
ρευσαν ἐπὶ τῇ νίκῃ τὸν Φειδώλαν, καὶ ἀναθεῖναί οἱ
τὴν ἵππον ταύτην ἀφιᾶσιν. Ἐγένετο δὲ καὶ Λύκου 6
τοῦ Φειδώλα τοῖς παισὶν [18]) ἐπὶ κέλητι ἵππῳ νίκη,
καὶ ὅ τε ἵππος ἐπὶ στήλῃ πεποιημένος, καὶ ἐπίγραμ-
μά ἐστιν ἐπ' αὐτῷ·

Ὠκυδρόμας Λύκος Ἴσθμι' ἅπαξ, δύο δ' ἐνθάδε νίκαις
Φειδώλα παίδων ἐστεφάνωσε δόμους.

οὐ μὴν τῷ γε [19]) ἐπιγράμματι καὶ τὰ Ἠλείων ἐς τοὺς Ὀλυμπιονίκας ὁμολογεῖ γράμματα. ὀγδόῃ γὰρ ὀλυμπιάδι καὶ ἑξηκοστῇ, καὶ οὐ περὶ ταύτης [20]) ἐστὶν ἐν τοῖς Ἠλείων γράμμασιν ἡ νίκη τῶν Φειδώλα παίδων.

17) ἐπετάχ. ἐς πλέον τὸν δρόμον] Cod. Vind. ἐπετ. ἐς πλέον τοῦ δρομου.

18) καὶ Λύκου τοῦ Φειδώλα τοῖς παισὶν] Uterque Cod omittit Λύκου, quod non repugnat sequentibus ἡ νίκη τῶν Φειδώλα παίδων. At si vulgata sana, verba τοῖς παισὶν non ad Λύκου cum *Amasaeo* referenda, sed ad sequens νίκη, et dicta sunt pro ἐν παισί. Scribere tamen mallem ἐν τοῖς παισίν. Sic etiam in inscriptione παίδων pro ἐν παισὶν positum et voci νίκαις, non Φειδώλα, jungendum esset. Id quod copiose declaravit D'Orville ad Charit. p. 235. 236. ed. Lips. ubi etiam pro Ἴσθμι' ἅπαξ in Codice quodam Röver. Ἴσθμια πὺξ deprehendi legimus, quam lectionem quoque Cod. Mosc. exhibet.

19) οὐ μὴν τῷ γε] Uterque Cod. οὐ μὴν γε τῷ.

20) καὶ οὐ περὶ ταύτης] *Amas.*, qui interpretatur: *et eam, quae consecuta est*, alia legisse videtur, forte καὶ πέρα ταύτης. *Kuhn.* haud male emendat καὶ οὐ περὶ ταύτην.

δων. ταῦτα μὲν δὴ οὕτως ἔχοντα ἴςω τις. Ἠλείοις δὲ ἀνδράσιν Ἀγαθίνῳ τε τῷ Θρασυβούλου καὶ Τηλεμάχῳ, Τηλεμάχῳ μὲν ἐπὶ ἵππων νίκῃ[21]) γέγονεν ἡ εἰκών· Ἀγαθῖνον δὲ ἀνέθεσαν Ἀχαιοὶ Πελληνεῖς. Ἀνέθηκε δὲ καὶ ὁ Ἀθηναίων δῆμος Ἀριςοφῶντα Λυκίνου παγκρατιαςὴν, ἐν τῷ ἀγῶνι τῷ ἐν Ὀλυμπίᾳ κρατήσαντα ἄνδρας.

## CAPUT XIV.

Athletarum ſigna, et quae ad illos pertinent, porro recenſentur — ſignum Milonis Crotoniatae, de cujus ingenti robore varia narrantur — Milonis mors — Pyrrhi regis ſignum — pila Pythocrito tibicini erecta et aliorum ſigna.

Φερίας δὲ Αἰγινήτης (οὗτος γὰρ δὴ[1]) παρὰ τὸν Ἀθηναῖον Ἀριςοφῶντα ἀνάκειται) ὀγδόῃ μὲν πρὸς ταῖς ἑβδομήκοντα ὀλυμπιάδι κομιδῇ τε ἔδοξεν εἶναι νέος, καὶ οὐκ ἐπιτήδειός πω νομισθεὶς παλαίειν, ἀπηλάθη τοῦ ἀγῶνος· τῇ δὲ ἑξῆς (κατεδέχθη γὰρ τηνικαῦτα ἐς τοὺς παῖδας) ἐνίκα παλαίων. Τῷ δὲ Φερίᾳ τούτῳ διάφορον καὶ οὐδαμῶς ἐοικυῖαν ἔσχεν ἐν Ὀλυμπίᾳ τύχην νίκης Ὕλλος[2]) Ῥόδιος. ὄγδοον γὰρ ἐπὶ τοῖς δέκα ἔτεσι γεγονὼς, μὴ παλαῖσαι μὲν ἐν παισὶν ὑπὸ Ἠλείων ἀπηλάθη, ἀνηγορεύθη δὲ ἐν ἀνδράσιν, ὥςπερ γε καὶ ἐνίκησε· ἀνηγορεύθη δὲ καὶ ὕςερον Νεμέᾳ

21) ἐπὶ ἵππων νίκῃ] Cod. M. ἐπὶ ἵππῳ νίκῃ. Mallem ἐπὶ ἵππου νίκῃ, ſicuti C. 14. prope finem.

1) δὴ] In utroque Codice abeſt.

2) τύχην νίκης Ὕλλος] Codex Moſc. τύχην νικασύλας, et ſic inferius pro ὀλυμπιάδι. Ὕλλου exhibet ὀλυμπιάδι. νικασύλου.

Νεμέᾳ τε καὶ Ἰσθμῷ. γεγονότα δὲ εἰκοσαέτη τὸ χρεὼν ἐπιλαμβάνει, πρὶν ἢ ἐς τὴν Ῥόδον αὐτὸν οἴκαδε ἀναστρέψαι. Τὸ δὲ ἐν Ὀλυμπίᾳ τοῦ Ῥοδίου παλαιστοῦ τόλμημα Ἀρτεμίδωρος γένος Τραλλιανὸς ὑπερεβάλετο κατὰ ἐμὴν δόξαν. Ἀρτεμιδώρῳ γὰρ ἁμαρτεῖν μὲν Ὀλυμπίων συνέβη παγκρατιάζοντι [3]) ἐν παισίν· αἰτία δέ οἱ ἐγένετο τῆς διαμαρτίας τὸ ἄγαν νέον. ὡς δὲ ἀφίκετο ἀγῶνος καιρὸς, ὃν Σμυρναῖοι Ἰώνων ἄγουσιν, ἐς τοσοῦτο ἄρα αὐτῷ τὰ τῆς ῥώμης ἐπηύξητο, ὡς κρατῆσαι παγκρατιάζοντα ἐπὶ ἡμέρας τῆς αὐτῆς [4]) τούς τε ἐξ Ὀλυμπίας ἀνταγωνιστὰς, καὶ ἐπὶ τοῖς παισὶν, οὓς ἀγενείους καλοῦσι, καὶ τρίτα δὴ ὅ τι ἄριστον ἦν τῶν ἀνδρῶν [5]). γενέσθαι δέ οἱ τὴν ἅμιλλαν πρὸς ἀγενείους τε καὶ ἄνδρας, τὴν μὲν ἐκ γυμναστοῦ παρακλήσεώς φασι, τὴν δὲ ἐξ ἀνδρὸς παγκρατιαστοῦ λοιδορίας. ἀνείλετο δὲ ἐν ἀνδράσιν ὁ Ἀρτεμίδωρος Ὀλυμπικὴν νίκην δευτέρᾳ καὶ δεκάτῃ πρὸς διακοσίαις ὀλυμπιάδι. Ὕλλου δὲ τῆς εἰκόνος ἵππος τε οὐ μέγας ἔχεται χαλκοῦς, ὃν Κρόκων Ἐρετριεὺς ἀνέθηκεν ἀνελόμενος κέλητι ἵππῳ στέφανον. Καὶ πλησίον τοῦ ἵππου Τελέστας ἐστὶ Μεσσήνιος, κρατήσας πυγμῇ παῖδας· Σιλανίωνος δὲ ἔργον ἐστὶν ὁ Τελέστας. Μίλωνα [6]) δὲ τὸν Διοτίμου πεποίηκε μὲν 2

Δαμέας

3) παγκρατιάζοντι] *Kuhn.* mavult παγκρατιάσαντι. Sed vulgatam recte ſe habere arbitror.

4) ἐπὶ ἡμέρας τῆς αὐτ.] In Codice Vind. ἐπὶ abeſt.

5) ὅ τι ἄριστον ἦν τῶν ἀνδρῶν] Recte *Amaſaeus: virorum optimum quemque*, et *Kuhn.* temere emendat ἔτι ἄριστος ἀνδρῶν.

6) Μίλωνα] De hoc inclyto athleta ejusque immanibus corporis viribus multi veterum multa; vid. Strab. L. VI p. 403., Suid. h. v., Aelian. V. H. L. II. C. 24. et L. XII. C. 22., Athen. L. X. C. 2. init etc., ex quibus inprimis hic conferendus Suidas, qui Pauſaniam exſcripſit. Milonis ſtatuam Olympiae poſitam

Δαμέας ἐκ Κρότωνος καὶ οὗτος. ἐγένοντο δὲ τῷ Μίλωνι ἓξ μὲν ἐν Ὀλυμπίᾳ πάλης νῖκαι, μία ἐν παισὶν ἐξ αὐτῶν· Πυθοῖ δὲ ἔν τε ἀνδράσιν ἕξ, καὶ μία ἐνταῦθα ἐν παισίν. ἀφίκετο δὲ καὶ ἕβδομον παλαίσων ἐς Ὀλυμπίαν· ἀλλὰ γὰρ οὐκ ἐγένετο οἷός τε καταπαλαῖσαι Τιμασίθεον 7) πολίτην τε ὄντα αὐτῷ, καὶ ἡλικίᾳ νέον, πρὸς δὲ καὶ σύνεγγυς οὐκ ἐθέλοντα ἵστασθαι. λέγεται δὲ καὶ ὡς ἐσκομίσειεν αὐτὸς αὐτοῦ τὸν ἀνδριάντα ἐς τὴν Ἄλτιν ὁ Μίλων. λέγεται δὲ ἐς αὐτὸν καὶ τὸ ἐπὶ τῇ ῥοιᾷ 8) καὶ τὸ ἐπὶ τῷ δίσκῳ. ῥοιὰν μὲν δὴ οὕτω κατεῖχεν, ὡς μήτε ἄλλῳ παρεῖναι βιαζομένῳ, μήτε αὐτὸς λυμήνασθαι πιέζων. ἱστάμενος δὲ ἐπὶ ἀληλιμμένῳ τῷ δίσκῳ γέλωτα ἐποιεῖτο τοὺς ἐμπίπτοντάς τε καὶ ὠθοῦντας ἀπὸ τοῦ δίσκου. παρείχετο δὲ καὶ ἄλλα τοιάδε ἐς ἐπίδειξιν. περιέδει τῷ μετώπῳ χορδὴν κατὰ ταυτὰ δὴ καὶ εἰ ταινίαν περιθεῖτο 9) ἢ στέφανον· κατέχων δὲ ἐντὸς χειλῶν τὸ ἄσθμα, καὶ ἐμπιπλὰς αἵματος τὰς ἐν τῇ κεφαλῇ φλέβας, διεῤῥήγνυεν ὑπὸ ἰσχύος τῶν φλεβῶν τὴν χορδήν 10). λέγεται δὲ καὶ ὡς τῆς δεξιᾶς χειρὸς 11) τὸ μὲν ἐς τὸν ἀγκῶνα ἐκ τοῦ ὤμου παρ'

ſitam memorat et deſcribit Philoſtrat. Vit. Apoll. L. IV. C. 28.

7) Τιμασίθεον] Suidas l. c. habet Μνασίθεον, Scholia autem ad Ariſtoph. Ran. exhibent Τιμασίθ.

8) τὸ ἐπὶ τῇ ῥοιᾷ] De hoc conf. Aelian. V. H. L. II. C. 24. ibique not. ac Philoſtr. l. c.

9) περιέδει τῷ μ. — καὶ εἰ τ. περιθεῖτο] Uterque Cod. pro εἰ exhibet οἱ, et Suidas, qui haec iisdem Pauſaniae verbis narrat, legiſſe videtur περιεδεῖτο τῷ μ., vel εἰ τ. περιεδεῖτο ἢ ς.

10) τὴν χορδήν] Suidas de ſuo hic liberalis addit καθάπερ πάπυρον.

11) ὡς τῆς δεξιᾶς χειρὸς etc.] χεῖρα hic *totum brachium* denotare, in promtu eſt, et ſic reliqua plana ſunt. Forte tamen poſt εὐθὺ comma ponendum

παρ' αὐτὴν καθίει τὴν πλευρὰν, τὸ δὲ ἀπὸ τοῦ
ἀγκῶνος ἔτεινεν ἐς εὐθὺ τῶν δακτύλων, τὸ μὲν αὐτῶν
ἀναςρέφων τὸν ἀντίχειρα ἐς τὸ ἄνω· τῶν λοιπῶν δὲ
ἀλλήλοις ἐπικειμένων κατὰ ςοῖχον, τὸν ἐλάχιςον τῶν
δακτύλων κάτω γινόμενον, οὐκ ἀπεκίνησεν ἄν τις
βιαζόμενος. Ἀποθανεῖν δὲ ὑπὸ θηρίων φασὶν 3
αὐτόν· ἐπιτυχεῖν γὰρ αὐτὸν ἐν τῇ Κροτωνιάτιδι αὐαι-
νομένῳ ξύλῳ· σφῆνες δὲ ἐγκείμενοι διΐςασαν τὸ
ξύλον· ὁ δὲ ὑπὸ φρονήματος ὁ Μίλων καθίησι τὰς
χεῖρας ἐς τὸ ξύλον[12]). ὀλισθαίνουσί τε δὴ οἱ σφῆ-
νες, καὶ ἐχόμενος ὁ Μίλων ὑπὸ τοῦ ξύλου λύκοις
ἐγίγνετο εὕρημα. μάλιςα δέ πως τὸ θηρίον τοῦτο
ἐν τῇ Κροτωνιάτιδι πολύ τε νέμεται καὶ ἄφθονον.
Μίλωνι μὲν δὴ τὸ τοιόνδε τέλος ἐπηκολούθησε. Πύῤῥον 4
δὲ τὸν Αἰακίδου βασιλεύσαντα ἐν τῇ Θεσπρωτίδι
Ἠπείρῳ, καὶ ἔργα πολλὰ ἐργασάμενον καὶ ἄξια
μνήμης, ἃ ἐν τῷ λόγῳ τῷ ἐς Ἀθηναίους ἐδήλωσα[13]),
τοῦτον ἐς τὴν Ἄλτιν ἀνέθηκε Θρασύβουλος Ἠλεῖος.
Παρὰ δὲ τὸν Πύῤῥον ἀνὴρ μικρὸς αὐλοὺς ἔχων ἐςὶν
ἐκτετυπωμένος[14]) ἐπὶ ςήλης. τούτῳ Πυθικαὶ νῖκαι
γεγόνασι τῷ ἀνδρὶ δευτέρῳ μετὰ Σακάδαν τὸν Ἀρ-
γεῖον[15]). Σακάδας μὲν γὰρ τὸν ἀγῶνα τὸν τεθέντα
ὑπὸ Ἀμφικτυόνων οὐκ ὄντα πω ςεφανίτην, καὶ ἐπ'



dum et pro τὸ μὲν ſcribendum eſt τὸν μέν. Poſt ἐλάχιςον in Suida eſt οὖν, quod Cod. Moſc. quoque mendoſe ſervaſſe videtur exhibens ἐλάχιςον οὗ τῶν.

12) καθίησι — ξύλον] Suidas de ſuo explicandi cauſa addit ὡς διαῤῥήξων. De morte Milonis conf. quoque Gellius Noct. Att. L. XV. C. 16.

13) ἃ — ἐδήλωσα] Vid. L. I. C. 11. 12.

14) ἐκτετυπωμένος] Sic ſcripſi ex Codice Vind. pro vulgata ἐκτετυπωμένους.

15) Σακάδαν τ. Ἀργ.] De hoc vid. not. ad L. II. C. 22. in fine.

5 ἐκείνῳ στεφανίτας δύο ἐνίκησε. Πυθόκριτος δὲ ὁ Σικυώνιος τὰς ἐφεξῆς τούτων Πυθιάδας ἕξ, μόνος δὴ οὗτος αὐλητής. δῆλα δὲ ὅτι καὶ ἐν τῷ ἀγῶνι τῷ Ὀλυμπιάσιν ἐπηύλησεν ἑξάκις τῷ πεντάθλῳ. Πυθοκρίτῳ μὲν γέγονεν ἀντὶ τούτων ἡ ἐν Ὀλυμπίᾳ στήλη, καὶ ἐπίγραμμα ἐπ' αὐτῇ· Πυθοκρίτου Καλλινίκου μνάματα αὐλητᾶ. Ἀνέθεσαν δὲ καὶ τὸ κοινὸν τὸ Αἰτωλῶν Κύδωνα[16]), ὃς ἀπὸ τῆς Ἀριστοτίμου τυραννίδος ἠλευθέρωσεν Ἠλείους. Γόργον δὲ τὸν Εὐκλήτου Μεσσήνιον ἀνελόμενον πεντάθλου νίκην, καὶ Δαμάρετον καὶ τοῦτον Μεσσήνιον, κρατήσαντα πυγμῇ παῖδας, τὸν μὲν αὐτῶν Βοιώτιος Θήρων, Δαμαρέτου δὲ τὴν εἰκόνα Ἀθηναῖος Σιλανίων ἐποίησεν. Ἀναυχίδας δὲ ὁ Φίλυος Ἠλεῖος πάλης ἔσχεν ἐν παισὶ στέφανον, καὶ ἐν ἀνδράσιν ὕστερον· τούτῳ μὲν δὴ τὴν εἰκόνα ὅστις ὁ εἰργασμένος ἐστὶν, οὐκ ἴσμεν. Ἄνοχος[17]) δὲ ὁ Ἀδαμάτα Ταραντῖνος, σταδίου λαβὼν καὶ διαύλου νίκην, ἐστιν Ἀγελάδα τέχνη τοῦ Ἀργείου. Παῖδα δὲ ἐφ' ἵππου καθήμενον, καὶ ἑστηκότα ἄνδρα παρὰ τὸν ἵππον, φησὶ τὸ ἐπίγραμμα εἶναι Ξενόμβροτον ἐκ Κῶ τῆς Μεροπίδος[18]), ἐπὶ ἵππου νίκῃ κεκηρυγμένον, Ξενόδικον δὲ ἐπὶ πυγμῇ παίδων ἀναγορευθέντα· τὸν μὲν Παντίας αὐτῶν, Ξενόμβροτον δὲ Φιλότιμος Αἰγινήτης ἐποίησε. Πύθου δὲ τοῦ Ἀνδρομάχου, γένος ἀνδρὸς ἐξ Ἀβδήρων, ἐποίησε μὲν Λύσιππος, ἀνέθε-

σαν

16) Κύδωνα] Supra L. V. C. 5. init. is, qui Ariſtotimum interfecit, Κύλων appellatur, unde Cod. Caſaub. hoc loco ita quoque ſcribendum eſſe notat.

17) Ἄνοχος] Cod. Moſc. Αὔοχος.

18) ἐκ Κῶ τῆς Μεροπίδος] Inſula Cos Μεροπὶς et Coi Μέροπες dicti; de quo vid. *Verheyk* ad Antonin. Liber. C. 15. init., coll. Heſych. v. Μέροπες et ibi not.

σαν δὲ οἱ στρατιῶται δύο εἰκόνας. εἶναι δὲ ἡγεμών τις ξένων ἢ καὶ ἄλλως τὰ πολεμικὰ ἀγαθὸς ὁ Πύθης ἔοικε. Κεῖνται δὲ καὶ ἐν παισὶν εἰληφότες δρόμου νίκας, Μενεπτόλεμος ἐξ Ἀπολλωνίας τῆς ἐν τῷ Ἰωνίῳ[19]), καὶ Κορκυραῖος Φίλων, ἐπὶ δὲ αὐτοῖς Ἱερώνυμος Ἄνδριος, ὃς τὸν Ἠλεῖον Τισαμενὸν πεντ-αθλοῦντα ἐν Ὀλυμπίᾳ κατεπάλαισε, τὸν ἐν Ἕλλησιν ὕστερον τούτων ἐναντία Μαρδονίου καὶ Μήδων Πλαταιᾶσι μαντευσάμενον[20]). οὗτός τε δὴ Ἱερώνυμος[21]) ἀνάκειται, καὶ παρ' αὐτὸν παλαιστὴς παῖς, Ἄνδριος καὶ οὗτος, Προκλῆς ὁ Λυκαστίδα. τοῖς πλάσταις δὲ, οἳ τοὺς ἀνδριάντας ἐποίησαν, τῷ μὲν Στόμιός ἐστιν ὄνομα, τῷ δὲ τὸν Προκλέα εἰργασμένῳ Σῶμις. Αἰσχίνῃ δὲ Ἠλείῳ νῖκαί τε δύο ἐγένοντο πεντάθλου, καὶ ἴσαι ταῖς νίκαις αἱ εἰκόνες.

## CAPUT XV.

Athletarum ſigna Olympiae porro recenſentur — Pantarcis ſignum — Clitomachi ſignum ejusque facta — Archidami, Ageſilai filii, ac Demetrii ejusque filii, Antigoni, ſigna — Arei, Lacedaem. regis — Ptolemaei, Lagi filii, et Capri Elei ſigna.

Ἀρχίππῳ δὲ Μιτυληναίῳ τοὺς ἐς τὴν πυγμὴν ἐσελθόντας κρατήσαντι ἄνδρας ἄλλο τοιόνδε προσποιοῦσιν[1]) οἱ Μιτυληναῖοι ἐς δόξαν, ὡς καὶ τὸν ἐν Ὀλυμπίᾳ



19) ἐν τῷ Ἰωνίῳ] Cod. Vind. addit κόλπῳ.

20) τὸν — μαντευσάμενον] De hoc prolixius egit Pauſan. L. III. C. 11.

21) οὗτός τε δὴ Ἱερώνυμος] Uterque Codex οὗτος δὲ ὁ Ἱερώνυμος.

1) προσποιοῦσιν] Ex Codice Moſc. Pauſaniae loquendi rationi

πία καὶ Πυθοῖ καὶ Νεμέα καὶ Ἰσθμῷ λάβοι ϛέφανον, ἡλικίαν οὐ πρόσω γεγονὼς ἐτῶν εἴκοσι. Τὸν δὲ παῖδα ϛαδιοδρόμον Ζήνωνα Καλλιτέλους ἐκ Λεπρέου τοῦ ἐν τῇ Τριφυλίᾳ Πυριλάμπης Μεσσήνιος[2]), Κλεινόμαχον δὲ Ἠλεῖον ὅστις ὁ ποιήσας ἐϛὶν, οὐκ ἴσμεν· ἀνηγορεύθη δὲ ὁ Κλεινόμαχος ἐπὶ νίκῃ πεντάθλου.
2 Πανταρκη δὲ Ἠλεῖον Ἀχαιῶν ἀνάθημα εἶναι, τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ φησιν· εἰρήνην τε γὰρ Ἀχαιοῖς ποιῆσαι καὶ Ἠλείοις αὐτὸν, καὶ ὅσοι παρ' ἀμφοτέρων πολεμούντων ἑαλώκεσαν, ἄφεσιν καὶ τούτοις γενέσθαι. καὶ δι' αὐτὸ οὗτος[3]) ἀνείλετο καὶ κέλητι ἵππων νίκην ὁ Πανταρκης, καί οἱ καὶ τῆς νίκης ὑπόμνημά ἐϛιν ἐν Ὀλυμπίᾳ. Ὀλίδαν δὲ ἀνέθηκεν Ἠλεῖον τὸ ἔθνος Αἰτωλῶν[4]). Χαρῖνος δὲ Ἠλεῖος ἐπὶ διαύλου τε ἀνάκειται καὶ ὅπλου νίκῃ[5]). Παρὰ δὲ αὐτὸν Ἀγέλης Χῖος κρατήσας πυγμῇ παῖδας,
3 Θεομνήϛου Σαρδιανοῦ τέχνη. Κλειτομάχου δὲ Θηβαίου[6]) τὴν μὲν εἰκόνα ἀνέθηκεν Ἑρμοκράτης ὁ τοῦ Κλει-

tioni convenienter hoc rescripsi pro vulgato προποιοῦσιν. Sic L. II. C. 26. p. 274., L. V. C. 5., L. X. C. 5. Paullo inferius pro ϛαδιοδρόμον uterque Codex dat ϛαδιοδρόμου.

2) Πυριλ. Μεσσήνιος] scil. ὁ ποιήσας ἐϛὶ, quae ex subsequentibus sunt revocanda.

3) καὶ δι' αὐτὸ οὗτος] Verba δι' αὐτὸ a sententia esse aliena, res ipsa docet. Quare *Kuhn.* emendandum censuit καὶ δὴ αὐτὸς οὗτος, *et is ipse sane etc.* Forte scribere praestet καὶ διαύλου οὗτος etc. Mox pro ἵππων Cod. Mosc. ἵππῳ, quod *Sylb.* praefert vulgatae. Sic enim supra C. 13. κέλητι ἵππῳ.

4) τὸ ἔθνος Αἰτ.] Cod. Mosc. τὸ ἔθνος τὸ Αἰτ.

5) ὅπλου νίκῃ] Itidem haec dictio paullo infra et C. 16. 17. pro ὅπλου τοῦ δρόμου νίκῃ. Idem vero hoc certaminis genus a Pausania varie enunciatur: τοῦ ὅπλου ὁ δρόμος supra C. 13., ubi vid. not.; δρόμος σὺν τῇ ἀσπίδι L. III. C. 14.; τῶν ὁπλιτῶν ὁ δρόμος L. V. C. 8. prope finem; ὁ ὁπλίτης δρόμος L. VI. C. 17.

6) Κλειτομάχου δὲ Θηβ.] Ejus victorias celebrat epigramma

Κλειτομάχου πατήρ. τὰ δέ οἱ ἐς δόξαν ἦν τοιάδε· ἐν Ἰσθμῷ παλαιστὰς κατεπάλαισεν ἄνδρας, καὶ ἐπὶ ἡμέρας τῆς αὐτῆς τούς τε τὴν πυγμὴν καὶ τοὺς ἐς τὸ παγκράτιον ἐσελθόντας[7]) ἐκράτει τῇ μάχῃ. αἱ δὲ Πυθοῖ νῖκαι παγκρατίου μέν εἰσιν αὐτῷ πᾶσαι, τρεῖς δὲ ἀριθμόν. ἐν δὲ Ὀλυμπίᾳ δεύτερος ὁ Κλειτόμαχος οὗτος μετὰ τὸν Θάσιον Θεαγένην[8]) ἐπὶ παγκρατίῳ τε ἀνηγορεύθη καὶ πυγμῇ. παγκρατίου μὲν οὖν μιᾷ πρὸς μʹ καὶ ρʹ ὀλυμπιάσιν[9]) ἔφθανεν ἀνῃρημένος νίκην. ἡ δὲ ὀλυμπιὰς ἡ ἐφεξῆς εἶχε μὲν τὸν Κλειτόμαχον τοῦτον παγκρατίου καὶ πυγμῆς ἀγωνιστήν· εἶχε δὲ καὶ Ἠλεῖον Κάπρον ἐπὶ ἡμέρας τῆς αὐτῆς παλαῖσαί τε ὁμοῦ καὶ παγκρατιάσαι προθυμούμενον. γεγονυίας δὲ ἤδη τῷ Κάπρῳ νίκης ἐπὶ τῇ πάλῃ[10]), ἀνεδίδασκεν ὁ Κλειτόμαχος τοὺς Ἑλλανοδίκας γενήσεσθαι σὺν τῷ δικαίῳ σφίσιν, εἰ τὸ παγκράτιον ἐσεκαλέσαντο[11]) πρὶν ἢ πυκτεύσαντα αὐτὸν λαβεῖν τραύματα. λέγει τε δὴ εἰκότα, καὶ οὕτως ἐσκληθέντος τοῦ παγκρατίου, κρατηθεὶς ὑπὸ



ma in Antholog. L. IV. et de ejus continentia vid. Aelian. Var Hist L. III. C. 30.

7) τους τε τὴν πυγμὴν — ἐσελθόντας] Recte *Kuhn*. notat, scribendum esse τούς τε ἐς τὴν πυγμήν etc. Ceterum haec omnia de Clitomacho Suidas ex nostro exhibet v. Κλειτόμαχος.

8) τὸν Θάσιον Θεαγένην] In Suida l. c. excidisse videtur Θεαγένην. De hoc Theagene vid. supra C. 11.

9) μιᾷ πρὸς μʹ καὶ ρʹ ὀλυμπιάσιν] Cod. Vind. μιᾷ πρὸς τεσσαράκοντα καὶ ἑκατὸν ὀλυμπιάσιν.

10) ἐπὶ τῇ πάλῃ] Restitui πάλῃ pro vulgata μάχῃ ex Codice Vindob. Paullo supra ἐκράτει τῇ μάχῃ dictum fuit de pancratio; hic autem de lucta sermonem esse, quae antecedunt, declarant.

11) γενήσεσθαι — εἰ τὸ παγκράτιον ἐσεκαλέσαντο] In Suida l. c. haec ita exhibentur: ὡς δίκαιον ἦν, εἰ εἰσεκαλέσαντο εἰς τὸ παγκράτιον.

τοῦ Κάπρου, ὅμως ἐχρήσατο [12]) ἐς τοὺς πύκτας θυμῷ τε ἐῤῥωμένῳ καὶ ἀκμῆτι τῷ σώματι. Ἐρυθραῖοι δὲ οἱ Ἴωνες Ἐπιθέρσην τὸν Μητροδώρου, δύο μὲν ἐν Ὀλυμπίᾳ πυγμῆς, δὶς δὲ Πυθοῖ νίκας καὶ ἐν Νεμέᾳ τε καὶ ἐν Ἰσθμῷ λαβόντα, οὗτοι μὲν τὸν Ἐπιθέρσην τοῦτον ἀνέθεσαν. Συρακούσιοι δὲ δύο μὲν Ἱέρωνος εἰκόνας τὸ δημόσιον, τρίτην δὲ ἀνέθεσαν οἱ τοῦ Ἱέρωνος παῖδες. ἐδήλωσα δὲ ὀλίγῳ πρότερον, ὡς ὁμώνυμός τε τῷ Δεινομένους ὁ Ἱέρων [13]) οὗτος καὶ Συρακουσῶν εἴη κατὰ ταυτὰ ἐκείνῳ τύραννος. Ἀνέθεσαν δὲ καὶ Ἠλεῖον ἄνδρα Τιμόπτολιν [14]) Λάμπιδος Παλεῖς, ἡ τετάρτη Κεφαλλήνων μοῖρα. οὗτοι δὲ οἱ Παλεῖς [15]) ἐκαλοῦντο Δουλίχιοι εἰς τὰ ἀρχαιότερα.
4 Ἀνάκειται δὲ καὶ Ἀρχίδαμος ὁ Ἀγησιλάου, καὶ ἀνὴρ ὅστις δὴ θηρεύοντος παρεχόμενος σχῆμα. Δημήτριον δὲ τὸν ἐλάσαντα ἐπὶ Σέλευκον στρατιᾷ καὶ ἁλόντα ἐν τῇ μάχῃ, καὶ τοῦ Δημητρίου τὸν παῖδα Ἀντίγονον, ἀναθήματα ἴστω τις Βυζαντίων ὄντας. Σπαρτιάτῃ δὲ Εὐτελίδῃ γεγόνασιν ἐν παισὶ νῖκαι δύο ἐπὶ τῆς ὀγδόης καὶ τριακοστῆς ὀλυμπιάδος πάλης, ἡ δὲ ἑτέρα πεντάθλου. πρῶτον γὰρ δὴ τότε οἱ παῖδες καὶ ὕστερον πενταθλήσοντες [16]) ἐσεκλήθησαν. ἔστι δὲ ἥ τε εἰκὼν

12) ὅμως ἐχρ.] Suidas ὁμοίως ἐχρ.

13) ἐδήλωσα — ὡς ὁμώνυμός τε τῷ Δεινομένους ὁ Ἱέρων] Inferui ex utroque Codice τῷ Δεινομένους, quae in vulgatis aberant. Sic fupra C. 12. init., ubi de hoc Hierone agit, ἀνήρ ἐστιν ὁμώνυμός τε τῷ Δεινομένους.

14) Τιμόπτολιν] Uterque Cod. Τιμόπολιν.

15) οὗτοι δὲ οἱ Παλεῖς etc.] Vide Strab. L. X. p. 700. A.

16) πρῶτον γὰρ δὴ τότε οἱ παῖδες καὶ ὕστερον πενταθλ.] Poft οἱ παῖδες *Amaf.* ex ingenio temere inferuit ἐς πάλην vel παλαίσοντας, interpretatus: *tunc enim luctatorum ac deinde quinquertionum ludicrum committebatur.* Illum autem a vera verborum fententia prorfus aberraffe,

εἰκὼν ἀρχαία τοῦ Εὐτελίδα, καὶ τὰ ἐπὶ τῷ βάθρῳ γράμματα ἀμυδρὰ ὑπὸ τοῦ χρόνου. Μετὰ δὲ τὸν 5
Εὐτελίδαν Ἀρεὺς αὖθις ὁ Λακεδαιμονίων βασιλεὺς, καὶ Ἠλεῖος παρ᾽ αὐτὸν ἀνάκειται Γόργος. μόνῳ δὲ ἀνθρώπων ἄχρις ἐμοῦ τῷ Γόργῳ τέσσαρες μὲν ἐν Ὀλυμπίᾳ γεγόνασιν [17]) ἐπὶ πεντάθλῳ, διαύλου δὲ καὶ ὅπλου μία ἐφ᾽ ἑκατέρου νίκη. Ὅτῳ δὲ παρε- 6
στήκασιν οἱ παῖδες, τοῦτον μὲν Πτολεμαῖον τὸν Λάγου φασὶν εἶναι· παρὰ δὲ αὐτὸν ἀνδριάντες δύο ἀνδρός εἰσιν Ἠλείου Κάπρου [18]) τοῦ Πυθαγόρου, πάλης τε εἰληφότος καὶ παγκρατίου στέφανον ἐπὶ ἡμέρας τῆς αὐτῆς. πρώτῳ δὲ γεγόνασιν ἀνθρώπων αἱ δύο νῖκαι τῷ Κάπρῳ τούτῳ. τὸν μὲν δὴ ἐπὶ τοῦ παγκρατίου καταγωνισθέντα ὑπ᾽ αὐτοῦ, δεδήλωκεν ὁ λόγος δή μοι· παλαίων δὲ κατέβαλεν Ἠλεῖον Παιάνιον ὀλυμπιάδα πάλῃ τὴν προτέραν ἀνῃρημένον, καὶ Πύθια παίδων τε πυγμῇ, καὶ αὖθις ἐν ἀνδράσι πάλῃ τε καὶ πυγμῇ στεφανωθέντα ἐπὶ ἡμέρας τῆς αὐτῆς. Κάπρῳ μὲν δὴ οὐκ ἄνευ μεγάλων πόνων καὶ ἰσχυρᾶς ταλαιπωρίας ἐγένοντο αἱ νῖκαι.

erraſſe, manifeſto liquet ex L. V. C. 9. init., ubi quoque Eutelidae et huius rei accuratior fit mentio. Scilicet ὕστερον hic non *poſtea* denotat, ſed *ultimum* (*ultima vice*). Heſych. ὕστερον — ἔσχατον, ubi v. not. Atque ſic Pauſaniae verborum ſententia haec eſt et eſſe debet; *tunc enim primum et ultimum* (prima et ultima vice) *pueri quinquertio committebantur.*

17) μόνῳ δὲ ἀνθρώπων ἄχρις ἐμοῦ — μὲν ἐν Ὀλυμπίᾳ γεγ. etc.] Sic hunc locum reſtitui perperam ita vulgatum: ὅμως δὲ ἀ. ἄχρις ὁμοῦ τῷ Γόργῳ τέσσαρες μὲν Ὀλυμπίαι γεγ. etc. Ex *Amaſaei* interpretatione ſcripſi μόνῳ. Similiter paullo infra πρώτῳ δὲ γεγόνασιν ἀνθρώπων. Ex utroque Codice ἐμοῦ dedi, et ἐν Ὀλυμπίᾳ partim de meo, partim ex Cod. Moſc., qui exhibet μὲν Ὀλυμπίᾳ.

18) ἀνδρός εἰσιν Ἠλείου Κ.] Ex utroque Codice inſerui Ἠλείου, quod exciderat.

## CAPUT XVI.

Athletarum ſigna Olympiae — Timonis — Hellados et Elidis ſigna — de equeſtri curriculo — curru Polypithis et ſignis Eleorum, qui athletae non fuerunt — pila Dinoſthenis, quae viam ex Olympia Lacedaemonem metitur — aliorum athletarum ſignis.

Εἰσὶ εἰκόνες ἐν Ὀλυμπίᾳ καὶ Ἀναυχίδᾳ καὶ Φερε-
νίκῳ, γένος μὲν Ἠλείοις, πάλης δὲ ἐν παισὶν ἀνελο-
μένοις στεφάνους. Πλείσταινον δὲ τὸν Εὐρυδάμου τοῦ
ἐναντία Γαλατῶν στρατηγήσαντος Αἰτωλοῖς Θεσπιεῖς
εἰσιν οἱ ἀναθέντες. Τυδεὺς δὲ Ἠλεῖος Ἀντίγονόν τε
τὸν Δημητρίου πατέρα καὶ Σέλευκον ἀνέθηκε. Σελεύ-
κου δὲ ἐς ἅπαντας ἦρθη τὸ ὄνομα ἀνθρώπους, ἄλλων
τε εἵνεκα καὶ διὰ τὴν Δημητρίου μάλιστα ἅλωσιν [1]).
2 Τίμωνι δὲ ἀγώνων τε νῖκαι τῶν ἐν Ἕλλησιν ὑπάρχου-
σιν ἐπὶ πεντάθλῳ, πλὴν τοῦ Ἰσθμικοῦ. τούτου δὲ
τῷ μὴ ἀγωνιστὴν γενέσθαι [2]), κατὰ τὰ αὐτὰ Ἠλείοις
τοῖς ἄλλοις εἴργετο. καὶ τάδε ἄλλα φησὶ τὸ ἐς
αὐτὸν ἐπίγραμμα, Αἰτωλοῖς αὐτὸν ἐπὶ στρατείᾳ
μετασχεῖν [3]) ἐπὶ Θεσσαλοὺς, καὶ φρουρᾶς ἡγεμόνα
3 ἐν Ναυπάκτῳ φιλίᾳ γενέσθαι τῇ ἐς Αἰτωλούς. Τίμω-
νος δὲ οὐ πόρρω τῆς εἰκόνος Ἑλλάς τε δὴ καὶ Ἦλις
παρὰ τὴν Ἑλλάδα, ἡ μὲν Ἀντίγονον [4]) τὸν ἐπιτροπεύ-
σαντα Φιλίππου τοῦ Δημητρίου, τῇ δὲ ἑτέρᾳ τῶν
χειρῶν

1) καὶ διὰ — ἅλωσιν] Vide ſupra L. I. C. 16.

2) τούτου δὲ τῷ μὴ ἀγωνιστὴν γενέσθαι] Dativus τῷ abhorret a conſtructione, quare *Sylb.* τὸ legendum eſſe conjicit. Equidem mallem ſcribere τοῦ. Cod. Moſc. exhibet ἀγωνιστής.

3) ἐπὶ στρατείᾳ μετασχεῖν] Nec ἐπὶ cum *Kuhnio* delendum, nec ἐπιστρατείας legendum, ſed ἐπὶ στρ. mihi dictum eſſe videtur pro στρατείας, qui genitivus alias jungitur cum μετασχεῖν.

4) ἡ μὲν Ἀντίγονον etc.] Scribendum eſſe puto τῇ μὲν, ut reſpon-

χειρῶν τὸν Φίλιππον στεφανοῦσα αὐτόν· ἡ δὲ Ἦλις Δημήτριον[5]) τὸν στρατεύσαντα ἐπὶ Σέλευκον καὶ Πτολεμαῖον τὸν Λάγου στεφανοῦσά ἐστιν. Ἀριστείδῃ δὲ Ἠλείῳ γενέσθαι μὲν ὅπλου νίκην ἐν Ὀλυμπίᾳ, γενέσθαι δὲ καὶ διαύλου Πυθοῖ, τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῷ δηλοῖ, Νεμείων τε ἐν παισὶν ἐπὶ τῷ ἱππείῳ. Δρόμου δέ εἰσι[6]) τοῦ ἱππίου, μῆκος μὲν δίαυλοι δύο· 4
ἐκλειφθέντα ἐκ Νεμείων τε καὶ Ἰσθμίων αὐτὸν, βασιλεὺς Ἀδριανὸς ἐς Νεμείων ἀγῶνα τῶν χειμερινῶν[7]) ἀπέδωκεν Ἀργείοις. Τοῦ δὲ Ἀριστείδου ἐγγύτατα Μενάλκης[8]) ἕστηκεν Ἠλεῖος, ἀναγορευθεὶς Ὀλυμπιάσιν ἐπὶ πεντάθλῳ, καὶ Φιλωνίδης Ζώτου, γένος μὲν[9]) ἐκ Χερρονήσου τῶν Κρητῶν, Ἀλεξάνδρου δὲ ἡμεροδρόμος[10]) τοῦ Φιλίππου. Μετὰ δὲ[11]) τοῦτον Βριμίας ἐστὶν Ἠλεῖος, κρατήσας ἄνδρας πυγμῇ· Λεω-

reſpondeat τῇ δὲ ἑτέρᾳ τ. κ. De hoc Antigono, Doſone dicto, vide Plutarch. Aemil. ſ. 8., et de pace in tota Graecia ab eo conſtituta Polyb. L. IV.

5) ἡ δὲ Ἦλις Δημήτριον etc.] Forte hoc referri poſſit ad Elidem in libertatem vindicatam a Ptolemaeo, Antigoni duce, de quo vide Diodor. L. XIX. ſ. 87.

6) ἐπὶ τῷ ἱππείῳ. Δρόμου δέ εἰσι etc.] Cod. Moſc. ἱππίῳ. Pro mendoſe vulgata δρόμοι reſtitui δρόμου ex Cod. Moſc., quod *Sylb.* jam conjecerat. Cod. Vindob. dat δρόμῳ, unde genuinam lectionem fuiſſe ſuſpicor: ἐπὶ τῷ ἱππείῳ δρόμῳ. Δρόμου δέ etc. Non enim *locum* denotari per ἱππείῳ, uti *Kuhnius* putat, ſed *curſus genus*, ex ipſis Pauſaniae verbis manifeſto liquet. Mox pro ἐκλειφθέντα ἐκ cum *Amaſaeo* et *Sylb.* mallem reſcribere ἐκλειφθέντα δ' ἐκ.

7) τῶν χειμερινῶν] *Sylb.* conjicit τὸν χειμερινόν. Sed vulgata praefero.

8) Μενάλκης] Cod. Moſc. Μενάκλης.

9) Ζώτου, γένος μὲν] Pro γένος μὲν uterque Codex dat γενόμενος, et pro Ζώτου Cod. Vind. τούτου. Sic poſt Φιλωνίδης interpungendum eſſet.

10) ἡμεροδρόμος] De his vide Suidam h. v. et ibi Kuſter.

11) Μετὰ δὲ] Reſtitui δὲ ex utroque Codice.

Λεωνίδα τε[12]) ἐκ Νάξου τῆς ἐν τῷ Αἰγαίῳ, Ψωφι-
δίων ἀνάθημα Ἀρκάδων· Ἀσάμωνός τε εἰκὼν ἐν ἀν-
δράσι πυγμῇ νενικηκότος· ἡ δὲ Νικάνδρου, διαύλου
μὲν δύο ἐν Ὀλυμπίᾳ, Νεμείων δ' ἀναμὶξ ἐπὶ δρόμῳ
νίκας ἓξ ἀνῃρημένου. ὁ δὲ Ἀσάμων καὶ ὁ Νίκανδρος
Ἠλεῖοι μὲν ἦσαν· πεποίηκε δὲ τῷ μὲν[13]) Δαΐππος τὴν
εἰκόνα, Ἀσάμωνι δὲ Πυριλάμπης Μεσσήνιος. Εὐάλ-
κιδι δὲ Ἠλείῳ καὶ Σελεάδᾳ Λακεδαιμονίῳ, τῷ μὲν
ἐν παισὶν ἐγένοντο πυγμῆς νῖκαι, Σελεάδᾳ δὲ ἀνδρῶν
5 πάλης. Ἐνταῦθα καὶ ἅρμα οὐ μέγα ἀνάκειται
Πολυπείθους[14]) Λάκωνος, καὶ ἐπὶ στήλης τῆς αὐτῆς
Καλλιτέλης ὁ τοῦ Καλλιπείθους πατήρ, παλαιστὴς
ἀνήρ· νῖκαι δέ σφισι, τῷ μὲν ἵπποις, Καλλιτέλει
δὲ παλαίσαντί εἰσιν. Ἰδιώτας δὲ ἄνδρας Ἠλείους,
Λάμπον Ἀρνίσκου, καὶ Ἀρίσταρχον, Ψωφίδιοι[15])
προξένους ὄντας σφίσιν ἀνέθεσαν, ἢ καὶ ἄλλην τινὰ
ἐς αὐτοὺς ἔχοντας εὔνοιαν. μέσος δὲ ἕστηκεν αὐτῶν
Λύσιππος Ἠλεῖος, καταπαλαίσας τοὺς ἐσελθόντας
τῶν παίδων· Ἀνδρέας δὲ Ἀργεῖος ἐποίησε τοῦ Λυ-
6 σίππου τὴν εἰκόνα. Λακεδαιμονίῳ δὲ Δεινοσθένει
σταδίου τε ἐγένετο ἐν ἀνδράσιν Ὀλυμπικὴ νίκη· καὶ
στήλην ἐν τῇ Ἄλτει παρὰ τὸν ἀνδριάντα ἀνέθηκεν ὁ
Δεινοσθένης· ὁδοῦ δὲ τῆς ἐς Λακεδαίμονα ἐξ Ὀλυμ-
πίας ἐπὶ ἑτέραν στήλην τὴν ἐν Λακεδαίμονι μέτρα

εἶναι

12) Λεωνίδα τε] Ex sequentibus supple εἰκών. Sed *Sylb.* mavult Λεωνίδας. Cod. Vind. Νεωνίδα, et Mosc Γεωνίδα. De Psophidiis plura L. VIII. C. 24.

13) τῷ μὲν] Cod. Vind τοῦ μὲν, et mox Εὐαλκίδῃ pro Εὐάλκιδι.

14) Πολυπείθους] Cod. Vind. Πολυπένθους.

15) Ἠλείους, Λάμπον — Ψωφίδιοι] Uterque Cod male Ἠλείοις, et Vind. Λάμπων. Pro Ψωφίδιοι uterque Cod. Ψωφίδιον.

εἶναι[16]) σταδίους ἑξήκοντά τε καὶ ἑξακοσίους. Θεό- 7
δωρον δὲ λαβόντα ἐπὶ πεντάθλῳ νίκην, καὶ Πύττα-
λον Λάμπιδος πυγμῇ παῖδας κρατήσαντα, καὶ
Νελαΐδαν σταδίου τε ἀνελόμενον καὶ ὅπλου στέφανον,
Ἠλείους σφᾶς ὄντας ἴστω τίς. Ἐπὶ δὲ τῷ Πυττάλῳ
καὶ τάδε ἔτι λέγουσιν, ὡς γενομένης πρὸς Ἀρκάδας
Ἠλείοις ἀμφισβητήσεως περὶ γῆς ὅρων, εἶπεν οὗτος
ὁ Πύτταλος τὴν δίκην· ὁ δὲ οἱ ἀνδριὰς ἔργον ἐστὶν
Ὀλυνθίου Σθένιδος. Ἐφεξῆς δὲ Πτολεμαῖός τέ
ἐστιν ἀναβεβηκὼς ἵππον, καὶ παρ' αὐτὸν Ἠλεῖος
ἀθλητὴς Παιάνιος ὁ Δαματρίου, πάλης τε ἐν Ὀλυμ-
πίᾳ καὶ τὰς δύο Πυθικὰς ἀνῃρημένος νίκας. Κλεά-
ρεστός[17]) τέ ἐστιν Ἠλεῖος πεντάθλου λαβὼν στέφανον·
καὶ ἅρμα ἀνδρὸς Ἀθηναίου Γλαύκωνος τοῦ Ἐτεο-
κλέους· ἀνηγορεύθη δὲ ὁ Γλαύκων οὗτος ἐπὶ ἅρματος
τελείου δρόμῳ.

## CAPUT XVII.

Athletarum signa ab alia Altis parte posita — Ptolemaei, nepotis Ptolem. Lagi, signum — Hermesianactis — Eperasti vatis — Gorgiae rhetoris signum et de eo memoranda.

Ταῦτα μὲν δὴ τὰ ἀξιολογώτατα ἀνδρὶ ποιουμένῳ τὴν ἔφοδον ἐν τῇ Ἄλτει κατὰ τὰ ἡμῖν εἰρημένα. εἰ δὲ ἀπὸ τοῦ

16) μέτρα εἶναι] Excidisse videtur λέγεται vel λέγουσι, unde hic infinitivus pendere possit; illum enim ad antecedens ἀνέθηκεν referri posse, vix credo.

17) Κλεάρεστος] Cod. Mosc. Κλεάρετός.

τοῦ Λεωνίδου [1]) πρὸς τὸν βωμὸν τὸν μέγαν [2]) ἀφικέσθαι τῇ δεξιᾷ θελήσειας, τοσάδε ἐςί σοι τῶν ἀνηκόντων ἐς μνήμην. Δημοκράτης Τενέδιος, καὶ Ἠλεῖος Κριάνιος· οὗτος μὲν ὅπλου λαβὼν νίκην [3]), Δημοκράτης δὲ ἀνδρῶν πάλης. ἀνδριάντας δὲ τοῦ μὲν Μιλήσιος Διονυσικλῆς, τοῦ δὲ Κριανίου Μακεδὼν Λῦσος ἐςιν ὁ ἐργασάμενος. Κλαζομενίου δὲ Ἡροδότου καὶ Φιλίνου τοῦ Ἡγεπόλιδος Κώου ἀνέθεσαν τὰς εἰκόνας αἱ πόλεις· Κλαζομένιοι μὲν, ὅτι ἐν Ὀλυμπίᾳ Κλαζομενίων πρῶτος ἀνηγορεύθη νικῶν Ἡρόδοτος· ἡ δέ οἱ νίκη ςαδίου γέγονεν ἐν παισί· Φιλίνου δὲ [4]) οἱ Κῷοι δόξης ἕνεκα ἀνέθεσαν. ἐν μέν γε Ὀλυμπίᾳ δρόμου γεγόνασιν αὐτῷ νῖκαι πέντε, τέσσαρες δὲ Πυθοῖ, καὶ ἴσαι Νεμείων, ἐν δὲ Ἰσθμῷ μία ἐπὶ ταῖς δέκα.

2 Πτολεμαῖον δὲ τοῦ Πτολεμαίου τοῦ Λάγου Ἀριςόλαος ἀνέθηκε Μακεδὼν ἀνήρ. Ἀνάκειται δὲ καὶ πύκτης κρατήσας ἐν παισὶ, Βούτας Πολυνείκους Μιλήσιος, καὶ Καλλικράτης ἀπὸ τῆς ἐπὶ Ληθαίῳ Μαγνησίας, ἐπὶ τῷ ὁπλίτῃ δρόμῳ ςεφάνους δύο ἀνῃρημένος· Λυσίππου δὲ ἔργον ἡ τοῦ Καλλικράτους ἐςὶν εἰκών. Ἐμαυτίωνι [5]) δὲ καὶ Ἀλεξιβίῳ, τῷ μὲν ἐν παισὶ ςαδίου, Ἀλεξιβίῳ δὲ πεντάθλου γέγονε νίκη· καὶ Ἡρα τε Ἀρκάδων [6]) ἐςὶν αὐτῷ πατρὶς, καὶ Ἀκέ-

ςωρ

1) ἀπὸ τοῦ Λεωνίδου] scil. ἀναθήματος. At Λεωνιδαίου rectius scribendum esse, ex L. V. C. 15. init. patet.

2) τὸν βωμὸν τ. μ.] Cod. Vind. τὸν ναὸν τ. μ. Vulgatam tamen retinendam esse, magnae illius arae descriptio declarat, quam L. V. C. 13. legimus.

3) ὅπλου λ. ν.] Ex Codice Mosc. ὅπλου rescripsi pro vulgata ὅπλων. Vide not. ad h. Libri C. 15.

4) Φιλίνου δὲ] scil. τὴν εἰκόνα. Sed Cod. Mosc. dat Φιλῖνον.

5) Ἐμαυτίωνι] Uterque Cod. hic et infra Ἐμαντ.

6) Ἡρα τε Ἀρκ.] Scribendum esse Ἡραια, ex ipso Pau-

sania

ϛῶρ ὁ τὴν εἰκόνα εἰργασμένος· Ἐμαυτίωνα δὲ ἥςτινος ἦν, οὐ δηλοῖ [7]) τὸ ἐπίγραμμα· ὅτι δὲ τοῦ Ἀρκάδων ἦν ἔθνους [8]), δηλοῖ. Κολοφώνιοι δὲ Ἑρμησιάναξ [9]) 3
Ἀγονέου, καὶ Εἰκάσιος Λυκίνου τε ὢν καὶ τῆς Ἑρμησιάνακτος θυγατρὸς, κατεπάλαισαν μὲν παῖδας ἀμφότεροι· Ἑρμησιάνακτι δὲ καὶ ἀπὸ τοῦ κοινοῦ τοῦ Κολοφωνίων ὑπῆρξεν ἀνατεθῆναι τὴν εἰκόνα. Τούτων δέ εἰσιν Ἠλεῖοι πλησίον πυγμῇ παῖδας κρατήσαντες, ὁ μὲν Σθένιδος ἔργον τοῦ Ὀλυνθίου Χοίριλος [10]), Θεότιμος δὲ Δαιτώνδα Σικυωνίου. παῖς δὲ ὁ Θεότιμος ἦν Μοσχίωνος, Ἀλεξάνδρῳ τῷ Φιλίππου τῆς ἐπὶ Δαρεῖον καὶ Πέρσας ϛρατείας μετασχόντος. Δύο δὲ 4
αὖθις ἐξ Ἤλιδος, Ἀρχίδαμος τεθρίππῳ νενικηκὼς, καὶ Ἐπέραςός ἐςιν ὁ Θεογόνου, ὅπλου νίκην ἀνῃρημένος. εἶναι δὲ καὶ μάντις ὁ Ἐπέραςος τοῦ Κλυτιδῶν γένους. [11]) Φησὶν ἐπὶ τοῦ ἐπιγράμματος τῇ τελευτῇ·

Τῶν

ſania L. III. C. 8. et L. VIII. C. 26., nec non ex Strabone et Stephano patet.

7) Ἐμαυτίωνα δὲ ἥςτινος ἦν, οὐ δηλοῖ etc.] Cum nomen deſit, ad quod ἥςτινος referatur, *Sylb*. pro eo οὗτινος, ſc. πλάςου, ſcribendum eſſe cenſet Equidem mallem emendare ὅςις ἦν, ſcil. ὁ εἰργασμένος. At Cod. Moſc. huic difficultati alia ratione medetur, exhibens Ἡςῖνος ἦν (ſcil. ὁ εἰργασμένος), ὡς δηλοῖ etc.

8) ἔθνους] Ex utroque Codice reſtitui pro vulgata ἔθνος.

9) Ἑρμησιάναξ] Vid. ſupra not. 12. ad L. I. C. 9.

10) ὁ μὲν Σθένιδος — Χοίριλος] Vulgatum fuit Χοιρίλου; pro quo repoſui Χοίριλος, re ipſa flagitante. Sthenis enim non pugil, ſed ſtatuarius fuit, qui Cap. praeced. in fine memoratur; unde apparet, *Amaſ.* iſta perperam interpretatum eſſe: *Sthenis, Olynthii Choerili opus.*

11) τοῦ Κλυτιδῶν γ.] Philoſtrato Vit. Apoll. L. V. C. 25. dicuntur Κλυτιάδαι. De qua vatum familia vide ſupra not. 6. ad L. III. C. 11.

Τῶν δ' ἱερογλώσσων Κλυτιδᾶν γένος εὔχομαι εἶναι
Μάντις, ἀπ' ἰσοθέων αἷμα Μελαμποδιδᾶν.

Μελάμποδος γὰρ ἦν τοῦ Ἀμυθάονος Μάντιος, τοῦ δὲ Ὀϊκλῆς [12]. Κλύτιος δὲ Ἀλκμαίωνος τοῦ Ἀμφιαράου τοῦ Ὀϊκλέους. ἐγεγόνει δὲ τῷ Ἀλκμαίωνι ὁ Κλύτιος ἐκ τῆς Φηγέως θυγατρὸς [13], καὶ ἐς τὴν Ἦλιν μετῴκησε, τοῖς ἀδελφοῖς εἶναι τῆς μητρὸς σύνοικος φεύγων [14], ἅτε τοῦ Ἀλκμαίωνος ἐπιστάμενος σφᾶς εἰργασμένους τὸν φόνον. Ἀνδριάντας δὲ ἀναμεμιγμένους οὐκ ἐπιφανέσιν [15] ἄγαν ἀναθήμασιν, Ἀλεξίνικόν τε Ἠλεῖον, τέχνην [16] τοῦ Σικυωνίου Κανθάρου, πάλης ἐν παισὶν ἀνῃρημένον νίκην, καὶ τὸν Λεοντῖνον Γορ-

12) Μελάμποδος — Μάντιος, τι δὲ Ὀϊκλῆς] De Melampode vate vide Apollodor. L. I. C. 9. ſ. 11. et ibi Heyne V. C. Μάντιος etiam Homero Melampodis filius eſt Odyſſ. ο. v. 242.:

γείνατο δ' Ἀντιφάτην καὶ Μάντιον, υἷε κραταιώ.

Sed poſtea confuſa videntur nomina Μάντιος (Μάντις), Μαντὼ (Μαντοῦς). Diodoro enim L. IV. ſ. 68. Melampodis liberi dicuntur Antiphates et Manto, quae aliis Tireſiae filia eſt. Pro vulgato Ἰοκλῆς et mox Ἰοκλέους repoſui Ὀϊκλ. ex Homero Odyſſ. ο. v. 243., ubi tamen Antiphatis filius dicitur, et ex aliis; frequens vero hoc librariorum peccatum in nomine Ὀϊκλῆς deprehendi, jam plures viri docti notarunt.

13) ἐκ τῆς Φηγέως θυγατρὸς] Haec Phegei filia Pauſaniae L. VIII. C. 24. dicitur Alpheſiboea, et Apollodoro L. III. C. 7. ſ. 5. Arſinoë.

14) μετῴκησε, τοῖς — φεύγων etc.] τῷ, quod poſt μετῴκησε mendoſe vulgatum fuit, Codicis Vindob. auctoritate delevi. De Alcmaeonis caede vide Pauſan. L. VIII. C. 24. et Apollodor. L. III. C. 7. ſ. 5.

15) ἐπιφανέσιν] Cod. Vind. ἐπιφανεῖς, quod bene ferri poteſt.

16) τέχνην] Uterque Cod. τέχνη, omiſſa voce τὴν, quae poſt τέχνην vulgata fuit; quare illam ſuſtuli.

Γοργίαν[17]) ἰδεῖν ἐστιν· ἀναθεῖναι δὲ τὴν εἰκόνα ἐς Ὀλυμπίαν φησὶν Εὔμολπος ἀπόγονος τρίτος Δηϊκράτους συνοικήσαντος ἀδελφῇ τῇ Γοργίου. οὗτος ὁ Γοργίας πατρὸς μὲν ἦν Καρμαντίδου, λέγεται δὲ ἀνασώσασθαι μελέτην λόγων πρῶτος ἠμελημένην τε ἐς ἅπαν, καὶ ἐς λήθην ὀλίγοις δὲ[18]) ἥκουσαν ἀνθρώποις. εὐδοκιμῆσαι δὲ Γοργίαν λόγων εἵνεκα ἔν τε πανηγύρει τῇ Ὀλυμπικῇ φασι, καὶ ἀφικόμενον κατὰ πρεσβείαν ὁμοῦ Τισίᾳ παρ' Ἀθηναίους[19]). καί τοι ἄλλα τε Τισίας ἐς λόγους ἐσηνέγκατο, καὶ πιθανώτατα τῶν καθ' αὐτὸν γυναικὶ Συρακουσίᾳ χρημάτων ἔγραψεν ἀμφισβήτησιν· ἀλλά γε ἐκείνου ἐς πλέον τιμῆς ἀφίκετο ὁ Γοργίας παρὰ Ἀθηναίοις. καὶ Ἰάσων[20]) ἐν Θεσσαλίᾳ τυραννήσας, Πολυκράτους[21]) οὐ τὰ ἔσχατα ἐνεγκαμένου διδασκαλείου τοῦ Ἀθήνησι, τούτου τοῦ ἀνδρὸς ἐπίπροσθεν αὐτὸν ὁ Ἰάσων ἐποιήσατο. βιῶσαι δὲ[22]) ἔτη Γοργίαν πέντε φασὶν ἐπὶ τοῖς ἑκατόν. Λεοντίνων δὲ ἐρημωθεῖσάν ποτε ὑπὸ Συρακουσίων τὴν πόλιν κατ' ἐμὲ αὖθις συνέβαινεν οἰκεῖσθαι.

17) Λεοντῖνον Γοργίαν] De hoc claro oratore multi multa, ex quibus inprimis videndus Philostrat. Vit. Sophist. L. I. C. 9.

18) ὀλίγοις δὲ] Et δὲ alieno loco esse, et sententiam verbis ἠμελ. τε ἐς ἅπαν repugnare, statim patet. Sed *Kuhn.* admodum docte et ingeniose emendat ὀλίγου δεῖν, *propemodum.*

19) καὶ ἀφικόμενον — Ἀθηναίους] De hoc vid. Diodor. L. XII. f. 53. et Plato in Hipp. maj.

20) Ἰάσων] De Jasone, Pherarum in Thessalia domino, vide Diodor. L. XV f. 57. 60. et Perizon. ad Aelian. Var. Hist. L. XI. C. 9.

21) Πολυκράτους] De hoc oratore Atheniensi vid. Suid. h. v. et Perizon. ad Aeliani Var. Hist. L. XI. C. 10.

22) βιῶσαι δὲ etc.] Variat numerus annorum aetatis Gorgiae; vide Menag. ad Diog. Laërt. VIII. f. 58. et Olear. ad Philostr. Vit. Soph. p. 494.

## C A P U T XVIII.

Cratisthenis Cyrenaei currus Olympiae positus — Anaximenis, rhetoris et historici, signum, ac de ejus ad Alexandrum Magnum legatione — de ejus cum Theopompo simultate — Sotadae signum — primorum athletarum signa.

Ἔϛι δὲ καὶ τοῦ Κυρηναίου Κρατισθένους χαλκοῦν ἅρμα· καὶ Νίκη τε ἐπιβέβηκε τοῦ ἅρματος, καὶ αὐτὸς ὁ Κρατισθένης. δῆλα μὲν δὴ ὅτι ἵππων γέγονεν αὐτῷ νίκη· λέγεται δὲ καὶ, ὡς Μνασέου τοῦ δρομέως, ἐπικληθέντος δὲ ὑπὸ Ἑλλήνων Λίβυος, εἴη παῖς ὁ Κρατισθένης. τὰ δὲ ἀναθήματα αὐτῷ τὰ ἐς Ὀλυμπίαν
2 ἐϛὶ τοῦ Ῥηγίνου Πυθαγόρου τέχνη. Ἐνταῦθα καὶ Ἀναξιμένους [1]) οἶδα εἰκόνα ἀνευρὼν, ὃς τὰ ἐν Ἕλλησιν ἀρχαῖα [2]) καὶ ὅσα Φίλιππος ὁ Ἀμύντου καὶ ὕϛερον Ἀλέξανδρος εἰργάσατο, συνέγραψεν ὁμοίως ἅπαντα· ἡ δέ οἱ τιμὴ γέγονεν ἐν Ὀλυμπίᾳ παρὰ τῶν Λαμψακηνῶν τοῦ δήμου. ὑπελείπετο δὲ Ἀναξιμένης τοσάδε ἐς μνήμην. βασιλέα γὰρ οὐ τὰ πάντα ἤπιον, ἀλλὰ καὶ τὰ μάλιϛα θυμῷ χρώμενον Ἀλέξανδρον τὸν Φιλίππου, τέχνῃ περιῆλθε [3]) τοιᾷδε. Λαμψακηνῶν τὰ βασιλέως τοῦ Περσῶν φρονησάντων, ἢ καὶ αἰτίαν φρονῆσαι λαβόντων [4]), ὁ Ἀλέξανδρος ἅτε

1) Ἀναξιμένους] Vide plura de eo in Suida h. v., qui Pausaniam exscripsit, Menag. not. ad Diog. Laërt. L. II. C. 3. et Voss. de Hist. Gr. L. I. 10.

2) τὰ ἐν Ἕλλησιν ἀρχαῖα] Haec inscripta fuere πρώτη Ἑλληνικῶν, uti in Diodoro legimus L. XV. f. 89. in fine, ubi vid. Wesseling.

3) περιῆλθε] *circumvenit.* Suidas l. c. male exhibet περιεῖλε.

4) λαβόντων] Uterque Cod. λαβόντας, et paullo infra cum Suida ἐργάσασθαι pro ἐργάσεσθαι.

ἅτε ὑπερζέων ἐς αὐτοὺς τῇ ὀργῇ, κακῶν ἠπείλει τὰ
μέγιστα ἐργάσεσθαι. οἱ δὲ ἅτε θέοντες περὶ [5]) γυναι-
κῶν τε καὶ παίδων καὶ αὐτῆς πατρίδος, ἀποστέλλου-
σιν Ἀναξιμένην ἱκετεύειν, Ἀλεξάνδρῳ τε αὐτῷ καὶ
ἔτι Φιλίππῳ πρότερον γεγονότα ἐν γνώσει. προσήει
τε ὁ Ἀναξιμένης, καὶ τὸν Ἀλέξανδρον πεπυσμένον,
καθ᾽ ἥντινα αἰτίαν ἥκοι [6]), κατομόσασθαί φασιν
ἐπονομάζοντα θεοὺς τοὺς Ἑλλήνων, ἦ μὴν αὐτοῦ ταῖς
δεήσεσιν ὁπόσα ἐστὶν ἐναντία ἐργάσεσθαι. ἔνθα δὴ
εἶπεν Ἀναξιμένης· χαρίσασθαί [7]) μοι τήνδε, ὦ βασι-
λεῦ, τὴν χάριν, ἐξανδραποδίσασθαι μὲν γυναῖκας καὶ
τέκνα Λαμψακηνῶν, καταβαλεῖν δὲ καὶ ἐς ἔδαφος
τὴν πόλιν πᾶσαν, τὰ δὲ ἱερὰ τῶν θεῶν σφισιν ἐμ-
πρῆσαι. ὁ μὲν ταῦτα ἔλεγεν. Ἀλέξανδρος δὲ οὔτε
πρὸς τὸ σόφισμα ἀντιμηχανήσασθαί τι εὑρίσκων, καὶ
ἐνεχόμενος τῇ ἀνάγκῃ τοῦ ὅρκου, συγγνώμην ἔνεμεν
οὐκ ἐθέλων Λαμψακηνοῖς. Φαίνεται δὲ καὶ ἄνδρα 3
ὁ Ἀναξιμένης ἐχθρὸν οὐκ ἀμαθέστατα, ἀλλὰ καὶ
ἐπιφθονώτατα ἀμυνάμενος. ἐπεφύκει μὲν αὐτὸς
σοφιστὴς, καὶ σοφιστῶν λόγους μιμεῖσθαι· ὡς δέ οἱ
διάφορα ἐς Θεόπομπον ἐγεγόνει τὸν Δαμασιστράτου [8]),
γράφει βιβλίον ἐς Ἀθηναίους, καὶ ἐπὶ Λακεδαιμο-
νίους ὁμοῦ καὶ Θηβαίους συγγραφὴν λοίδορον.

N 2 ὡς

5) ἅτε θέοντες περὶ] Ex Cod. Vind. et ex Suida l. c. reposui θέοντες pro vulgata δέοντες, quae a constructione cum περὶ et a sensu abhorrebat. θέειν περί τινος est *discrimen adire alicujus rei*, *pugnare de aliqua re*; vide interpret. ad Suidae l. c.

6) ἥκοι] In Suida est ἥκει et paullo infra pro θεοὺς τοὺς Ἑλλ. Cod. Vind. exhibet θεοὺς τῶν Ἑλλ., ac pro ἐργάσεσθαι Cod. Mosc. ἐργάζεσθαι.

7) χαρίσασθαί] Suidas dat χαρίσαι, quae genuina mihi fuisse videtur lectio.

8) Θεόπομπον — Δαμασιστράτου] De hoc vid. supra not. 7. ad L. III. C. 10.

ὡς δὲ ἦν ἐς τὸ ἀκριβέστατον αὐτῷ μεμιμημένα, ἐπι-
γράψας τοῦ Θεοπόμπου τὸ ὄνομα τῷ βιβλίῳ, διέ-
πεμπεν ἐς τὰς πόλεις. καὶ αὐτός τε συγγεγραφὼς ἦν,
καὶ τὸ ἔχθος τὸ ἐς Θεόπομπον ἀνὰ πᾶσαν τὴν Ἑλλάδα
ἐπηύξετο. οὐ μὴν οὐδὲ εἰπεῖν τις αὐτοσχεδίως Ἀναξι-
μένους πρότερός [9]) ἐστιν εὑρηκώς. τὰ ἔπη δὲ τὰ ἐς
Ἀλέξανδρον οὔ μοι πιστά ἐστιν Ἀναξιμένη τὸν ποιήσαντα
4 εἶναι. Σωτάδης δὲ ἐπὶ δολιχοῦ νίκαις ὀλυμπιάδι μὲν
ἐννάτῃ καὶ ἐννενηκοστῇ Κρὴς, καθάπερ γε καὶ ἦν, ἀνερ-
ρήθη· τῇ ἐπὶ ταύτῃ δὲ λαβὼν χρήματα παρὰ τοῦ
Ἐφεσίων κοινοῦ, Ἐφεσίοις εἰσεποίησεν αὐτόν· καὶ
αὐτὸν ἐπὶ τῷ ἔργῳ φυγῇ ζημιοῦσιν οἱ Κρῆτες.
5 Πρῶτοι δὲ ἀθλητῶν ἀνέθεσαν ἐς Ὀλυμπίαν εἰκόνας,
Πραξιδάμαντός τε Αἰγινήτου νικήσαντος πυγμὴν τὴν
ἐννάτην ὀλυμπιάδα [10]) ἐπὶ ταῖς πεντήκοντα· καὶ
Ὀπουντίου Ῥηξιβίου παγκρατιαστὰς καταγωνισα-
μένου, μιᾷ πρὸς ταῖς ἑξήκοντα ὀλυμπιάδι. κεῖνται
μὲν αἱ εἰκόνες [11]) οὐ πρόσω τῆς Οἰνομάου κίονος,
ξύλου δέ εἰσιν εἰργασμέναι, Ῥηξιβίου μὲν συκῆς,
ἡ δὲ τοῦ Αἰγινήτου κυπαρίσσου, καὶ ἧσσον τῆς ἑτέρας
πεπονηκυῖά ἐστιν.

9) πρότερός] Cod. Mosc. πρότερόν, et mox Ἀναξιμένην pro Ἀναξιμένη.

10) νικήσαντος πυγμὴν τὴν ἐννάτην ὀλυμπιάδα] In his accusativis insolenter cum νικήσαντος junctis mendosi aliquid inesse, non temere suspicor. Scribendum videtur πυγμῇ τήν etc. Sic C. 19. init. νικήσας ἅρματι τὴν τρίτην κ. τρ. ὀλυμπιάδα.

11) κεῖνται μὲν αἱ εἰκόνες] Cod. Mosc. αὗται κεῖνται μὲν αἱ εἰκόνες.

CAPUT

## CAPUT XIX.

De theſauris in Alti ſuper crepidine tophacea exſtructis — Sicyoniorum theſauro — Tarteſio flumine et urbe — de Carthaginienſium theſauro — Epidamniorum binis theſauris — Sybaritarum theſauro — Libyum in Cyrene ac Selinuntiorum — Metapontinorum — Megarenſium — Geloorum theſauro.

Ἔςι δὲ λίθου πωρίνου κρηπὶς ἐν τῇ Ἄλτει, πρὸς
ἄρκτον τοῦ Ἡραίου, κατὰ νότου δὲ αὐτῆς παρήκει τὸ
Κρόνιον[1]). ἐπὶ ταύτης τῆς κρηπῖδός εἰσιν οἱ θησαυροὶ,
καθὰ δὴ καὶ ἐν Δελφοῖς[2]) Ἑλλήνων τινὲς ἐποιήσαντο
τῷ Ἀπόλλωνι θησαυρούς. Ἔςι δὲ θησαυρὸς ἐν Ὀλυμ- 2
πίᾳ Σικυωνίων καλούμενος, Μύρωνος δὲ ἀνάθημα
τυραννήσαντος Σικυωνίων· τοῦτον ᾠκοδόμησεν ὁ Μύρων
νικήσας ἅρματι τὴν τρίτην καὶ τριακοςὴν ὀλυμπιάδα.
ἐν δὲ τῷ θησαυρῷ καὶ θαλάμους δύο ἐποίησε, τὸν
μὲν Δώριον, τὸν δὲ ἐργασίας τῆς Ἰώνων. χαλκοῦ μὲν
δὴ αὐτοὺς ἑώρων εἰργασμένους· εἰ δὲ καὶ Ταρτήσιος
χαλκὸς λόγῳ τῷ Ἠλείων ἐςὶν, οὐκ οἶδα. Ταρτησσὸν[3]) 3
δὲ εἶναι ποταμὸν ἐν χώρᾳ τῇ Ἰβήρων λέγουσι, ςόμα-



1) *κατὰ νότου δὲ αὐτῆς παρήκει τὸ Κρ.*] *Löſcher.* legit κατὰ νώτου, *a tergo*, et ſic ſcribendum eſſe nullus dubito, cum C. 20. init. montem Cronium, de quo ibi plura leguntur, ad hanc crepidinem pertingere denuo memoret Pauſanias.

2) *οἱ θησαυροὶ, καθὰ δὴ καὶ ἐν Δελφοῖς* etc.] Hi theſauri *aedes* vel *aediculae* fuere, *in quibus ſigna et reliqua donaria condita erant.* Inde mox thalami Sicyoniorum et ἀετὸς Megarenſium theſauri memoratur in fine hujus Capitis. Heſych. θησαυρὸς, εἰς ἀγαλμάτων καὶ χρημάτων ἱερῶν ἀπόθεσιν οἶκος, ubi vid. not. De theſauris Delphicis vid. Pauſ. L. X. C. 11.

3) Ταρτησσὸν] Sic pro vulgata Ταρτήσιον ſcripſi ex Strabone L. III. p. 221., ubi multa de eo, atque ex Stephano. Cod. Moſc. Ταρτήσσιον.

σιν ἐς θάλασσαν κατερχόμενον δυσὶν, καὶ ὁμώνυμον αὐτῷ πόλιν, ἐν μέσῳ τοῦ ποταμοῦ τῶν ἐκβολῶν κειμένην. τὸν δὲ ποταμὸν μέγιστόν τε ὄντα τῶν ἐν Ἰβηρίᾳ καὶ ἄμπωτιν παρεχόμενον, Βαῖτιν ὠνόμασαν οἱ ὕστερον [4]). εἰσὶ δ᾽ οἳ Καρπίαν [5]) Ἰβήρων πόλιν καλεῖσθαι νομίζουσι τὰ ἀρχαιότερα Ταρτησσόν. ἐν Ὀλυμπίᾳ δὲ ἐπιγράμματα ἐπὶ τῷ ἐλάσσονί ἐστι τῶν θαλάμων, ἐς μὲν τοῦ χαλκοῦ τὸν σταθμὸν, ὅτι πεντακόσια εἴη τάλαντα, ἐς δὲ τοὺς ἀναθέντας, Μύρωνα εἶναι καὶ τὸν Σικυωνίων δῆμον. ἐν τούτῳ τῷ θησαυρῷ δίσκοι τὸν ἀριθμὸν ἀνάκεινται τρεῖς, ὅσους ἐς [6]) τοῦ πεντάθλου τὸ ἀγώνισμα ἐσκομίζουσι. καὶ ἀσπίς ἐστιν ἐπίχαλκος γραφῇ τὰ ἐντὸς πεποικιλμένη, καὶ κράνος τε καὶ κνημῖδες ὁμοῦ τῇ ἀσπίδι. ἐπίγραμμα δὲ ἐπὶ τοῖς ὅπλοις, ἀκροθίνιον τῷ Διῒ ὑπὸ Μυονέων [7]) τεθῆναι. οἵτινες δὲ οὗτοι ἦσαν, οὐ κατὰ τὰ αὐτὰ παρίστατο ἅπασιν εἰκάζειν. ἐμὲ δὲ ἐσῆλθεν ἀνάμνησις, ὡς Θουκυδίδης ποιήσειεν ἐν τοῖς λόγοις Λοκρῶν τῶν πρὸς τῇ Φωκίδι καὶ ἄλλας πόλεις, ἐν δὲ αὐταῖς εἶναι καὶ Μυονέας [8]). οἱ Μυονέες οὖν οἱ ἐπὶ τῇ ἀσπίδι κατά γε ἡμετέραν γνώμην ἄνθρωποι μέν εἰσιν οἱ αὐτοὶ Μυονεῖς οἱ ἐν τῇ Λοκρίδι

4) Βαῖτιν ὠν. οἱ ὕστερον] Confirmat hoc Strabo l. c.

5) Καρπίαν] Scribendum esse Καρτηΐαν, mihi dubium non est; sic enim in Ptolem. legitur, Strab. III. p. 225. A et Plin. H. N. L. III. C. 1. s. 111., ubi vid. Harduin. Pro ἀρχαιότερα Cod. Mosc. dat ἀρχαιότατα.

6) ὅσους ἐς] Reposui cum *Amasaeo* pro vulgatis ἐς ὅσους.

7) Μυονέων] Cod. Vind. Μυάνων, Mosc. Μυανέων, et Ald. Μυόνων, sicuti etiam *Sylb.* hic scribendum censet.

8) Θουκυδίδης — Μυονέας] Locus Thucydidis est L. III. s. 101. Pausan. L. X. C. 38. hanc Locrorum urbem appellat Μυωνίαν, ejusque incolas, Μυωνεῖς, clypeum Olympiae dedicasse affirmat. Stephano illa dicitur Μύων, et alia Phocidis Μυονία, ubi vide Berk.

Λοκρίδι Ἠπείρῳ. τὰ δὲ ἐπὶ τῇ ἀσπίδι γράμματα παρῆκται μὲν ἐπὶ βραχὺ [9]), πέπονθε δὲ αὐτὸ διὰ τοῦ ἀναθήματος τὸ ἀρχαῖον. κεῖνται δὲ καὶ ἄλλα ἐνταῦθα ἄξια ἐπιμνησθῆναι· μάχαιρα ἡ Πέλοπος χρυσοῦ τὴν λαβὴν πεποιημένη, καὶ εἰργασμένον ἐλέφαντος κέρας τὸ Ἀμαλθείας, ἀνάθημα Μιλτιάδου τοῦ Κίμωνος, ὃς τὴν ἀρχὴν [10]) ἔσχεν ἐν Χεῤῥονήσῳ τῇ Θρακίᾳ πρῶτος τῆς οἰκίας ταύτης· καὶ ἐπίγραμμα ἐπὶ τῷ κέρατί ἐστιν ἀρχαίοις Ἀττικοῖς γράμμασι·

Ζηνί μ' ἄγαλμ' ἀνέθηκαν Ὀλυμπίῳ ἐκ Χερονήσου
Τεῖχος ἑλόντες Ἀράτου, ἐπῆρχε [11]) δὲ Μιλτιάδης σφίν.

κεῖται δὲ καὶ ἄγαλμα πύξινον Ἀπόλλωνος ἐπιχρύσου τὴν κεφαλήν· ἀνατεθῆναι δὲ ὑπὸ Λοκρῶν φασι τῶν πρὸς Ζεφυρίῳ τῇ ἄκρᾳ [12]), Πατροκλέα δὲ εἶναι Κατύλλου [13]) Κροτωνιάτην τὸν εἰργασμένον. Ἐφεξῆς δὲ 4 τῷ Σικυωνίῳ ἐστὶν ὁ Καρχηδονίων θησαυρός, Ποθαίου τέχνη, καὶ Ἀντιφίλου τε καὶ Μεγακλέους. ἀναθήματα δ' ἐν αὐτῷ, Ζεὺς μεγέθει μέγας, καὶ θώρακες λινοῖ



9) παρῆκται μ. ἐ. βραχὺ] Si in voce παρῆκται nihil vitiosi latet, sensus est: *literae pertingunt ad breve spatium*, h. e., *non plene exaratae sunt*.

10) Μιλτιάδου τοῦ Κίμωνος, ὃς τὴν ἀρχὴν] Herodot. L. VI. C. 34. Miltiadem, qui regnum Chersonesi Thrac. primum tenuit, Cypseli filium vocat. Aelianus Var. Hist. L. XII. C. 35. tres Miltiades memorat, quorum ille, qui Chersones. Thrac. condidit, a filio Cimonis et Cypseli diversus est; sed ibi vidend. Perizon. τὴν ante ἀρχὴν inserui ex Cod. Mosc.

11) ἐπῆρχε] Uterque Cod. ὑπῆρχε.

12) τῶν πρὸς Ζεφυρίῳ τῇ ἄκρᾳ] Sic cum *Sylburgio* emendare non dubitavi ex ipso Pausan. L. VI. C. 6., Strabone et Stephano pro vulgatis τῇ πρὸς Ζεφύρῳ τῇ ἄκρᾳ.

13) Κατύλλου] Cod. Mosc. Κατίλλου, et paullo inferius Ἀντικλέους pro Μεγακλέους.

λινοῖ τρεῖς ἀριθμὸν, Γέλωνος δὲ ἀνάθημα καὶ Συρα-
κουσίων, Φοίνικας ἤτοι τριήρεσιν ἢ καὶ πεζῇ μάχῃ
5 κρατησάντων. Ὁ δὲ τρίτος τῶν θησαυρῶν καὶ ὁ τέ-
ταρτος ἀνάθημά ἐστιν Ἐπιδαμνίων. ἔχει μὲν πόλον
ἀνεχόμενον ὑπὸ Ἄτλαντος· ἔχει δὲ Ἡρακλέα καὶ
δένδρον [14]) τὸ παρὰ Ἑσπερίσι τὴν μηλέαν, καὶ περιε-
λελιγμένον [15]) τῇ μηλέᾳ τὸν δράκοντα· κέδρου μὲν καὶ
ταῦτα, Θεοκλέους δὲ ἔργα τοῦ Ἡγύλου· ποιῆσαι δὲ
Αὐτόνομον τῷ παιδὶ [16]), φησὶ τὰ ἐπὶ τοῦ πόλου γράμ-
ματα. αἱ δὲ Ἑσπερίδες (μετεκινήθησαν γὰρ ὑπὸ
Ἠλείων) αὗται μὲν ἔτι καὶ ἐς ἐμὲ ἦσαν ἐν τῷ Ἡραίῳ.
τὸν δὲ θησαυρὸν τοῖς Ἐπιδαμνίοις Πύῤῥος καὶ οἱ παῖ-
6 δες Λακράτης τε καὶ Ἕρμων ἐποίησαν. Ὠικοδόμησαν
δὲ καὶ Συβαρῖται θησαυρὸν, ἐχόμενον τοῦ Ἐπι-
δαμνίων. ὁπόσοι δὲ περὶ Ἰταλίας καὶ πόλεων ἐπο-
λυπραγμόνησαν τῶν ἐν αὐτῇ, Λουπίας [17]) φασὶ κει-
μένην Βρεντεσίου τε μεταξὺ καὶ Ὑδροῦντος μετα-
βεβληκέναι τὸ ὄνομα, Σύβαριν οὖσαν τὸ ἀρχαῖον.
ὁ δὲ ὅρμος ταῖς ναυσὶ χειροποίητος καὶ Ἀδριανοῦ
7 βασιλέως ἐστὶν ἔργον. Πρὸς δὲ τῷ Συβαριτῶν
Λιβύων

14) δένδρον] Reposui ex utroque Codice pro mendose vulgato δένδρων.

15) περιελελιγμένον] Vulgatum fuit περιελειλιγμένον, et Cod. Vindob exhibet περιελειγμένον. Cum vero utrumque a variis verbi εἰλέω formis abhorreat, usitatam formam reddidi ει mutato cum ε.

16) Ἡγύλου· ποιῆσαι δὲ Αὐτόνομον τῷ παιδὶ] Pro vulgato Ἡτύλου rescripsi Ἡγύλου ex Pausan. L. V. C. 17. Θεοκλῆς — πατρὸς Ἡγύλου, quod nomen quoque in mendosa utriusque Codicis lectione latere videtur, Vind. Ἡλύχου, et Mosc. Ἡχύλου. Pro Αὐτόνομον τῷ παιδὶ mallem scribere Αὐτονόμῳ τῷ π., vel Αὐτονόμου τῷ π.

17) Λουπίας] Dedi ex utroque Codice pro vulgato Λουπίαν, Ptolemaeo L. III., Strabone et Mela hoc nomen quoque pluraliter exhibentibus.

Λιβύων ἐςὶ τῶν ἐν Κυρήνῃ θησαυρός· κεῖνται δὲ
βασιλεῖς ἐν αὐτῷ Ῥωμαίων. Σικελιώτας δὲ Σελι-
νουντίους ἀνέςησαν μὲν Καρχηδόνιοι πολέμῳ· πρὶν δὲ
ἢ τὴν συμφορὰν γενέσθαι σφίσι, θησαυρὸν τὸν ἐν
Ὀλυμπίᾳ Διΐ ἐποίησαν. Διόνυσος δέ ἐςιν ἐνταῦθα
πρόσωπον καὶ ἄκρους πόδας καὶ τὰς χεῖρας ἐλέφαν-
τος εἰργασμένος. Ἐν δὲ τῷ Μεταποντίνων θησαυρῷ 8
(προσεχὴς γὰρ τῷ Σελινουντίων [18]) ἐςὶν οὗτος) ἐν τούτῳ
πεποιημένος ἐςὶν Ἐνδυμίων· πλὴν δὲ ἐσθῆτός ἐςι τὰ
λοιπὰ καὶ τῷ Ἐνδυμίωνι ἐλέφαντος. Μεταποντίνους
δὲ ἥτις μὲν ἐπέλαβεν ἀπολέσθαι πρόφασις, οὐκ οἶδα·
ἐπ' ἐμοῦ δὲ ὅτι μὴ θέατρον καὶ περίβολοι τείχους ἄλλο
ἐλείπετο οὐδὲν Μεταποντίου. Μεγαρεῖς δὲ οἱ πρὸς τῇ 9
Ἀττικῇ θησαυρόν τε ᾠκοδομήσαντο, καὶ ἀναθή-
ματα [19]) ἀνέθεσαν ἐς τὸν θησαυρὸν, κέδρου ζώδια
χρυσῷ διηνθισμένα, τὴν πρὸς Ἀχελῶον Ἡρακλέους
μάχην. Ζεὺς δὲ ἐνταῦθα καὶ ἡ Δηϊάνειρα καὶ Ἀχε-
λῶος καὶ Ἡρακλῆς ἐςιν, Ἄρης τε τῷ Ἀχελώῳ βοηθῶν.
εἱςήκει δὲ καὶ Ἀθηνᾶς ἄγαλμα, ἅτε οὖσα τῷ Ἡρα-
κλεῖ σύμμαχος· αὕτη παρὰ τὰς Ἑσπερίδας ἀνάκει-
ται νῦν τὰς ἐν τῷ Ἡραίῳ. τοῦ θησαυροῦ δὲ ἐπείρ-
γαςαι τῷ ἀετῷ ὁ γιγάντων καὶ θεῶν πόλεμος· ἀνά-
κειται δὲ καὶ ἀσπὶς ὑπὲρ τοῦ ἀετοῦ, τοὺς Μεγαρέας
ἀπὸ Κορινθίων ἀναθεῖναι τὸν θησαυρὸν λέγουσα.
ταύτην Μεγαρεῦσιν ἡγοῦμαι τὴν νίκην Ἀθήνησιν ἄρ-
χοντος γενέσθαι Φόρβαντος, ἄρχοντος δὲ διὰ τοῦ
αὐτοῦ βίου παντός· ἐνιαύσιαι γὰρ οὐκ ἦσάν πω τότε
Ἀθηναίοις αἱ ἀρχαί· οὐ μὴν οὐδὲ ὑπὸ Ἠλείων ἀνε-
γράφοντό πω τηνικαῦτα αἱ ὀλυμπιάδες. λέγονται



18) τῷ Σελινουντίων] Uterque Cod. τῷ Σελινουντίῳ.

19) καὶ ἀναθήματα] Cod. M. καὶ ἀνάθημα.

δὲ καὶ Ἀργεῖοι μετασχεῖν πρὸς τοὺς Κορινθίους Μεγαρεῦσι τοῦ ἔργου. τὸν δὲ ἐν Ὀλυμπίᾳ θησαυρὸν ἔτεσιν ὕϛερον [20]) τῆς μάχης ἐποίησαν οἱ Μεγαρεῖς. τὰ δὲ ἀναθήματα ἐκ παλαιοῦ σφᾶς ἔχειν εἰκὸς, ἅγε ὁ Λακεδαιμόνιος Δόντας Διποίνου καὶ Σκύλλιδος μαθητὴς ἐποίησε. Τελευταῖος δὲ τῶν θησαυρῶν πρὸς αὐτῷ μέν ἐϛιν ἤδη τῷ ϛαδίῳ· Γελώων δὲ ἀνάθημα τόν τε θησαυρὸν καὶ τὰ ἀγάλματα εἶναι τὰ ἐν αὐτῷ, λέγει τὸ ἐπίγραμμα. οὐ μέν τοι ἀνακείμενά γε ἔτι ἀγάλματά ἐϛι.

## CAPUT XX.

De monte Cronio et Saturni sacris in ejus vertice — templo Lucinae Olympiae et daemonis Sosipolidis sacris in eo — Sosipolide ejusque cultus origine — Hippodamio, templo Hippodamiae, ejusque cultu — occulto in stadium introitu et de ipso stadio — sacerdote Cereris Chamynes et Endymionis monumento — carceribus equorum (ἄφεσις), et quae ad illorum formam et rationem pertinent — ara rotunda, Taraxippo dicta, et varia, quae de eo narrantur — alio Taraxippo in Isthmo et simili petra in Nemea — Hippodamiae signo ad unam metarum.

Τὸ δὲ ὄρος τὸ Κρόνιον κατὰ τὰ ἤδη λελεγμένα μοι παρὰ τὴν κρηπῖδα καὶ τοὺς ἐπ' αὐτῇ παρήκει θησαυρούς. ἐπὶ δὲ τοῦ ὄρους τῇ κορυφῇ θύουσιν οἱ Βασίλαι καλούμενοι [1]) τῷ Κρόνῳ κατὰ ἰσημερίαν τὴν ἐν τῷ ἦρι Ἐλαφίῳ μηνὶ παρὰ Ἠλείοις.

20) ἔτεσιν ὕϛερον] Post ἔτεσιν numerus annorum mihi excidisse videtur.

1) οἱ Βασίλαι καλούμενοι] Cod. Mosc. καλούμεναι, et mox Cod. Vind. Ἐλαφοβολιῶνι pro Ἐλαφίῳ.

Ἠλείοις. Ἐν δὲ τοῖς πέρασι τοῦ Κρονίου κατὰ 2
τὸ πρὸς τὴν ἄρκτον ἐστὶν ἐν μέσῳ τῶν θησαυρῶν καὶ
τοῦ ὄρους ἱερὸν Εἰλειθυίας, ἐν δὲ αὐτῷ Σωσίπολις
Ἠλείοις ἐπιχώριος δαίμων ἔχει τιμάς. τὴν μὲν δὴ
Εἰλείθυιαν ἐπονομάζοντες Ὀλυμπίαν, ἱερασομένην
αἱροῦνται τῇ θεῷ κατὰ ἔτος ἕκαστον. ἡ δὲ πρεσβῦτις
ἡ θεραπεύουσα τὸν Σωσίπολιν νόμῳ τε ἁγιστεύει [2])
τῷ Ἠλείων, καὶ αὐτὴ λύτρα τε ἐςφέρει τῷ θεῷ, καὶ
μάζας κατατίθησιν αὐτῷ μεμαγμένας μέλιτι. ἐν μὲν
δὴ τῷ ἔμπροσθεν τοῦ ναοῦ (διπλοῦς γὰρ δὴ πεποίηται)
τῆς τε Εἰλειθυίας βωμός, καὶ ἔσοδος ἐς αὐτό ἐστιν
ἀνθρώποις· ἐν δὲ τῷ ἐκτὸς [3]) ὁ Σωσίπολις ἔχει τιμάς,
καὶ ἐς αὐτὸ ἔσοδος οὐκ ἔστι πλὴν τῇ θεραπευούσῃ τὸν
θεόν, ἐπὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον ἐφειλκυσμένῃ
ὕφος λευκόν. παρθένοι δὲ ἐν τῷ τῆς Εἰλειθυίας ὑπο-
μένουσι [4]), καὶ γυναῖκες ὕμνον ᾄδουσι· καθαγίζουσι
δὲ καὶ θυμιάματα παντοῖα αὐτῷ, καὶ ἐπισπένδειν
οὐ νομίζουσιν οἶνον. καὶ ὅρκος παρὰ τῷ Σωσιπόλιδι
ἐπὶ μεγίστοις καθέστηκε. Λέγεται δὲ καὶ Ἀρκάδων ἐς 3
τὴν Ἠλείαν ἐσβεβληκότων στρατιᾷ, καὶ τῶν Ἠλείων
σφίσιν ἀντικαθημένων, γυναῖκα ἀφικομένην παρὰ
τῶν Ἠλείων τοὺς στρατηγούς, νήπιον παῖδα ἔχουσαν
ἐπὶ τῷ μαστῷ, λέγειν, ὡς τέκοι μὲν αὐτὴ τὸν παῖδα,
διδοίη δὲ ἐξ ὀνειράτων τὸν συμμαχήσοντα [5]) Ἠλείοις.

οἱ

2) ἁγιστεύει] *castimoniam servat.* Eodem significatu est ἁγιστεύειν L. VII. C. 25. in fine. Mox pro λύτρα, quod *Amas.* vertit *piamina*, (Hesych. λύτρα, καθάρματα,) *Kuhn.* mavult scribere λουτρὰ, *lavacra.*

3) ἐν δὲ τῷ ἐκτὸς] Scribendum esse ἐντὸς pro ἐκτὸς, jam Cod. Casaub. annotavit; opponitur enim τῷ ἔμπροσθεν, quod idem ac τῷ ἐκτὸς est.

4) ὑπομένουσι] Cod. Mosc. ὑπομένουσαι.

5) τὸν συμμαχήσοντα] Cod. Mosc. συμμαχήσαντα exhibet; τὸν mihi ejiciendum esse videtur.

οἱ δὲ ἐν ταῖς ἀρχαῖς (πιστὰ γὰρ τὴν ἄνθρωπον ἡγοῦντο εἰρηκέναι) τιθέασι τὸ παιδίον πρὸ τοῦ στρατεύματος γυμνόν. ἐπήεσάν τε δὴ οἱ Ἀρκάδες, καὶ τὸ παιδίον ἐνταῦθα ἤδη δράκων ἦν· ταραχθεῖσι δὲ ἐπὶ τῷ θεάματι τοῖς Ἀρκάσι καὶ ἐνδοῦσιν ἐς φυγὴν, ἐπέκειντο οἱ Ἠλεῖοι, καὶ νίκην τε ἐπιφανεστάτην ἀνείλοντο, καὶ ὄνομα τῷ θεῷ τίθενται Σωσίπολιν. ἔνθα δέ σφισιν ὁ δράκων ἔδοξεν ἐσδῦναι μετὰ τὴν μάχην, τὸ ἱερὸν ἐποίησαν ἐνταῦθα· σὺν δὲ αὐτῷ σέβεσθαι καὶ τὴν Εἰλείθυιαν ἐνόμισαν, ὅτι τὸν παῖδά σφισιν ἡ θεὸς αὕτη προήγαγεν ἐς ἀνθρώπους. τοῖς δὲ τῶν Ἀρκάδων ἀποθανοῦσιν ἐν τῇ μάχῃ ἐστὶ τὸ μνῆμα ἐπὶ τοῦ λόφου διαβάντων τὸν Κλάδεον ὡς ἐπὶ ἡλίου δυσμάς. πλησίον δὲ τῆς Εἰλειθυίας ἐρείπια Ἀφροδίτης οὐρανίας ἱεροῦ λείπεται, θύουσι δὲ καὶ αὐτόθι ἐπὶ τῶν βωμῶν.

4 Ἔστι δὲ ἐντὸς τῆς Ἄλτεως κατὰ τὴν πομπικὴν ἔσοδον Ἱπποδάμιον καλούμενον, ὅσον πλέθρου χωρίον περιεχόμενον θριγκῷ. ἐς τοῦτο ἅπαξ κατὰ ἔτος ἕκαστόν ἐστι ταῖς γυναιξὶν ἔσοδος, αἳ θύουσι τῇ Ἱπποδαμείᾳ, καὶ ἄλλα ἐς τιμὴν δρῶσιν αὐτῆς. τὴν δὲ Ἱπποδάμειάν φασιν ἐς Μιδέαν [6]) τὴν ἐν τῇ Ἀργολίδι ἀποχωρῆσαι, ἅτε τοῦ Πέλοπος ἐπὶ τῷ Χρυσίππου θανάτῳ [7]) μάλιστα ἐς ἐκείνην ἔχοντος τὴν ὀργήν· αὐτοὶ δὲ ὕστερον ἐκ μαντείας κομίσαι φασὶ τῆς Ἱπποδαμείας τὰ ὀστᾶ

5 ἐν Ὀλυμπίᾳ. Ἔστι δὴ ἐπὶ τῷ πέρατι τῶν ἀγαλμάτων, ἃ ἀπὸ ζημίας ἐποιήσαντο ἀθλητῶν, ἐπὶ τούτῳ τῷ πέρατί ἐστιν, ἣν κρυπτὴν ὀνομάζουσιν ἔσοδον· διὰ

6) Μιδέαν] Supra L. II. C. 25. in fine est Μίδεια. Utraque scilicet scriptura usitata fuit, de quo vid. Steph. Byz.

7) ἐπὶ τῷ Χρυσίππου θανάτῳ] De Chrysippo, Pelopis filio, ab Atreo et Thyeste Hippodamiae impulsu interfecto vide Schol. ad Homer. Il. β. v. 105.

διὰ δὲ αὐτῆς τούς τε Ἑλλανοδίκας ἐσιέναι ἐς τὸ ϛάδιον καὶ τοὺς ἀγωνιϛάς. τὸ μὲν δὴ ϛάδιον γῆς χῶμά ἐϛι, πεποίηται δ' ἐν αὐτῷ καθέδρα τοῖς τιθεῖσι τὸν ἀγῶνα. Ἔϛι δὲ ἀπαντικρὺ τῶν Ἑλλανοδικῶν βωμὸς λίθου 6 λευκοῦ· ἐπὶ τούτου καθεζομένη τοῦ βωμοῦ θεᾶται γυνὴ τὰ Ὀλύμπια, ἱέρεια Δήμητρος Χαμύνης, τιμὴν ταύτῃ ἄλλοτε ἄλλην λαμβάνουσα [8]) παρὰ Ἠλείων. παρθένους δὲ οὐκ εἴργουσι θεᾶσθαι. πρὸς δὲ τοῦ ϛαδίου τῷ πέρατι, ᾗ τοῖς ϛαδιοδρόμοις ἄφεσις πεποίηται, Ἐνδυμίωνος μνῆμα ἐνταῦθα λόγῳ Ἠλείων ἐϛίν.

Ὑπερβάλλοντι δὲ ἐκ τοῦ ϛαδίου, καθ' ὅτου οἱ 7 Ἑλλανοδίκαι καθέζονται, κατὰ τοῦτο τὸ χωρίον ἐς τῶν ἵππων ἀνειμένον τοὺς δρόμους καὶ ἡ ἄφεσίς ἐϛι τῶν ἵππων. παρέχεται μὲν οὖν σχῆμα ἡ ἄφεσις κατὰ πρῶραν νεώς· τέτραπται δὲ αὐτῆς τὸ ἔμβολον ἐς τὸν δρόμον. καθότι δὲ τῇ Ἀγνάμπτου ϛοᾷ [9]) προσεχής ἐϛιν ἡ πρῶρα, κατὰ τοῦτο εὐρεῖα γίνεται. δελφὶς δὲ ἐπὶ κανόνος κατὰ ἄκρον μάλιϛα τὸ ἔμβολον πεποίηται χαλκοῦς. ἑκατέρα μὲν δὴ πλευρὰ τῆς ἀφέσεως πλέον ἢ τετρακοσίους πόδας παρέχεται τοῦ μήκους· ᾠκοδόμηται δὲ ἐν αὐταῖς οἰκήματα. ταῦτα τὰ κληρωτὰ οἰκήματα διαλαγχάνουσιν οἱ ἐσιόντες ἐς τὸν ἀγῶνα τῶν ἵππων. πρὸ δὲ τῶν ἁρμάτων ἢ καὶ τῶν ἵππων τῶν κελήτων, διήκει πρὸ αὐτῶν καλώδιον ἀντὶ ὕσπληγγος [10]). βωμὸς

8) ἱέρεια Δ. Χαμύνης, τ. ταύτῃ ἄλλοτε ἄλλην λαμβ.] De Cerere Chamyna plura habet Cap. seq. init. Pro ταύτῃ ἄλλοτε ἄλλην λ. *Sylburg.* ingeniose conjicit legendum esse ταύτην ἄλλοτε ἄλλῃ λαμβ. Hic honos Cereris sacerdoti Olympiae habitus tangitur a Sueton. in vit. Neronis C. 12.

9) τῇ Ἀγνάμπτου ϛοᾷ] Cod. Mosc. τῇ Ἀγνάπτου et inferius Ἀκνάπτου. *Löscher.* lectionem Ἀγάπτου exhibet, quae fuit supra L. V. C. 15.

10) ὕσπληγγος] ὕσπληγξ et ὕσπληξ *repagulum* seu *regula lignea in cursorum stadio* erat et βαλβὶς quoque dicebatur. Vide

βωμὸς δὲ ὠμῆς πλίνθου, τὰ ἐκτὸς κεκονιαμένος, ἐπὶ ἑκάστης ὀλυμπιάδος ποιεῖται κατὰ τὴν πρώραν μάλιστά που μέσην. ἀετὸς δὲ ἐπὶ τῷ βωμῷ χαλκοῦς κεῖται, τὰ πτερὰ ἐπιμήκιστον ἐκτείνων. ἀνακινεῖ μὲν δὴ τὸ ἐν τῷ βωμῷ μηχάνημα ὁ τεταγμένος ἐπὶ τῷ δρόμῳ· ἀνακινηθέντος δὲ, ὁ μὲν ἐς τὸ ἄνω πεποίηται πηδᾶν ὁ ἀετὸς, ὡς τοῖς ἥκουσιν ἐπὶ τὴν θέαν γενέσθαι σύνοπτος· ὁ δελφὶς δὲ ἐς ἔδαφος πίπτει. πρῶτοι μὲν δὴ ἑκατέρωθεν οἱ πρὸς τῇ στοᾷ τῇ Ἀγνάμπτου χαλῶσιν ὕσπληγγες, καὶ οἱ κατὰ τούτους ἑστηκότες ἐκθέουσιν ἵπποι πρῶτοι, θέοντές τε δὴ γίνονται κατὰ τοὺς εἰληχότας ἑστάναι τὴν δευτέραν τάξιν· καὶ τηνικαῦτα χαλῶσιν οἱ ὕσπληγγες οἱ ἐν τῇ δευτέρᾳ τάξει· διὰ πάντων τε κατὰ τὸν αὐτὸν λόγον συμβαίνει τῶν ἵππων, ἔστ' ἂν ἐξισωθῶσιν ἀλλήλοις κατὰ τῆς πρώρας τὸ ἔμβολον. τὸ ἀπὸ τούτου δὲ ἤδη καθέστηκεν ἐπίδειξις ἐπιστήμης τε ἡνιόχων καὶ ἵππων ὠκύτητος. τὸ μὲν δὴ ἐξ ἀρχῆς Κλεοίτας ἐστὶν ἄφεσιν μηχανησάμενος, καὶ φρονῆσαί γε [11]) ἐπὶ τῷ εὑρήματι, ὡς καὶ ἐπίγραμμα ἐπὶ ἀνδριάντι τῷ Ἀθήνῃσιν ἐπιγράψαι·

Ὅς τὴν ἱππάφεσιν Ὀλυμπίᾳ [12]) εὕρατο πρῶτος,
Τεῦξέ με Κλειοίτας υἱὸς Ἀριστοκλέους.

Κλεοίτᾳ δέ φασιν ὕστερον Ἀριστείδην σοφίαν τινὰ καὶ
8 αὐτὸν ἐς τὸ μηχάνημα ἐσενέγκασθαι. Παρεχομένου δὲ
τοῦ

Vide Moer. Atticist. βαλβίδες, Hesych., et, qui docte et copiose de hac voce egit, Salmas. Exerc. in Solin. p. 915-922. sq.

11) φρονῆσαί γε] *Sylburg.* φρονήσας scribendum putat; sed infinitivus iste a voce φασὶ pro Pausaniae more paullo remotius posita pendere potest. Statua Cleoetae Athenis in arce posita memoratur L. I. C. 24.

12) ἱππάφεσιν Ὀλυμπίᾳ] Voculam σεν inter haec verba mendose vulgatam utriusque Codicis auctoritate delevi Mox pro Κλειοίτας Cod. Mosc. Κλεοίτας.

τοῦ ἱπποδρόμου παρήκουσαν ἐς πλέον τὴν ἑτέραν τῶν πλευρῶν, ἔστιν ἐπὶ τῆς μείζονος πλευρᾶς, οὔσης χώματος, κατὰ τὴν διέξοδον τὴν διὰ τοῦ χώματος, τὸ τῶν ἵππων δεῖμα ὁ Ταράξιππος. σχῆμα μὲν οὖν βωμοῦ περιφεροῦς ἐστι· παραθέοντας δὲ κατὰ τοῦτο τοὺς ἵππους φόβος τε αὐτίκα ἰσχυρὸς ἀπ' οὐδεμιᾶς προφάσεως φανερᾶς, καὶ ἀπὸ τοῦ φόβου λαμβάνει ταραχή· τά τε δὴ ἅρματα καταγνύουσιν ὡς ἐπίπαν, καὶ οἱ ἡνίοχοι τιτρώσκονται. καὶ τοῦδε ἡνίοχοι ἕνεκα θυσίας θύουσι, καὶ γενέσθαι σφίσιν ἵλεων εὔχονται τὸν Ταράξιππον. Ἕλληνες δὲ οὐ κατὰ τὰ αὐτὰ νομίζουσιν ἐς τὸν Ταράξιππον, ἀλλ' οἱ μὲν εἶναι τάφον ἀνδρὸς αὐτόχθονος καὶ ἀγαθοῦ τὰ ἐς ἱππικὴν, καὶ ὄνομα Ὠλένιον αὐτῷ τίθενται· ἀπὸ τούτου δὲ καὶ τὴν Ὠλενίαν ἐν τῇ Ἠλείᾳ πέτραν φασὶν ὀνομασθῆναι. οἱ δὲ τὸν Φλιοῦντος Δαμέωνα μετασχόντα Ἡρακλεῖ τῆς ἐπὶ Αὐγέαν καὶ Ἠλείους στρατείας, αὐτόν τε ἀποθανεῖν καὶ τὸν ἵππον, ἐφ' ᾧ ἐπωχεῖτο, ὑπὸ Κτεάτου λέγουσι τοῦ Ἄκτορος, καὶ τὸ μνῆμα κοινὸν Δαμέωνι καὶ τῷ ἵππῳ γενέσθαι. λέγουσι δὲ καὶ ὡς Μυρτίλῳ κενὸν ἐνταῦθα ἠρῷον ποιήσειε Πέλοψ, καὶ θύσειέ τε αὐτῷ, τὸ ἐπὶ τῷ φόνῳ μήνιμα ἰώμενος, καὶ ἐπονομάσαι Ταράξιππον, ὅτι τῷ Οἰνομάῳ διὰ τοῦ Μυρτίλου τῆς τέχνης ἐταράχθησαν αἱ ἵπποι. τοῖς δέ ἐστιν εἰρημένον, ὡς αὐτὸς Οἰνόμαος ὁ τοὺς ἱππεύοντάς ἐστιν ἐν τῷ δρόμῳ βλάπτων. ἤκουσα δὲ καὶ ἐς τὸν Παρθάονος [13]) Ἀλκάθουν ἀγόντων τὴν αἰτίαν, ὡς ἐνταῦθα μέρη λάβοι γῆς ὁ Ἀλκάθους ἀποθανὼν ὑπὸ Οἰνομάου τῶν

13) Παρθάονος] Cod. Mosc. Πορθ., uti et Amasaeus; de qua scripturae varietate vide supra not. 1. ad L. IV. C. 35. De illius morte vide C. 21. prope finem. Mox pro ἅτε δὴ Cod. M. ἅτε δέ.

τῶν Ἱπποδαμείας γάμων εἵνεκα· ἅτε δὴ ἀτυχήσαντα ἐν ἱπποδρόμῳ, βάσκανόν τε εἶναι τοῖς ἱππεύουσι καὶ οὐκ εὐμενῆ δαίμονα. ἀνὴρ δὲ Αἰγύπτιος Πέλοπα [14]) ἔφη παρὰ τοῦ Θηβαίου λαβόντα Ἀμφίονος κατορύξαι τὶ ἐνταῦθα, ἔνθα καλοῦσι τὸν Ταράξιππον· καὶ ὑπὸ τοῦ κατορωρυγμένου ταραχθῆναι μὲν τῷ Οἰνομάῳ τότε, ταράσσεσθαι δὲ καὶ ὕϛερον τοῖς πᾶσι τοὺς ἵππους. ἠξίου δὲ οὗτος Αἰγύπτιος [15]), εἶναι μὲν Ἀμφίονα, εἶναι δὲ καὶ τὸν Θρᾷκα Ὀρφέα μαγεῦσαι δεινόν· καὶ αὐτοῖς ἐπᾴδουσι θηρία τε ἀφικνεῖσθαι τῷ Ὀρφεῖ, καὶ Ἀμφίονι ἐς τὰς τοῦ τείχους οἰκοδομίας τὰς πέτρας. ὁ δὲ πιθανώτατος (ἐμοὶ δοκεῖν) τῶν λόγων Ποσειδῶ-
9 νος ἐπίκλησιν εἶναι τοῦ Ἱππίου φησίν. Ἔϛι δὲ καὶ ἐν Ἰσθμῷ Ταράξιππος Γλαῦκος ὁ Σισύφου. γενέσθαι δὲ αὐτῷ τὴν τελευτὴν λέγουσιν ὑπὸ τῶν ἵππων, ὅτε Ἄκαϛος τὰ ἆθλα ἔθηκεν ἐπὶ τῷ πατρί. ἐν Νεμέᾳ δὲ τῇ Ἀργείων ἥρως μὲν ἦν οὐδεὶς, ὅϛτις ἔβλαπτε τοὺς ἵππους, πέτρας δὲ ὑπὲρ τῶν ἵππων τὴν καμπὴν ἀνεϛηκυίας χρόαν πυῤῥᾶς, ἡ ἀπ' αὐτῆς αὐγὴ, κατὰ ταυτὰ καὶ εἰ πῦρ [16]), ἐνεποίει φόβον τοῖς ἵπποις. ἀλλὰ γὰρ ὁ ἐν Ὀλυμπίᾳ Ταράξιππος πολὺ δή τι
10 ὑπερηρκὼς ἐϛιν ἐς ἵππων φόβον. Ἐπὶ δὲ νύσσης μιᾶς Ἱπποδαμείας ἐϛὶν εἰκὼν χαλκῆ, ταινίαν τε ἔχουσα καὶ ἀναδεῖν τὸν Πέλοπα μέλλουσα ἐπὶ τῇ νίκῃ.

14) Πέλοπα] Conf. Hesych. v. Ταράξιππος.

15) Αἰγύπτιος] Sic rescripsi pro vulgata Αἰγυπτίους, *Hartungo* ita legente et *Sylburgio* adstipulante.

16) καὶ εἰ πῦρ] Cod. Vind. καὶ εἰ πυρῶν, scil. αὐγή. Hanc lectionem quoque *Amas.* secutus esse videtur.

CAPUT

## CAPUT XXI.

De templo Cereris Chamynae et varia hujus cognominis ratione — gymnaſio Olympiae et ſignis in eo — variis memorandis trans fluvium Cladeum et Erymanthum — fluvio Diagone, templo Aeſculapii Demaeneti et Apollinis Leucyanitae — templo Minervae Cydoniae in Piſaeorum finibus — fluvio Parthenia et Harpinnate — ſepulcro procorum Hippodamiae, quorum nomina recenſentur.

Τὸ δὲ ἕτερον τοῦ ἱπποδρόμου μέρος οὐ χῶμα γῆς
ἐςιν, ὄρος δὲ οὐχ ὑψηλόν. ἐπὶ τῷ πέρατι τοῦ ὄρους
ἱερὸν πεποίηται Δήμητρι ἐπίκλησιν Χαμύνῃ. καὶ οἱ
μὲν ἀρχαῖον τὸ ὄνομα ἥγηνται· χανεῖν γὰρ τὴν γῆν
ἐνταῦθα τὸ ἅρμα[1]) τοῦ Ἅδου, καὶ αὖθις μύσαι·
οἱ δὲ Χάμυνον ἄνδρα Πισαῖον Πανταλέοντι ἐναντιού-
μενον τῷ Ὀμφαλίωνος τυραννοῦντι ἐν Πίσῃ, καὶ ἀπό-
ςασιν βουλεύοντι[2]) ἀπὸ Ἠλείων, ἀποθανεῖν φασιν
αὐτὸν ὑπὸ τοῦ Πανταλέοντος, καὶ ἀπὸ τοῦ Χαμύνου
τῆς οὐσίας τῇ Δήμητρι οἰκοδομηθῆναι τὸ ἱερόν.
Ἀγάλματα δὲ ἀντὶ τῶν ἀρχαίων Κόρην καὶ Δήμητρα 2
λίθου τοῦ Πεντέλησιν Ἀθηναῖος ἀνέθηκεν Ἡρώδης ἐν
τῷ γυμνασίῳ τῷ ἐν Ὀλυμπίᾳ· πεντάθλοις μὲν
καθεςήκασιν ἐν αὐτῷ καὶ δρομεῦσιν αἱ μελέται.
κρηπὶς δὲ ἐν τῷ ὑπαίθρῳ λίθου πεποίηται· τὸ
δὲ ἐξ ἀρχῆς, καὶ τρόπαιον κατὰ Ἀρκάδων ἐπὶ

τῇ

1) τὸ ἅρμα] *Kuhn.* recte ſuſpicatur, ſcribendum eſſe τῷ ἅρματι. Raptus ſcilicet Proſerpinae hic tangitur.

2) βουλεύοντι] Pro vulgata βουλεύοντα ex Codice Moſc. dativum repoſui, *Sylburgio* quoque ita legendum eſſe monente. Pantaleonem enim cum Piſaeis defectionem ab Eleis molitum, ideoque *Amaſ.* iſta perverſe interpretatum eſſe, ex Cap. 22. §. 2. manifeſto patet.

τῇ κρηπῖδι εἱστήκει. καὶ ἄλλος δ' ἐστὶν ἐλάσσων περίβολος ἐν ἀριστερᾷ τῆς ἐσόδου τῆς ἐς τὸ γυμνάσιον· καὶ αἱ παλαῖστραι τοῖς ἀθληταῖς εἰσιν ἐνταῦθα. τῆς στοᾶς δὲ τῆς πρὸς ἀνίσχοντα ἥλιον τοῦ γυμνασίου προσεχεῖς τῷ τοίχῳ τῶν ἀθλητῶν εἰσιν αἱ οἰκήσεις, ἐπί τε ἄνεμον τετραμμέναι Λίβα καὶ ἡλίου δυσμάς.

3 Διαβάντων δὲ τὸν Κλάδεον τάφος τε Οἰνομάου, γῆς χῶμα περιῳκοδομημένος[3]) λίθοις ἐστὶ, καὶ ὑπὲρ τοῦ μνήματος ἐρείπια οἰκοδομημάτων, ἔνθα τῷ Οἰνομάῳ τὰς ἵππους αὐλίζεσθαι λέγουσιν. ὅροι δὲ πρὸς Ἀρκάδας τῆς χώρας, τὰ μὲν παρόντα Ἠλείοις, τὰ δὲ ἐξ ἀρχῆς οἱ αὐτοὶ Πισαίοις καθεστήκεσαν ἀνέχοντες κατὰ τάδε[4]). διαβάντων δὲ ποταμὸν Ἐρύμανθον κατὰ τὴν Σαύρου καλουμένην δειράδα, τοῦ Σαύρου τε μνῆμα καὶ ἱερόν ἐστιν Ἡρακλέους, ἐρείπια ἐφ' ἡμῶν. λέγουσι δὲ, ὡς ὁδοιπόρους τε καὶ τοὺς προσοικοῦντας ὁ Σαῦρος ἐκακούργει, πρὶν ἢ παρὰ Ἡρακλέους
4 τὴν δίκην ἔσχε. Κατὰ ταύτην ἐπώνυμον τοῦ λῃστοῦ δειράδα, ποταμὸς ἀπὸ μεσημβρίας κατιὼν ἐς τὸν Ἀλφειὸν καταντικρὺ τοῦ Ἐρυμάνθου μάλιστα, οὗτός ἐστιν ὁ τὴν Πισαίαν πρὸς Ἀρκάδας διορίζων, ὄνομα δέ οἱ Διάγων. τεσσαράκοντα δὲ ἀπὸ τοῦ Σαύρου δειράδος προελθόντι στάδια, ἔστιν Ἀσκληπιοῦ ναὸς, ἐπίκλησιν μὲν Δημαίνετος ἀπὸ τοῦ ἱδρυσαμένου, ἐρείπια δὲ καὶ αὐτός· ᾠκοδομήθη δὲ ἐπὶ τοῦ ὑψηλοῦ παρὰ τὸν Ἀλφειόν. τούτου δὲ οὐ πόῤῥω ἱερὸν Δι-

3) περιῳκοδομημένος] *Sylb.* mavult περιῳκοδομημένον, ut ad χῶμα referatur.

4) καθεστήκεσαν ἀνέχοντες κ. τ.] *Kuhn.* bene conjicit, pro ἀνέχοντες scribendum ἔχοντες, et αν ex praecedente syllaba male repetita enatum esse. καθεστήκ. ἔχοντες dictum pro καθεστηκόντες.

Διονύσου Λευκυανίτου πεποίηται, καὶ ποταμὸς
παρέξεισι ταύτῃ Λευκυανίας· ἐκδίδωσι μὲν οὖν καὶ
οὗτος ἐς τὸν Ἀλφειὸν, κάτεισι δὲ ἐκ Φολόης τοῦ
ὄρους. Διαβήσῃ τε δὴ τὸ ἀπὸ τούτου τὸν Ἀλφειὸν, 5
καὶ ἐντὸς γῆς ἔσῃ τῆς Πισαίας. ἐν ταύτῃ τῇ χώρᾳ
λόφος ἐςὶν ἀνήκων ἐς ὀξὺ, ἐπὶ δὲ αὐτῷ πόλεως
Φρίξας ἐρείπια, καὶ Ἀθηνᾶς ἐςιν ἐπίκλησιν Κυδω-
νίας ναός. οὗτος μὲν οὖν τὰ πάντα ἐςὶν ὡς βωμὸς
καὶ ἐς ἐμὲ ἔτι· ἱδρύσασθαι δὲ τῇ θεῷ τὸ ἱερὸν Κλύ-
μενόν φασιν, ἀπόγονον Ἡρακλέους τοῦ Ἰδαίου,
παραγενέσθαι δὲ αὐτὸν ἀπὸ Κυδωνίας τῆς Κρητικῆς
καὶ τοῦ Ἰαρδάνου ποταμοῦ. λέγουσι δὲ καὶ Πέλοπα
οἱ Ἠλεῖοι τῇ Ἀθηνᾷ θῦσαι τῇ Κυδωνίᾳ, πρὶν ἢ ἐς τὸν
ἀγῶνα αὐτὸν Οἰνομάῳ καθίςασθαι. Προϊόντι δὲ 6
ἐντεῦθεν τό τε ὕδωρ τῆς Παρθενίας ἐςὶ, καὶ πρὸς τῷ
ποταμῷ τάφος ἵππων τῶν Μάρμακος. Ἱπποδα-
μείας δὲ μνηςῆρα ἔχει λόγος ἀφικέσθαι πρῶτον τοῦ-
τον Μάρμακα, καὶ ἀποθανεῖν ὑπὸ τοῦ Οἰνομάου
πρὸ τῶν ἄλλων, ὀνόματα δὲ αὐτοῦ ταῖς ἵπποις Παρ-
θενίαν τε εἶναι καὶ Ἐρίφαν, Οἰνόμαον δὲ ἐπικα-
τασφάξαι μὲν τὰς ἵππους τῷ Μάρμακι, μεταδοῦναι
μέν τοι καὶ ταύτας ταφῆναι· καὶ ὄνομα Παρθενίας
τῷ ποταμῷ[5]) ἀπὸ ἵππου τῆς Μάρμακος. ἔςι δὲ καὶ
ἄλλος Ἁρπιννάτης καλούμενος ποταμὸς, καὶ οὐ πολὺ
ἀπὸ τοῦ ποταμοῦ πόλεως Ἁρπίννης ἄλλα τε ἐρείπια
καὶ μάλιςα οἱ βωμοί. οἰκίσαι δὲ Οἰνόμαον τὴν
πόλιν, καὶ θέσθαι τὸ ὄνομα ἀπὸ τῆς μητρὸς λέγου-
σιν Ἁρπίννης[6]). Προελθόντι δὲ οὐ πολὺ, γῆς χῶμά 7

O 2 ἐςιν

5) ὄνομα Παρθενίας τῷ π.] Forte scribendum sit ὄνομα Παρθενία ἐςὶ τῷ π.

6) ἀπὸ τῆς μητρὸς λ. Ἁρπίννης] Vide supra L. V. C. 22. in fine. In Diodor. L. IV. f. 73.

ἐςιν ὑψηλὸν, τῶν μνηςήρων τῶν Ἱπποδαμείας τάφος. Οἰνόμαον μὲν οὖν ἐγγὺς ἀλλήλων κρύπτειν γῇ φασιν οὐκ ἐπιφανῶς αὐτούς· Πέλοψ δὲ ὕςερον μνῆμα ἐν κοινῷ σφισιν ἐπὶ μέγα ἐξῆρε. τιμῇ τῇ ἐς αὐτοὺς καὶ Ἱπποδαμείας χάριτι· δοκεῖν δέ μοι καὶ ὑπόμνημα ἐς τοὺς ἔπειτα ὅσων τε καὶ οἵων τὸν Οἰνόμαον κρατήσαντα ἐνίκησεν αὐτός. ἀπέθανον δὲ[7]) ὑπὸ τοῦ Οἰνομάου κατὰ τὰ ἔπη τὰς μεγάλας Ἠοίας Ἀλκάθους ὁ Παρθάονος, δεύτερος οὗτος ἐπὶ τῷ Μάρμακι· μετὰ δὲ Ἀλκάθουν Εὐρύαλος καὶ Εὐρύμαχός τε καὶ Κρόταλος. τούτων μὲν οὖν γονέας τε καὶ πατρίδας οὐχ οἷά τε ἦν πυθέσθαι μοι· τὸν δὲ ἀποθανόντα ἐπ' αὐτοῖς Ἀκρίαν τεκμαίροιτο ἄν τις Λακεδαιμόνιόν τε εἶναι καὶ οἰκιςὴν Ἀκριῶν. ἐπὶ δὲ τῷ Ἀκρίᾳ Κάπετόν φασιν ὑπὸ τοῦ Οἰνομάου φονευθῆναι, καὶ Λυκοῦργον, Λάσιόν τε καὶ Χαλκώδοντα, καὶ Τρικόλωνον· ἀπόγονον δὲ αὐτὸν εἶναι, καὶ ὁμώνυμον Τρικολώνῳ τῷ Λυκάονος λέγουσιν οἱ Ἀρκάδες. Τρικολώνῳ δὲ ὕςερον[8]) ἐπέλαβεν ἐν τῷ δρόμῳ τὸ χρεὼν Ἀριςόμαχόν τε καὶ Πρίαντα, ἔτι δὲ Πελάγοντα, Αἰόλιόν τε καὶ Κρόνιον. οἱ δὲ καὶ ἐπαριθμοῦσι τοῖς κατειλεγμένοις Ἔρυθρον παῖδα Λεύκωνος τοῦ Ἀθάμαντος (ἀπὸ τούτου Ἐρυθραὶ πόλισμα ἐκαλεῖτο Βοιωτῶν) καὶ

f. 73., Schol. ad Pindar. Olymp. Od. XIII. et Schol. Apollon. Rhod. L. I. v. 752. ſcribitur Ἀρπίνη. Vide de hujus nominis ſcriptura varie depravata Strab. L. VIII. p. 547. ibique Caſaub. not., nec non Leopard. Emend. VIII. 16.

7) ἀπέθανον δὲ etc.] Horum nomina ſequentia ſi computes, numerus ſuperat illum, quem Pindar. Olymp. I. v. 127. exhibet, ubi XIII. memorantur.

8) Τρικολώνῳ δὲ ὕςερον] Mallem Τρικολώνου δὲ ὕςερον. Nam ſemper fere genitivus voci ὕςερον jungitur.

καὶ Ἠϊονέα Μάγνητος τοῦ Αἰολίδου [9]. τούτοις μὲν δὴ ἐνταῦθά ἐςι τὸ μνῆμα, καὶ τὸν Πέλοπα, ἡνίκα τῶν Πισαίων ἔσχε τὴν ἀρχὴν, φασὶν ἐναγίζειν ἀνὰ πᾶν ἔτος.

## CAPUT XXII.

De templo Dianae Cordaces et cognominis origine — Piſae conditore, Piſaeorum certaminibus cum Eleis et Anolympiadibus — urbe Pylo ejusque reliquiis — vico Heraclea, fluvio Cythero ac Nympharum Ionidum templo et nominibus — oppidulo Letrinis ac Diana Alpheaea — Diana Elaphiaea.

Προελθόντι δὲ ὅσον τε ςάδιον σημεῖά ἐςιν ἱεροῦ Κορδάκας ἐπίκλησιν Ἀρτέμιδος· ὅτι οἱ τοῦ Πέλοπος ἀκόλουθοι τὰ ἐπινίκια ἤγαγον παρὰ τῇ θεῷ ταύτῃ, καὶ ὠρχήσαντο ἐπιχώριον τοῖς περὶ τὸν Σίπυλον Κόρδακα [1]) ὄρχησιν. τοῦ ἱεροῦ δὲ οὐ πόῤῥω οἴκημά τε οὐ μέγα, καὶ κιβωτός ἐςιν ἐν αὐτῷ χαλκῆ, ὀςᾶ τοῦ Πέλοπος ἐν τῇ κιβωτῷ φυλάσσον. τείχους δὲ ἢ ἄλλου κατασκευάσματος ἐλείπετο οὐδὲν ἔτι, ἄμπελοι δὲ ἦσαν διὰ τοῦ χωρίου πεφυτευμέναι παντὸς,

 ἔνθα

9) Ἀθάμαντος (ἀπὸ — Βοιωτῶν) καὶ Ἠϊονέα Μάγνητος τοῦ Αἰολίδου] Sic hunc locum, ubi antea mendoſe vulgatum fuit Ἀθάμαντος. ἀπὸ — καὶ Ἠϊόνες Μάγνητες τοῦ Αἰόλου, praeclare conſtituit et emendavit *van Staveren* in Miſcell. Obſerv. Vol. X. T. I. p. 99. 100., firmans hanc correctionem Schol. ad Euripid. Phoeniſſ. v. 1748. ἦσαν δὲ Εὐρύνομος καὶ Ἠϊονεὺς υἱοὶ Μάγνητος τοῦ Αἰολίδου καὶ Φιλοδίκης. Confer. Palmer. Exercit. p. 409. 410., qui ſimiliter fere locum noſtrum reſtituit.

1) Κόρδακα] De hoc ſaltationis genere vide Fiſcher. V. C. in Indice ad Theophraſti Charact. et Heſych. h. v. ibique not.

2 ἔνθα ἡ Πίσα ᾠκεῖτο. Οἰκιστὴν μὲν δὴ γενέσθαι τῇ πόλει Πίσον τὸν Περιήρους φασὶ τοῦ Αἰόλου. Πισαῖοι δὲ ἐφειλκύσαντο αὐθαίρετον συμφορὰν, ἀπεχθανόμενοί τε Ἠλείοις καὶ σπουδὴν ποιούμενοι, τιθέναι τὸν Ὀλυμπιακὸν ἀγῶνα ἀντὶ Ἠλείων. οἵγε ὀλυμπιάδι μὲν τῇ ὀγδόῃ τὸν Ἀργεῖον ἐπηγάγοντο Φείδωνα τυράννων τῶν ἐν Ἕλλησι μάλιστα ὑβρίσαντα [2]), καὶ τὸν ἀγῶνα ἔθεσαν ὁμοῦ τῷ Φείδωνι. τετάρτῃ δὲ ὀλυμπιάδι καὶ τριακοστῇ στρατὸν οἱ Πισαῖοι καὶ βασιλεὺς αὐτῶν Πανταλέων ὁ Ὀμφαλίωνος παρὰ τῶν προσχώρων ἀθροίσαντες, ἐποίησαν ἀντὶ Ἠλείων τὰ Ὀλύμπια. ταύτας τὰς ὀλυμπιάδας καὶ ἐπ' αὐταῖς τὴν τετάρτην τε καὶ ἑκατοστὴν, τεθεῖσαν δὲ ὑπὸ Ἀρκάδων, Ἀνολυμπιάδας [3]) οἱ Ἠλεῖοι καλοῦντες, οὐ σφᾶς ἐν καταλόγῳ τῶν ὀλυμπιάδων γράφουσιν. ὀγδόῃ δὲ ἐπὶ ταῖς τεσσαράκοντα ὀλυμπιάδι Δαμοφῶν ὁ Πανταλέοντος ὑπόνοιαν μέν τινα παρέσχεν Ἠλείοις, νεώτερα ἐς αὐτοὺς βουλεύειν· ἐσβαλόντας δὲ ἐς τὴν Πισαίαν σὺν ὅπλοις, ἀπελθεῖν οἴκαδε ἀπράκτους ἔπεισε δεήσεσί τε καὶ ὅρκοις. Πύῤῥου δὲ τοῦ Πανταλέοντος μετὰ Δαμοφῶντα τὸν ἀδελφὸν βασιλεύσαντος, Πισαῖοι πόλεμον ἑκούσιον ἐπανείλοντο Ἠλείοις. συναπέστησαν δέ σφισιν ἀπὸ Ἠλείων Μακίστιοι [4]) καὶ Σκιλλούντιοι, οὗτοι μὲν ἐκ τῆς Τριφυλίας, τῶν δὲ ἄλλων περιοίκων Δυσπόντιοι. τού-

τοις

2) Φείδωνα — ὑβρίσαντα] Uterque Codex ὑβρισάντων. De Phidone et re ipsa plura habet Strabo L. VIII. p. 549., ubi vide not.

3) Ἀνολυμπιάδας] Uterque Cod. Ἀνολυμπιάδα. De olympiade CIV. vide supra C. 4. not. 2.

4) Μακίστιοι] Uterque Cod. male dat Κακίστιοι. De Macistiis v. Strab. L. VIII. p. 518. 529.

τοις καὶ μάλιςα ἐς τοὺς Πισαίους οἰκεῖα ἦν, καὶ οἰκι-
ςὴν Δυσποντέα γενέσθαι σφίσιν Οἰνομάου παῖδα
ἐμνημόνευον. Πισαίους μὲν δὴ καὶ ὅσοι τοῦ πολέμου
Πισαίοις μετέσχον, ἐπέλαβεν ἀναςάτους ὑπὸ Ἠλείων
γενέσθαι. Πύλου δὲ τῆς ἐν τῇ Ἠλείᾳ δῆλα τὰ 3
ἐρείπια κατὰ τὴν ἐξ Ὀλυμπίας ἐςὶν ἐς Ἦλιν ὀρεινὴν
ὁδὸν, ὀγδοήκοντα δὲ ςάδια ἐς Ἦλιν ἀπὸ τῆς Πύλου.
ταύτην τὴν Πύλον ᾤκισε μὲν κατὰ τὰ ἤδη λελεγμένα
μοι Μεγαρεὺς ἀνὴρ Πύλων ὁ Κλήσωνος [5]· γενομένη
δὲ ὑπὸ τοῦ Ἡρακλέους ἀνάςατος, καὶ αὖθις ἐπισυν-
οικισθεῖσα ὑπὸ Ἠλείων, ἔμελλεν ἀνὰ χρόνον οὐκ
ἕξειν οἰκήτορας. παρὰ δὲ αὐτὴν ποταμὸς Λάδων
κατεισιν ἐς τὸν Πηνειόν. λέγουσι δὲ οἱ Ἠλεῖοι καὶ
ἔπος ἐς τὴν Πύλον ταύτην ἔχειν τῶν Ὁμήρου [6]·

Γένος δ' ἦν ἐκ ποταμοῖο
Ἀλφειοῦ, ὅςτ' εὐρὺ ῥέει Πυλίων διὰ γαίης.

καὶ ἐμὲ ἔπειθον λέγοντες· ῥεῖ γὰρ δὴ διὰ ταύτης ὁ
Ἀλφειὸς, ἐς δὲ ἄλλην Πύλον οὐκ ἔςιν ἐπενεγκεῖν τὸ
ἔπος. Πυλίων γὰρ τῶν ὑπὲρ νήσου τῆς Σφακτηρίας
οὐ πέφυκεν ἀρχὴν διοδεύειν τὴν γῆν ὁ Ἀλφειός· οὐ
μὴν οὐδὲ ἐν τῇ Ἀρκάδων Πύλον ποτὲ ὀνομασθεῖσαν
ἴσμεν πόλιν [7]. Ἀπέχει δὲ ὡς πεντήκοντα Ὀλυμ- 4
πίας ςαδίους κώμη τε Ἠλείων Ἡράκλεια, καὶ
πρὸς αὐτῇ Κύθηρος ποταμός [8]· πηγὴ δὲ ἐκδιδοῦσα



5) ταύτην τὴν Πύλον — Πύλων ὁ Κλ.] Vide ſupra L. IV. C. 36. init. et ibi not. 1. 2. Conf. Strab. VIII. p. 522. 523. 538. 539.

6) ἔπος — τῶν Ὁμήρου] Locus eſt Il. ε. v. 544. 545. Mox pro ὅςτ' εὐρὺ ῥέει Cod. Vind. exhibet ὅς ῥα ῥέων, et Moſc. ὃς ῥέεν εἰς.

7) ἴσμεν πόλιν] Uterque Codex ἴσμεν τὴν πόλιν.

8) Ἀπέχει δὲ — Ἡράκλεια — Κύθηρος π.] Diſſentit paullulum

ἐς τὸν ποταμὸν, καὶ νυμφῶν ἐστιν ἱερὸν ἐπὶ τῇ πηγῇ. ὀνόματα δὲ ἰδίᾳ μὲν ἑκάστῃ τῶν νυμφῶν, Καλλιφάεια, καὶ Συνάλλαξις, καὶ Πηγαῖά τε καὶ Ἴασις, ἐν κοινῷ δέ σφισιν ἐπίκλησις Ἰωνίδες [9]). λουομένοις δὲ ἐν τῇ πηγῇ καμάτων τέ ἐστι καὶ ἀλγημάτων παντοίων ἰάματα. καλεῖσθαι δὲ τὰς νύμφας ἀπὸ Ἴωνος λέγουσι τοῦ Γαργήττου [10]) μετοικήσαντος ἐνταῦθα ἐξ Ἀθηνῶν.

5 Εἰ δὲ ἐλθεῖν ἐς Ἦλιν διὰ τοῦ πεδίου θελήσειας, σταδίους μὲν εἴκοσι καὶ ἑκατὸν ἐς Λετρίνους [11]) ἕξεις, ὀγδοήκοντα δὲ ἐκ Λετρίνων καὶ ἑκατὸν ἐπὶ Ἦλιν. τὸ μὲν δὴ ἐξ ἀρχῆς πόλισμα ἦν οἱ Λέτρινοι, καὶ Λετρεὺς ὁ Πέλοπος ἐγεγόνει σφίσιν οἰκιστής. ἐπ᾽ ἐμοῦ δὲ οἰκήματά τε ἐλείπετο ὀλίγα, καὶ Ἀλφειαίας Ἀρτέμιδος ἄγαλμα ἐν ναῷ. γενέσθαι δὲ τὴν ἐπίκλησιν τῇ θεῷ λέγουσιν ἐπὶ λόγῳ τοιῷδε. ἐρασθῆναι τῆς Ἀρτέμιδος τὸν Ἀλφειὸν, ἐρασθέντα δὲ, ὡς ἐπέγνω, μὴ γενήσεσθαί οἱ διὰ πειθοῦς καὶ δεήσεως τὸν γάμον, ἐπιτολμᾶν ὡς βιασάμενον τὴν θεὸν, καὶ αὐτὸν ἐς παννυχίδα ἐς Λετρίνους ἐλθεῖν, ὑπὸ αὐτῆς

τε

lulum Strabo, qui L. VIII. p. 546. C. Heracleam ab Olympia XL. ſtadia differre dicit, et fluvium illum Κυθήριον appellat. Paullo infra pro Συνάλλαξις uterque Codex dat Συνάλλασις.

9) ἐν κ. δέ σφ. ἐπίκλησις Ἰωνίδες etc.] Reſtitui ex Cod. Vindob. ἐπίκλησις pro vulgato ἐπίκλησιν. Has Nymphas quoque Strabo L. VIII. p. 547. A. his verbis memorat: τὸ τῶν Ἰωνιάδων νυμφῶν ἱερὸν τῶν πεπιστευμένων θεραπεύειν νόσους τοῖς ὕδασι, ubi vide Caſaub.

10) Ἴωνος — τοῦ Γαργήττου] Ab utroque Δῆμοι Attici tribus Aegeïdis nomen accepiſſe videntur. Vide Heſych. et Stephan. Byz. v. Ἰωνίδαι et Γάργηττος.

11) ἐς Λετρίνους] De his vide ſupra L. V. C. 14. Cod. Vindob. conſtanter exhibet Λεκτρ.

τε ἀγόμενον τῆς Ἀρτέμιδος καὶ νυμφῶν, αἷς παίζων συνῆν ἀκολουθῶν αὐτῇ· τὴν δὲ (ἐν ὑπονοίᾳ γὰρ τοῦ Ἀλφειοῦ τὴν ἐπιβουλὴν ἔχειν) ἀλείψασθαι τὸ πρόσωπον πηλῷ, καὶ αὐτὴν καὶ ὅσαι τῶν νυμφῶν παρῆσαν, καὶ τὸν Ἀλφειὸν, ὡς ἐσῆλθεν, οὐκ ἔχειν αὐτὸν ἀπὸ τῶν ἄλλων διακρῖναι τὴν Ἄρτεμιν, ἅτε δὲ οὐ διαγινώσκοντα, ἀπελθεῖν ἐπὶ ἀπράκτῳ τῷ ἐγχειρήματι. Λετρεναῖοι μὲν δὴ Ἀλφειαίαν ἐκάλουν τὴν θεὸν ἐπὶ τοῦ Ἀλφειοῦ τῷ ἐς αὐτὴν ἔρωτι· οἱ δὲ Ἠλεῖοι (φιλία γάρ σφισιν ὑπῆρχεν ἐξ ἀρχῆς ἐς Λετρεναίους) τὰ παρὰ σφίσιν Ἀρτέμιδος ἐς τιμὴν τῇ Ἐλαφιαίᾳ καθεστηκότα ἐς Λετρίνους τε μετήγαγον, καὶ τῇ Ἀρτέμιδι ἐνόμισαν τῇ Ἀλφειαίᾳ δρᾶν· καὶ οὕτω τὴν Ἀλφειαίαν θεὸν Ἐλαφιαίαν ἀνὰ χρόνον ἐξενίκησεν ὀνομασθῆναι. Ἐλαφιαίαν δὲ ἐκάλουν οἱ Ἠλεῖοι τὴν Ἄρτεμιν ἐπὶ τῶν ἐλάφων (ἐμοὶ δοκεῖν) τῇ θήρᾳ· αὐτοὶ δὲ γυναικὸς ἐπιχωρίας ὄνομα εἶναι τὴν Ἐλάφιον, καὶ ὑπὸ ταύτης τραφῆναι τὴν Ἄρτεμίν φασι. Λετρίνων δὲ ὅσον γε ἐξ ἀπωτέρω σταδίοις, ἔστιν ἀέναος λίμνη τριῶν που τὴν διάμετρον σταδίων μάλιστα.

## CAPUT XXIII.

De gymnasio in Elide ejusque septo, Xysto dicto — memorandis in hoc gymnasio — alio minore gymnasii septo — tertio gymnasii septo, Malco dicto, et memorandis in eo — curia Eleorum, Lalichmio dicta — via Siope dicta et templo Dianae Philomiracis.

Ἐν δὲ Ἤλιδι τὰ ἄξια μνήμης γυμνάσιόν ἐστιν ἀρχαῖον, καὶ ὅσα ἐς τοὺς ἀθλητὰς πρὶν ἢ ἐς Ὀλυμπίαν ἀφικνεῖσθαι νομίζουσιν, ἐν τούτῳ σφίσι τῷ γυμνασίῳ δρᾶν καθέστηκε. πλάτανοι μὲν ὑψηλαὶ διὰ τῶν

δρόμων[1]) πεφύκασιν ἐντὸς τοίχου· ὁ σύμπας δὲ οὗτος
περίβολος καλεῖται Ξυστὸς, ὅτι Ἡρακλεῖ τῷ Ἀμφι-
τρύωνος ἐς ἄσκησιν ἐγίνετο, ὅσαι τῶν ἀκανθῶν
ἐφύοντο ἐνταῦθα, ἐπὶ ἑστάσῃ ἡμέρᾳ σφᾶς ἀναξύειν[2]).
χωρὶς μὲν δὴ ἐς ἅμιλλαν τῶν δρόμων ἐστὶν ἀποκεκρι-
μένος δρόμος, ὀνομάζεται δὲ ὑπὸ τῶν ἐπιχωρίων
ἱερός· χωρὶς δὲ, ἔνθα ἐπὶ μελέτῃ δρομεῖς καὶ οἱ
2 πένταθλοι θέουσιν. Ἔστι δὲ ἐν τῷ γυμνασίῳ καλού-
μενον Πλέθριον· ἐν δὲ αὐτῷ συμβάλλουσιν οἱ Ἑλλα-
νοδίκαι τοὺς καθ' ἡλικίαν, ἢ καὶ αὐτῷ διαφέροντας
τῷ ἐπιτηδεύματι· συμβάλλουσι δὲ ἐπὶ πάλῃ. εἰσὶ
δὲ καὶ θεῶν ἐν τῷ γυμνασίῳ βωμοὶ, Ἡρακλέους τοῦ
Ἰδαίου, Παραστάτου δὲ ἐπίκλησιν[3]), καὶ Ἔρωτος,
καὶ ὃν Ἠλεῖοι καὶ Ἀθηναῖοι κατὰ ταυτὰ Ἠλείοις
Ἀντέρωτα ὀνομάζουσι, Δήμητρός τε καὶ τῆς παιδός.
Ἀχιλλεῖ δὲ οὐ βωμὸς, κενὸν δέ ἐστιν αὐτῷ μνῆμα ἐκ
μαντείας. τῆς πανηγύρεως δὲ ἀρχομένης, ἐν ἡμέρᾳ
ῥητῇ περὶ ἀποκλίνοντα ἐς δυσμὰς τοῦ ἡλίου τὸν δρό-
μον[4]), αἱ γυναῖκες αἱ Ἠλεῖαι ἄλλα τε τοῦ Ἀχιλ-
λέως δρῶσιν ἐς τιμὴν, καὶ κόπτεσθαι νομίζουσιν
3 αὐτόν. Ἔστι δὲ καὶ ἄλλος ἐλάσσων γυμνασίου
περί-

1) διὰ τῶν δρόμων etc.] *per curriculorum ſpatia.* Sic paullo infra de *curriculo* ἀποκεκριμένος δρόμος, et ſic ξυστοὶ δρόμοι dicuntur, de quibus vid. not. ſequ. Cod. Vind. male dat διὰ τὸν δρόμον.

2) Ξυστὸς, ὅτι Ἡρακλεῖ — ἀναξύειν] De his Xyſtis vid. Polluc. IX. ſ. 43. et Valken. ad Ammon. de different. vocabul. h. v., coll. Philoſtrat. Vit. Apollon. L. IV. C. 3. et ibi Olear. Herculem huic labori vacantem in gemma expreſſum deprehendere ſibi viſus eſt Winkelm. *Deſcript. des pierres grav. p. 272. nr.* 1699.

3) Παραστάτου δὲ ἐπ.] De hoc Hercule vide ſupra L. V. C. 8. init.

4) περὶ ἀποκλίνοντα — τὸν δρόμον] Ex Codice Vindob. reſcripſi ἀνακλίνοντα pro vulgato ἀνακλίνοντος.

περίβολος, ὃς ἔχεται μὲν τοῦ μείζονος· τετράγωνον δὲ ὀνομάζουσιν ἐπὶ τῷ σχήματι. καὶ παλαῖστραι τοῖς ἀθλοῦσιν ἐνταῦθα ποιοῦνται [5]), καὶ συμβάλλουσιν αὐτόθι τοὺς ἀθλητὰς οὐ παλαίσοντας ἔτι, ἐπὶ δὲ ἱμάντων τῶν μαλακωτέρων ταῖς πληγαῖς. ἀνάκειται δὲ καὶ τῶν ἀγαλμάτων τὸ ἕτερον, ἃ ἐπὶ ζημίᾳ Σωσάνδρου τοῦ Σμυρναίου καὶ Ἠλείου Πολύκτορος τῷ Διῒ ἐποιήθη [6]). Ἔστι δὲ καὶ τρίτος γυμνασίου περίβολος, ὄνομα μὲν Μαλκὼ [7]), τῆς μαλακότητος τοῦ ἐδάφους εἵνεκα, τοῖς δὲ ἐφήβοις ἀνεῖται τῆς πανηγύρεως τὸν χρόνον πάντα. ἔστι δὲ ἐν γωνίᾳ τῆς Μαλκοῦς πρόσωπον Ἡρακλέους ἄχρις ἐς τοὺς ὤμους, καὶ ἐνίων παλαιστρῶν μιᾶς, τύπος Ἔρωτα ἔχων [8]) ἀπειργασμένον, καὶ τὸν καλούμενον Ἀντέρωτα· ἔχει δὲ ὁ μὲν φοίνικος ὁ Ἔρως κλάδον, ὁ δὲ ἀφελέσθαι πειρᾶται τὸν φοίνικα ὁ Ἀντέρως. τῆς ἐσόδου δὲ ἑκατέρωθεν τῆς ἐς τὴν Μαλκὼ παιδὸς ἕστηκεν εἰκὼν πύκτου· καὶ αὐτὸν ἔφασκεν ὁ νομοφύλαξ

5) παλαῖστραι — ποιοῦνται] Mallem παλαίστρας. Nam nullibi fere ποιοῦνται a Pausania passive usurpatur.

6) ἃ ἐπὶ — ἐποιήθη] De his vide supra L. V. C. 21. prope finem.

7) Μαλκὼ] Cod. Casaub., Mosc., *Hartung.* et *Amas.* exhibent Μαλθὼ et paullo infra Μαλθοῦς. Hesych. μαλθώσσω, μαλακώσσω, et μάλθη — μαλακία. Attamen Μαλκὼ non minus afferri potest; idem enim Hesych. μαλκὸν, μαλακόν. Mox pro μαλακότητος Aldina exhibet μαλαθώτητος.

8) καὶ ἐνίων παλαιστρῶν μιᾶς, τύπος — ἔχων] Scil. ἐν γωνίᾳ ex antecedentibus ad vocem μιᾶς est revocandum. Ita vero hunc locum uterque Codex restituit, cum vulgata καὶ ταινιῶν παλαιστῶν μιᾶς τύπος, Ἔρ. ἔχον omni probabili sensu carerent. Jam sententia haec est: *et in unius ex pluribus palaestris angulo typus est exhibens etc.* De artis operibus, quae τύποι appellabantur, vide not. 10. ad L. II. C. 19.

λαξ Ἠλείων [9]) γένος μὲν Ἀλεξανδρέα εἶναι τῆς
ὑπὲρ Φάρου τῆς νήσου, Σαραπίωνα δὲ ὄνομα, ἀφι-
κόμενον δὲ ἐς Ἦλιν, σπανίζουσι σίτου σφίσι τροφὰς
δοῦναι. τούτῳ μὲν αὐτόθι ἀντὶ τούτου γεγόνασιν αἱ
τιμαί· χρόνος δὲ ςεφάνου τε τοῦ ἐν Ὀλυμπίᾳ καὶ
εὐεργεσίας αὐτῷ τῆς ἐς Ἠλείους ὀλυμπιὰς ἑβδόμη
5 πρὸς ταῖς δέκα τε καὶ διακοσίαις. Ἐν τούτῳ τῷ
γυμνασίῳ καὶ βουλευτήριόν ἐςιν Ἠλείοις, καὶ ἐπι-
δείξεις ἐνταῦθα λόγων τε αὐτοσχεδίων καὶ συγ-
γραμμάτων ποιοῦνται παντοίων· καλεῖται δὲ Λα-
λίχμιον, τοῦ ἀναθέντος ἐπώνυμον. περὶ δὲ αὐτὸ
ἀσπίδες ἅμα κεῖνται, θέας εἵνεκα καὶ οὐκ ἐς ἔργον
6 πολέμου πεποιημέναι. Ἐκ δὲ τοῦ γυμνασίου πρὸς
τὰ λουτρὰ ἐρχομένοις, δι' ἀγυιᾶς τε ἡ ὁδὸς Σιωπῆς,
καὶ παρὰ τὸ ἱερὸν τῆς Φιλομείρακός ἐςιν Ἀρτέμιδος.
τῇ μὲν δὴ θεῷ γέγονεν ἡ ἐπίκλησις, ἅτε τοῦ γυμνα-
σίου γείτονι [10])· τῇ ἀγυιᾷ δὲ Σιωπὴ ὄνομα ἐπὶ λόγῳ
τοιῷδε τεθῆναι λέγουσιν. ἄνδρες τοῦ Ὀξύλου ςρα-
τεύματος [11]) ἐπὶ κατασκοπῇ τῶν ἐν Ἤλιδι ἀποπεμ-
φθέντες, καὶ ἀλλήλοις διακελευσάμενοι κατὰ τὴν
ὁδὸν, ἐπειδὰν πλησίον γίνωνται τοῦ τείχους, φθέγ-
γεσθαι μὲν μηδὲν ἔτι αὐτοὶ, ἐπακροᾶσθαι δὲ, εἴ τι
παρὰ τῶν ἐντὸς πυθέσθαι δυνήσονται [12])· οὗτοι λαν-
θάνουσι παρελθόντες ἐς τὴν πόλιν κατὰ τὴν ἀγυιὰν
ταύτην, καὶ ἐπακούσαντες, ὁπόσα ἐβούλοντο, ἐπα-
νίασιν αὖθις ἐς τοὺς Αἰτωλούς· καὶ ἡ ἀγυιὰ τὸ ὄνομα
εἴληφεν ἀπὸ τῶν κατασκόπων τῆς σιωπῆς.

9) ὁ νομοφύλαξ Ἠλ.] De his conf. Cap. ſequens §. 3.

10) γείτονι] Ex Codice Moſc. pro vulgata γείτωνι.

11) τοῦ Ὀξύλου ςρατεύματος] Vide ſupra L. V. C. 3. in fine et Cap. 4. init.

12) δυνήσονται] Cod. Moſc. δυνηθήσονται.

CAPUT

## CAPUT XXIV.

De foro Eleorum, Hippodromo dicto — Hellanodicaeone, domicilio praefectorum ludorum — porticu Corcyraica, Pyrrhonis sophistae signo et monumento — templis et signis in foro, Apollinis Acesii, Solis et Lunae, Gratiarum, Amoris — Sileni templo et Silenis — prisco templo, quod quernis columnis sustinetur — domo XVI. feminarum (v. L. V. C. 16.).

Ἑτέρα δὲ ἔξοδος ἐκ τοῦ γυμνασίου φέρει μὲν ἔς τε τὴν ἀγορὰν καὶ ἐπὶ τὸν Ἑλλανοδικαιῶνα καλούμενον, ἔστι δὲ ὑπὲρ τοῦ Ἀχιλλέως τὸν τάφον· καὶ ταύτῃ τοὺς Ἑλλανοδίκας ἰέναι καθέστηκεν ἐς τὸ γυμνάσιον. εἰσιᾶσι δὲ, πρὶν μὲν τὸν ἥλιον ἀνίσχειν, συμβαλόντες δρομέας, μεσούσης δὲ τῆς ἡμέρας ἐπὶ τὸ πένταθλον, καὶ ὅσα βαρέα ἄλλα ὀνομάζουσιν.

Ἡ δὲ ἀγορὰ τοῖς Ἠλείοις οὐ κατὰ τὰς Ἰώνων, 2
καὶ ὅσαι πρὸς Ἰωνίαν πόλεις εἰσὶν Ἑλλήνων, τρόπῳ δὲ πεποίηται τῷ ἀρχαιοτέρῳ, στοαῖς τε ἀπὸ ἀλλήλων διεστώσαις, καὶ ἀγυιαῖς δι' αὐτῶν. ὄνομα δὲ τῇ ἀγορᾷ τὸ ἐφ' ἡμῶν ἐστιν Ἱππόδρομος, καὶ οἱ ἐπιχώριοι τοὺς ἵππους παιδεύουσιν ἐνταῦθα. τῶν στοῶν δὲ ἡ πρὸς μεσημβρίαν ἐργασίας ἐστὶ τῆς Δωρίου, διαιροῦσι δὲ αὐτὴν ἐς μοίρας τρεῖς οἱ κίονες. ἐν ταύτῃ διημερεύουσι τὰ πολλὰ οἱ Ἑλλανοδίκαι· ποιοῦνται δὲ πρὸς αὐτοὺς καὶ βωμοὺς τῷ Διΐ, καὶ εἰσὶν ἐν τῷ ὑπαίθρῳ τῆς ἀγορᾶς οἱ βωμοὶ πλῆθος οὐ πολλοί· καταλύονται γὰρ οὐχ ἁπλῶς [1]), ἅτε αὐτοσχεδίως οἰκοδομούμενοι. Κατὰ ταύτην τὴν στοὰν ἰόντι ἐς τὴν 3
ἀγο-

1) οὐχ ἁπλῶς] *Kuhn.* explicat *non simul*, *et semel*, ex Hesych. ἁπλῶς, καθάπαξ. Equidem interpretari mallem: *non simpliciter*, *non uno modo.*

ἀγορὰν, ἔστιν ἐν ἀριστερᾷ παρὰ τὸ πέρας τῆς στοᾶς ὁ Ἑλλανοδικαιών· ἀγυιὰ δὲ ἡ διείργουσα ἀπὸ τῆς ἀγορᾶς ἐστιν αὐτόν. ἐν τούτῳ τῷ Ἑλλανοδικαιῶνι οἰκοῦσι δέκα ἐφεξῆς μῆνας οἱ αἱρεθέντες ἑλλανοδικεῖν, καὶ ὑπὸ τῶν νομοφυλάκων, ὅσα ἐς τὸν ἀγῶνα σφᾶς
4 δεῖ ποιεῖν, διδάσκονται. Τῇ στοᾷ δὲ, ἔνθα οἱ Ἑλλανοδίκαι διημερεύουσιν, ἔστιν ἐγγὺς ἄλλη στοὰ, τὸ μεταξὺ αὐτῶν ἀγυιὰ μία· ταύτην ὀνομάζουσι Κορκυραϊκὴν οἱ Ἠλεῖοι. ναυσὶ γὰρ ἐς τὴν σφετέραν Κορκυραίους ἐλθόντας ἐλάσαι μοῖραν τῆς λείας λέγουσι[2]), λαβεῖν τε ἐκ τῆς Κορκυραίων πολλαπλάσια, καὶ οἰκοδομήσασθαι τὴν στοὰν ἀπὸ τῶν λαφύρων τῆς δεκάτης. ἔστι δὲ ἡ κατασκευὴ τῆς στοᾶς Δώριος, καὶ διπλῆ, τῇ μὲν ἐς τὴν ἀγορὰν τοὺς κίονας, τῇ δὲ ἐς τὰ ἐπέκεινα τῆς ἀγορᾶς ἔχουσα· κατὰ μέσον δὲ αὐτῆς οὐ κίονες, ἀλλὰ τοῖχος ὁ ταύτῃ τὸν ὄροφον ἀνέχων ἐστίν· ἀνάκεινται δὲ καὶ εἰκόνες ἑκατέρωθεν πρὸς τῷ τοίχῳ. κατὰ δὲ τῆς στοᾶς τὸ ἐς τὴν ἀγορὰν ἕστηκε Πύῤῥωνος τοῦ Πιστοκράτους[3]) εἰκὼν, σοφιστοῦ τε ἀνδρὸς καὶ ἐς βέβαιον ὁμολογίαν ἐπὶ οὐδενὶ λόγῳ καταστάντος. ἔστι δὲ καὶ μνῆμα τῷ Πύῤῥωνι οὐ πόῤῥω τοῦ Ἠλείων ἄστεος· Πέτρα μὲν τῷ χωρίῳ τὸ ὄνομα λέγε-
5 ται, ὡς[4]) ἡ Πέτρα δῆμος εἴη τὸ ἀρχαῖον. Ἠλείοις δὲ ἐν τῷ ὑπαίθρῳ τῆς ἀγορᾶς τὰ ἐπιφανέστατα ναός ἐστι

2) τῆς λείας λέγουσι] Uterque Codex τῆς Ἠλείας λέγοντες exhibet. Sic in antecedentibus pro puncto post Ἠλεῖοι comma ponendum et γὰρ delendum esset.

3) Πύῤῥ. τοῦ Πιστοκράτους] In Diogene Laërt. L. IX. §. 61. et in Suida Pyrrhonis pater dicitur Πλείσταρχος, quod nomen rectius esse putat Menag. ad Laërt.

4) τὸ ὄνομα λέγεται, ὡς etc.] Non dubito, quin legendum sit τὸ ὄνομα, λέγεται δὲ ὡς etc.

ἐςι καὶ ἄγαλμα Ἀπόλλωνος Ἀκεσίου· σημαίνοιτο
δ᾽ ἂν τὸ ὄνομα οὐδέν τι ἀλλοῖον ἢ ὁ καλούμενος Ἀλε-
ξίκακος ὑπὸ Ἀθηναίων [5]). ἑτέρωθι δὲ Ἡλίῳ πε-
ποίηται καὶ Σελήνῃ λίθου τὰ ἀγάλματα· καὶ τῆς
μὲν κέρατα ἐκ τῆς κεφαλῆς, τοῦ δὲ αἱ ἀκτῖνες ἀνέ-
χουσιν. ἔςι δὲ καὶ Χάρισιν ἱερὸν, καὶ ξόανα ἐπίχρυ-
σα τὰ ἐς ἐσθῆτα [6]), πρόσωπα δὲ καὶ χεῖρες καὶ
πόδες λίθου λευκοῦ· ἔχουσι δὲ ἡ μὲν αὐτῶν ῥόδον,
ἀςράγαλον δὲ ἡ μέση, καὶ ἡ τρίτη κλῶνα οὐ μέγαν
μυρσίνης. ἔχειν δὲ αὐτὰς ἐπὶ τοιῷδε εἰκάζοι τὶς ἂν
τὰ εἰρημένα· ῥόδον μὲν καὶ μυρσίνην Ἀφροδίτης τε
ἱερὰ εἶναι καὶ οἰκεῖα τῷ ἐς κάλλος λόγῳ· Χάριτας
δὲ Ἀφροδίτῃ μάλιςα εἶναι θεῶν [7])· ἀςράγαλόν τε
μειρακίων τε καὶ παρθένων, οἷς ἄχαρι οὐδέν πω
πρόσεςιν ἐκ γήρως, τούτων εἶναι τὸν ἀςράγαλον
παίγνιον. τῶν Χαρίτων δὲ ἐν δεξιᾷ ἄγαλμά ἐςιν
Ἔρωτος· ἕςηκε δὲ ἐπὶ βάθρου τοῦ αὐτοῦ. Ἔςι δὲ 6
καὶ Σιληνοῦ ναὸς ἐνταῦθα, ἰδίᾳ τῷ Σιληνῷ καὶ οὐχ
ὁμοῦ Διονύσῳ πεποιημένος· Μέθη δὲ οἶνον ἐν ἐκπώ-
ματι αὐτῷ δίδωσι. θνητὸν δὲ εἶναι τὸ γένος τῶν
Σιληνῶν, εἰκάσαι τὶς ἂν μάλιςα ἐπὶ τοῖς τάφοις
αὐτῶν. ἐν γὰρ τῇ Ἑβραίων χώρᾳ [8]) Σιληνοῦ μνῆμα,
καὶ ἄλλου Σιληνοῦ Περγαμηνοῖς ἐςιν. Ἠλείων δὲ ἐν 7
τῇ ἀγορᾷ καὶ ἄλλο τοιόνδε εἶδον ναοῦ σχῆμα· ἔςι δὲ
οὐχ

5) Ἀλεξίκακος ὑ. Ἀθ.] Vide ſupra L. I. C. 3.

6) τὰ ἐς ἐσθῆτα] Cod. Vind. τὴν ἐσθῆτα, et Moſc. τὰ ἐσθῆτα.

7) καὶ οἰκεῖα τῷ ἐς κ. λόγῳ· Χάριτας δὲ Ἀφροδίτῃ μ. εἶ. θ.] *Kuhn.* haud abſurde ita interpungendum et legendum cenſet: καὶ οἰκεῖα τῷ ἐς κ. λόγῳ Χάριτας τῇ Ἀφροδίτῃ etc., *et ratione pulcritudinis nulli magis dearum quam Veneri convenire Gratias.*

8) ἐν γὰρ τῇ Ἑβραίων χ.] Conſule, quae de his conjecit Michaelis in *Comment. de Teraphis.* Brem. 1764.

οὐχ ὑψηλὸν, καὶ τοῖχοι μὲν οὐκ εἰσὶ, τὸν ὄροφον δὲ δρυὸς ἀνέχουσιν εἰργασμένοι κίονες. τοῦτο εἶναι μὲν ὁμολογοῦσιν οἱ ἐπιχώριοι μνῆμα, ὅτου δὲ, οὐ μνημονεύουσιν· εἰ δὲ ὁ γέρων, ὅντινα ἠρόμην, εἶπεν ἀληθῆ
8 λόγον, Ὀξύλου τοῦτο ἂν μνῆμα εἴη. Πεποίηται δὲ καὶ ταῖς γυναιξὶν ἐν τῇ ἀγορᾷ οἴκημα ταῖς ἑκκαίδεκα καλουμέναις[9]), ἔνθα τὸν πέπλον ὑφαίνουσι τῇ Ἥρᾳ.

## CAPUT XXV.

De templo in Elide Imperatoribus Romanis dedicato — Veneris Coelestis et Vulgivagae templo ac signis — Orci (Ἅδου) templo ejusque cultus apud Eleos origine — Fortunae templo et Sosipolidis cultu atque imagine picta — viri, Satrapae dicti, signo et cultu.

Ἔχεται δὲ τῆς ἀγορᾶς ναὸς ἀρχαῖος, στοαῖς ἐκ κύκλω περίστυλος· ὁ δὲ ὄροφος κατεῤῥύηκε τῷ ναῷ, καὶ ἄγαλμα οὐδὲν ἐλείπετο· βασιλεῦσι δὲ ἀνεῖται Ῥω-
2 μαίοις. Ἔστι δὲ τῆς στοᾶς ὀπίσω τῆς ἀπὸ τῶν λαφύρων τῶν ἐκ Κορκύρας Ἀφροδίτης ναὸς, τὸ δὲ ἐν ὑπαίθρῳ τέμενος οὐ πολὺ ἀφεστηκὸς ἀπὸ τοῦ ναοῦ. καὶ τὴν μὲν ἐν τῷ ναῷ καλοῦσιν Οὐρανίαν· ἐλέφαντος δέ ἐστι καὶ χρυσοῦ, τέχνη Φειδίου, τῷ δὲ ἑτέρῳ ποδὶ ἐπὶ χελώνης βέβηκε[1]). τῆς δὲ περιέχεται μὲν τὸ τέμενος θριγκῷ, κρηπὶς δὲ ἐντὸς τοῦ τεμένους πεποίηται,

9) ταῖς ἑκκαίδεκα καλ.] De his vide supra L. V. C. 16.

1) τῷ δὲ ἑ. π. ἐπὶ χελώνης βέβηκε] Hanc Venerem tangit Plutarch. de Iside et Osiride, ac subtilem magis quam veram testudinis pedi suppositae affert rationem. Illam vero cum testudine sic in gemma expressam memorat Winkelm. *Descript. des pierr. grav. p. 224. nr.* 1415.

ποίηται, καὶ ἐπὶ τῇ κρηπῖδι ἄγαλμα Ἀφροδίτης
χαλκοῦν, ἐπὶ τράγῳ κάθηται χαλκῷ· Σκόπα τοῦτο
ἔργον, Ἀφροδίτην δὲ Πάνδημον ὀνομάζουσι. τὰ δὲ
ἐπὶ χελώνῃ τε καὶ ἐς τὸν τράγον παρίημι τοῖς θέλου-
σιν εἰκάζειν. Ὁ δὲ ἱερὸς τοῦ Ἅδου περίβολός τε καὶ 3
ναὸς (ἔστι γὰρ Ἠλείοις καὶ Ἅδου περίβολός τε καὶ
ναὸς) ἀνοίγνυται μὲν ἅπαξ κατὰ ἔτος ἕκαστον, ἐσελ-
θεῖν δὲ οὐ τότε ἐφεῖται παρά γε τοῦ ἱερωμένου [2].
ἀνθρώπων δὲ ὧν ἴσμεν μόνοι [3]) τιμῶσιν Ἅδην Ἠλεῖοι
κατὰ αἰτίαν τήνδε. Ἡρακλεῖ στρατιὰν ἄγοντι ἐπὶ
Πύλον τὴν ἐν τῇ Ἤλιδι, παρεῖναί οἱ καὶ Ἀθηνᾶν
συνεργὸν λέγουσιν· ἀφικέσθαι οὖν καὶ Πυλίοις τὸν
Ἅδην συμμαχήσοντα [4]) τῇ ἀπεχθείᾳ τοῦ Ἡρακλέους,
ἔχοντα ἐν τῇ Πύλῳ τιμάς. ἐπάγονται δὲ καὶ Ὅμη-
ρον τῷ λόγῳ μάρτυρα ποιήσαντα ἐν Ἰλιάδι [5])·

Τλῆ δ' Ἀΐδης ἐν τοῖσι πελώριος ὠκὺν ὀϊστὸν,
Εὖτέ μιν ωὐτὸς ἀνὴρ Διὸς υἱὸς αἰγιόχοιο
Ἐν Πύλῳ ἐν νεκύεσσι βαλὼν ὀδύνῃσιν ἔδωκεν.

εἰ δὲ κατὰ τὴν Ἀγαμέμνονος καὶ Μενελάου στρατείαν
ἐπὶ Ἴλιον Ποσειδῶν τῷ Ὁμήρου λόγῳ τοῖς Ἕλλησιν
ἐπίκουρος ἦν, οὐκ ἂν ἄπο τοῦ εἰκότος, οὐδὲ Ἅδην εἴη,
δόξῃ γε τοῦ αὐτοῦ ποιητοῦ, Πυλίοις ἀμῦναι; Ἠλεῖοι
δ'

2) *οὐ τότε ἐφεῖται παρά γε τοῦ ἱερ.*] Uterque Codex pro *οὐ τότε* exhibet *οὔτε τότε*. Pro *παρά γε* Sylb. mavult *παρὲξ*, *excepto etc.*, nam *παρὰ* genitivo junctum non *praeter*, sed *a, ab* denotat, et sic ista interpretanda essent: *nemini permittitur a sacerdote.*

3) *μόνοι*] Hoc ex utroque Codice et Amasaei interpretatione dedi pro vulgata absurda *μνήμη*.

4) *συμμαχήσοντα*] Uterque Codex *συμμαχήσαντα*, uti aliquoties.

5) *μάρτυρα ποιήσαντα ἐν Ἰλιάδι*] Uterque Cod. *ποιήσασθαι τὰ ἐν Ἰλ.* Locus Homeri est Il. ε. v. 395., ubi pro *Διὸς υἱὸς* legitur *υἱὸς Διός*.

δ' οὖν ὡς σφίσι τε εὔνῳ καὶ ἀπεχθανομένῳ πρὸς τὸν
Ἡρακλέα ἐποιήσαντο τὸ ἱερὸν τῷ θεῷ. ἑκάστου δὲ
ἅπαξ ἀνοίγειν τοῦ ἐνιαυτοῦ νομίζουσιν, ὅτι (οἶμαι)
καὶ ἀνθρώποις ἅπαξ ἡ κάθοδος ἡ ἐς τοῦ Ἅδου γίνε-
4 ται. Τοῖς δὲ Ἠλείοις καὶ Τύχης ἱερόν ἐστιν· ἐν στοᾷ
δὲ τοῦ ἱεροῦ μεγέθει μέγα ἄγαλμα ἀνάκειται ξόανον
ἐπίχρυσον, πλὴν προσώπου, καὶ χειρῶν τε ἄκρων καὶ
ποδῶν· ταῦτα δέ οἱ ἐστὶ λίθου λευκοῦ. ἐνταῦθα ἔχει
τιμὰς καὶ ὁ Σωσίπολις [6]) ἐν ἀριστερᾷ τῆς Τύχης, ἐν οἰ-
κήματι οὐ μεγάλῳ. κατὰ δὲ ὄψιν ὀνείρατος γραφῇ
μεμιμημένος ἐστὶν ὁ θεὸς, παῖς μὲν ἡλικίαν, ἀμπέ-
χεται δὲ χλαμύδα ποικίλην ὑπὸ ἀστέρων [7]), τῇ χειρὶ
5 δὲ ἔχει τῇ ἑτέρᾳ τὸ κέρας τῆς Ἀμαλθείας. Καθ' ὅ
τι δὲ Ἠλείων ἡ πόλις πληθύει μάλιστα ἀνθρώποις,
κατὰ τοῦτο ἀνδριάς σφισιν ἀνδρὸς οὐ μείζων μεγάλου
χαλκοῦς ἐστιν, οὐκ ἔχων πω γένεια, τόν τε ἕτερον τῶν
ποδῶν ἐπιπλέκων τῷ ἑτέρῳ, καὶ ταῖς χερσὶν ἀμφοτέ-
ραις ἐπὶ δόρατι ἠρεισμένος· ἐσθῆτα δὲ ἐρεᾶν αὐτῷ
καὶ ἀπὸ λινοῦ τε καὶ βύσσου περιβάλλουσι. τοῦτο τὸ
ἄγαλμα ἐλέγετο εἶναι Ποσειδῶνος, ἔχειν δὲ τὸ ἀρχαῖον
ἐπὶ Σαμικῷ τῷ ἐν τῇ Τριφυλίᾳ τιμάς· μετακομισθὲν
δὲ ἐς τὴν Ἦλιν τιμῆς μὲν καὶ ἐς πλέον ἔτι ἥκει·
Σατράπην δὲ, καὶ οὐ Ποσειδῶνα, ὄνομα αὐτῷ τί-
θενται, κατὰ τὴν Πατρέων [8]) προσοίκησιν τὸ ὄνομα
τοῦ Σατράπου διδαχθέντες· Κορύβαντός τε ἐπίκλη-
σις ὁ Σατράπης ἐστί.

6) ὁ Σωσίπολις] De quo vide ſupra C. 20.

7) ὑπὸ ἀστέρων] Cod. Moſc. ἀπὸ ἀστερ., et mox pro πληθύει Cod. Vind. πληθύνει.

8) κατὰ τὴν Πατρ.] Cod. M. μετὰ τὴν Πατρ.

CAPUT

## CAPUT XXVI.

De prifco theatro cum Bacchi templo, ac fefto Thyia dicto — templo Minervae in arce Eleorum — Cyllene, Eleorum navali, et Mercurii figno, fafcino arrecto — gignentibus Eleorum agri, cultura ferici apud Seres et Seria infula — Elidis et Achaïae finibus.

Θέατρον δὲ ἀρχαῖον μεταξὺ τῆς ἀγορᾶς καὶ τοῦ Μηνίου [1]), τὸ θέατρόν τε καὶ ἱερόν ἐστι Διονύσου· τέχνη τὸ ἄγαλμα Πραξιτέλους. Θεῶν δὲ ἐν τοῖς μάλιστα Διόνυσον σέβουσιν Ἠλεῖοι, καὶ τὸν θεόν σφισιν ἐπιφοιτᾶν ἐς τῶν Θυίων τὴν ἑορτὴν λέγουσιν. ἀπέχει μέν γε τῆς πόλεως, ὅσον τε ὀκτὼ στάδια, ἔνθα τὴν ἑορτὴν ἄγουσιν Θυίαν [2]) ὀνομάζοντες· λέβητας δὲ ἀριθμὸν τρεῖς ἐς οἴκημα ἐσκομίσαντες οἱ ἱερεῖς κατατίθενται κενούς, παρόντων καὶ τῶν πολιτῶν καὶ ξένων [3]), εἰ τύχοιεν ἐπιδημοῦντες· σφραγῖδας δὲ αὐτοί τε οἱ ἱερεῖς, καὶ τῶν ἄλλων ὅσοις ἂν [4]) κατὰ γνώμην ᾖ, ταῖς θύραις τοῦ οἰκήματος ἐπιβάλλουσιν.



1) τοῦ Μηνίου] Amaf. *Dianium*, h. e. Dianae templum. Potius *Lunae aedes*, a Μήνη, *Luna*. Vid. Hefych. et Suidam. Strab. L. XII. p. 835. B. memorans τὸ ἱερὸν Μηνὸς paullo poft addit: ἔστι δὲ καὶ τοῦτο τῆς Σελήνης τὸ ἱερόν. Forte τὸ Μήνιον locus fuit, in quo Solis et Lunae figna pofita erant, quae paullo fupra memorat Paufanias C. 24.

2) Θυίαν] *Sylb.* et *Kuhn.* non temere monent, fcribendum effe Θυία vel Θυῖα neutro genere. Tangere videtur hoc feftum Plutarch. Quaeft. Graec.

3) καὶ ξένων] Cod. Vindob. καὶ τῶν αὐτῶν ξένων, et Mufc. quoque αὐτῶν exhibet.

4) ὅσοις ἂν] Pro ἐὰν cum *Kuhnio*, fenfu flagitante, repofui ἂν, quod in mendofa Codicis Vind. lectione ὅσοι ἐὰν latere videtur. Ceterum eandem fabulam legere licet in Ariftotel. de Mirab. Aufcult. C. 134., ubi vide Beckm. V. C.

ἐς δὲ τὴν ἐπιοῦσαν τά τε σημεῖα ἐπιγνῶναι πάρεςί σφισι, καὶ ἐσελθόντες ἐς τὸ οἴκημα εὑρίσκουσιν οἴνου πεπλησμένους τοὺς λέβητας. ταῦτα Ἠλείων τε οἱ δοκιμώτατοι ἄνδρες, σὺν αὐτοῖς δὲ καὶ ξένοι κατώμνυντο ἔχειν κατὰ τὰ εἰρημένα· ἐπεὶ αὐτός γε οὐκ εἰς καιρὸν ἀφικόμην τῆς ἑορτῆς. λέγουσι δὲ καὶ Ἄνδριοι παρὰ ἔτος σφίσιν ἐς τοῦ Διονύσου τὴν ἑορτὴν ῥεῖν οἶνον αὐτόματον ἐκ τοῦ ἱεροῦ. πιςεύειν χρὴ ταῦτα Ἕλλησι, καὶ ἀποδέχοιτο ἄν τις τῷ λόγῳ τε τῷ αὐτῷ καὶ ὅσα Αἰθίοπες οἱ ὑπὲρ Συήνης ἐς τοῦ Ἡλίου
2 τὴν τράπεζαν λέγουσιν [5]). Ἐν ἀκροπόλει δὲ τῇ Ἠλείων ἐςὶν ἱερὸν Ἀθηνᾶς· ἐλέφαντος δὲ τὸ ἄγαλμα καὶ χρυσοῦ. εἶναι μέν τοι [6]) Φειδίου φασὶν αὐτήν· πεποίηται δὲ ἀλεκτρυὼν ἐπὶ τῷ κράνει, ὅτι οὗτοι προχειρότατα ἔχουσιν ἐς μάχας οἱ ἀλεκτρυόνες· δύναιτο δ᾽ ἂν καὶ Ἀθηνᾶς τῆς Ἐργάνης ἱερὸς ὁ
3 ὄρνις νομίζεσθαι. Κυλλήνη δὲ ςαδίους μὲν εἴκοσιν Ἤλιδος καὶ ἑκατὸν ἀφέςηκε, κεῖται δὲ τετραμμένη τε πρὸς Σικελίαν, καὶ ὅρμον παρεχομένη ναυσὶν ἐπιτήδειον· ἐπίνειον δὲ οὖσα Ἠλείων, ἀπὸ ἀνδρὸς Ἀρκάδος τὸ ὄνομα εἴληφε. Κυλλήνης δὲ ἐν μὲν Ἠλείων καταλόγῳ λόγον οὐδένα Ὅμηρος ἐποιήσατο· ἐν δὲ ἔπεσι [7]) τοῖς ὕςερον δεδήλωκεν, ὡς πόλισμα οὖσαν καὶ τὴν Κυλλήνην ἐπίςαται·

Πουλυδάμας δ᾽ Ὦτον Κυλλήνιον ἐξενάριξεν,
Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.

Θεῶν

5) Αἰθίοπες — λέγουσιν] Vide supra L. I. C. 33. not. 12.

6) εἶναι μέν τοι] Ex utroque Codice τοι rescripsi pro vulgata οὖν.

7) ἐν δὲ ἔπεσι etc.] Iliad. ο. v. 528.

Θεῶν δὲ ἱερὰ ἐν Κυλλήνῃ Ἀσκληπιοῦ, τὸ δὲ Ἀφροδί-
της ἐςί· τοῦ Ἑρμοῦ δὲ τὸ ἄγαλμα, ὃν οἱ ταύτῃ περισ-
σῶς σέβουσιν, ὀρθόν ἐςιν αἰδοῖον ἐπὶ τοῦ βάθρου [8]).
Ἡ δὲ Ἠλεία χώρα τά τε ἄλλα ἐςὶν ἐς καρποὺς καὶ 4
τὴν βύσσον οὐχ ἥκιςα ἐκτρέφειν ἀγαθή. τὴν μὲν δὴ
καννάβιδα καὶ λίνον καὶ τὴν βύσσον σπείρουσιν, ὅσοις
ἡ γῆ τρέφειν ἐςὶν ἐπιτήδειος. οἱ μίτοι δὲ, ἀφ' ὧν τὰς
ἐσθῆτας ποιοῦσιν οἱ Σῆρες [9]), ἀπὸ οὐδενὸς φλοιοῦ,
τρόπον δὲ ἕτερον γίνονται τοιόνδε. ἔςιν ἐν τῇ γῇ ζωΰ-
φιόν σφισιν, ὃν σῆρα καλοῦσιν Ἕλληνες, ἀπὸ δὲ
αὐτῶν Σηρῶν [10]) ἄλλο πού τι, καὶ οὐ σὴρ, ὀνομάζεται.
μέγεθος μέν ἐςιν αὐτοῦ διπλάσιον ἢ κανθάρων ὁ μέ-
γιςος, τὰ δὲ ἄλλα εἴκαςαι τοῖς ἀράχναις, οἳ ὑπὸ
τοῖς δένδρεσιν ὑφαίνουσι· καὶ δὴ καὶ πόδας ἀριθμὸν
ὀκτὼ κατὰ ταυτὰ ἔχει τοῖς ἀράχναις. ταῦτα τὰ ζῶα
τρέφουσιν οἱ Σῆρες οἴκους κατασκευασάμενοι, χειμῶ-
νός τε καὶ θέρους ὥρα ἐπιτηδείους. τὸ δὲ ἔργον τῶν
ζώων κλῶσμα εὑρίσκεται λεπτὸν, τοῖς ποσὶν αὐτῶν
περιειλιγμένον. τρέφουσι δὲ αὐτὰ ἐπὶ μὲν τέσσαρα
ἔτη παρέχοντες τροφήν σφισιν ἔλυμον [11])· πέμπτῳ δὲ
(οὐ γὰρ πρόσω βιωσόμενα ἴσασι) κάλαμον διδόασιν
ἐσθίειν χλωρόν. ἡ δέ ἐςιν ἡδίςη τροφὴ πασῶν τῷ
ζώῳ, καὶ ἐμφορηθὲν τοῦ καλάμου, ῥήγνυταί τε ὑπὸ
πλησμονῆς, καὶ ἀποθανόντος οὕτω τὸ πολὺ τῆς

 ἀρπε-

8) τοῦ Ἑρμοῦ — βάθρου] De hac prisca Mercurii signorum forma locus classicus est in Herodot. L. II. s. 51. Conf. Cicero de Nat. Deor. L. III. §. 36. et Macrob. Saturn. L. I. C. 19.

9) οἱ μίτοι — οἱ Σῆρες etc.] De Seribus conf., quae collegit Salmas. Exercit. p. 1121., et de serico p. 296. sq. Mox pro φλοιοῦ *Amas.* interpretatus *stirpe* legisse videtur φυτοῦ.

10) ἀπὸ δὲ αὐτῶν Σ.] Cod. Vind. ἀπὸ δὲ τῶν αὐτῶν Σ.

11) ἔλυμον] *panicum.* Vide Hesych. h. v. et ibi not., ac Plin. H. N. L. VIII. C. 7. 3.

ἀρπεδόνης εὑρίσκουσιν ἔνδον. γιγνώσκεται δὲ ἡ Σηρία νῆσος ἐν μυχῷ θαλάσσης κειμένη τῆς ἐρυθρᾶς. ἤκουσα δὲ καὶ ὡς οὐχ ἡ ἐρυθρὰ, ποταμὸς δὲ, ὃν Σῆρα ὀνομάζουσιν, οὗτός ἐστιν ὁ ποιῶν νῆσον αὐτήν· ὥσπερ καὶ Αἰγύπτου τὸ Δέλτα ὑπὸ τοῦ Νείλου, καὶ οὐχ [12]) ὑπὸ μιᾶς περιέχεσθαι θαλάσσης· τοιαύτην ἑτέραν καὶ τὴν Σηρίαν νῆσον εἶναι. οὗτοι μὲν δὴ τοῦ Αἰθιόπων γένους αὐτοί τε εἰσὶν οἱ Σῆρες, καὶ ὅσοι τὰς προσεχεῖς αὐτῇ νέμονται νήσους, Ἄβασαν καὶ Σακαίαν [13])· οἱ δὲ αὐτοὺς οὐκ Αἰθίοπας, Σκύθας δὲ ἀναμεμιγμένους Ἰνδοῖς φασιν εἶναι. ταῦτα μὲν δὴ οὕτω λέγεται.

5 Ἀνδρὶ δὲ ἐς Ἀχαΐαν ἰόντι ἐξ Ἤλιδος, ἑπτὰ καὶ πεντήκοντα στάδιοι καὶ ἑκατὸν ἐπὶ ποταμόν εἰσι Λάρισον, καὶ Ἠλείοις ὅροι πρὸς Ἀχαιοὺς τῆς χώρας ὁ ποταμός ἐστιν ἐφ᾽ ἡμῶν ὁ Λάρισος [14])· τὰ δὲ ἔτι ἀρχαιότερα ἄκρα σφίσι πρὸς θαλάσσῃ ὅρος ἦν ὁ Ἄραξος.

12) καὶ οὐχ] Uterque Cod. καὶ οὐδέ. Mox pro περιέχεσθαι forte ſcribendum ſit περιέχεται.

13) Ἄβασαν καὶ Σακαίαν] Conf. Stephan. Byz. v. Ἀβασηνοὶ et ibi Berkel., nec non v. Σάβαι.

14) καὶ Ἠλείοις — ὁ Λάρισος] Vide L. VII. C. 17. et ibi not.

# ΠΑΥΣΑΝΙΟΥ

## ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

### ΑΧΑΙΚΑ.

# ACHAICA
SEU
# LIB. VII.

## CAPUT I.

De Achaïae ſitu et priſco nomine Aegialo — Aegiali primis regibus, Xutho, Ione — Achaei, a Dorienſibus ejecti, Tiſameno duce in Aegialum profecti Ionas expellunt — Iones ab Athenienſibus recipiuntur.

Ἡ δὲ τῆς Ἠλείας μέση καὶ Σικυωνίας, καθήκουσα
μὲν ἐπὶ τὴν πρὸς ἕω θάλασσαν, Ἀχαΐα δὲ
ὄνομα τὸ ἐφ' ἡμῶν ἔχουσα ἀπὸ τῶν ἐνοικούντων, αὕτη
τε Αἰγιαλὸς τὸ ἀρχαῖον, καὶ οἱ νεμόμενοι τὴν γῆν ἐκα-
λοῦντο Αἰγιαλεῖς, λόγῳ μὲν τῷ Σικυωνίων ἀπὸ Αἰ-
γιαλέως βασιλεύσαντος ἐν τῇ νῦν Σικυωνίᾳ· εἰσὶ δὲ οἵ
φασιν ἀπὸ τῆς χώρας, εἶναι γὰρ τὰ πολλὰ αὐτῆς
αἰγιαλόν. Χρόνῳ δὲ ὕστερον ἀποθανόντος Ἕλληνος, 2
Ξοῦθον οἱ λοιποὶ τοῦ Ἕλληνος παῖδες διώκουσιν ἐκ
Θεσσαλίας, ἐπενεγκόντες αἰτίαν, ὡς ἴδια χρήματα
ὑφελόμενος ἔχοι τῶν πατρῴων. ὁ δὲ ἐς Ἀθήνας φυγὼν,
θυγατέρα Ἐρεχθέως ἠξιώθη λαβεῖν, καὶ παῖδας
Ἀχαιὸν καὶ Ἴωνα ἔσχεν ἐξ αὐτῆς. ἀποθανόντος δὲ
Ἐρεχθέως, τοῖς παισὶν αὐτοῦ δικαστὴς Ξοῦθος ἐγένετο

ὑπὲρ τῆς ἀρχῆς· καὶ (ἔγνω γὰρ τὸν πρεσβύτατον Κέκροπα βασιλέα εἶναι) οἱ λοιποὶ τοῦ Ἐρεχθέως παῖδες ἐξελαύνουσιν ἐκ τῆς χώρας αὐτόν· ἀφικομένῳ δὲ ἐς τὸν Αἰγιαλὸν καὶ οἰκήσαντι, αὐτῷ μὲν ἐγένετο ἐνταῦθα ἡ τελευτή· τῶν δέ οἱ παίδων, Ἀχαιὸς μὲν ἐκ τοῦ Αἰγιαλοῦ παραλαβὼν καὶ ἐξ Ἀθηνῶν ἐπικούρους, κατῆλθεν ἐς Θεσσαλίαν, καὶ ἔσχε τὴν πατρῴαν ἀρχήν· Ἴωνι δ' ἐπὶ τοὺς Αἰγιαλεῖς ϛρατιὰν καὶ ἐπὶ Σελινοῦντα τὸν βασιλέα αὐτῶν ἀθροίζοντι, ἀγγέλους ἔπεμπεν ὁ Σελινοῦς, τὴν θυγατέρα Ἑλίκην, ἣ μόνη οἱ παῖς ἦν, γυναῖκα αὐτῷ διδούς, καὶ αὐτὸν Ἴωνα ἐπὶ τῇ ἀρχῇ παῖδα ποιούμενος. καί πως ταῦτα τῷ Ἴωνι ἐγένετο οὐκ ἀπὸ γνώμης [1]); καὶ τῶν Αἰγιαλέων τὴν ἀρχὴν Ἴων ἔσχεν ἀποθανόντος Σελινοῦντος, καὶ Ἑλίκην τε ἀπὸ τῆς γυναικὸς ᾤκισεν ἐν τῷ Αἰγιαλῷ πόλιν, καὶ τοὺς ἀνθρώπους ἐκάλεσεν Ἴωνας ἀφ' αὐτοῦ. τοῦτο οὐ μεταβολὴ τοῦ ὀνόματος, προςθήκη δέ σφισιν ἐγένετο· Αἰγιαλεῖς γὰρ ἐκαλοῦντο Ἴωνες· τῇ χώρᾳ δὲ ἔτι καὶ μᾶλλον διέμεινεν ὄνομα τὸ ἐξαρχῆς [2]). Ὁμήρῳ [3]) γοῦν ἐν καταλόγῳ τῶν μετὰ Ἀγαμέμνονος ἐξήρκεσε τὸ ἀρχαῖον δηλῶσαι τῆς γῆς ὄνομα·

Αἰγιαλόν τ' ἀνὰ πάντα καὶ ἀμφ' Ἑλίκην εὐρεῖαν.

τότε δὲ ἐπὶ τῆς Ἴωνος βασιλείας πολεμησάντων Ἀθηναίοις Ἐλευσινίων, καὶ Ἀθηναίων [4]) Ἴωνα ἐπαγομένων ἐπὶ

1) οὐκ ἀπὸ γνώμης] *Amaſ.*, qui interpretatur *ex animi ſententia*, οὐκ non legiſſe videtur, vel οὐ παρὰ γνώμην, *non contra animi ſententiam.*

2) διέμεινεν ὄνομα τὸ ἐξαρχ.] Ex Codice Moſc. pro vulgatis διέμεινε τὸ ὄν. ἐξαρχῆς.

3) Ὁμήρῳ] Iliad. β. v. 575.

4) Ἀθηναίων] Uterque Cod. male dat Θηβαίων. Ad rem conf. ſupra L. I. C. 31. et L. II. C. 14. init.

ἐπὶ ἡγεμονίᾳ τοῦ πολέμου, τὸν μὲν ἐν τῇ Ἀττικῇ τὸ
χρεὼν ἐπιλαμβάνει, καὶ Ἴωνος ἐν τῷ δήμῳ μνῆμα
Ποταμίων ἐστίν· οἱ δὲ ἀπόγονοι τοῦ Ἴωνος τὸ Ἰώνων
ἔσχον κράτος, ἐς ὃ ὑπ' Ἀχαιῶν ἐξέπεσον καὶ αὐτοὶ
καὶ ὁ δῆμος. Τοῖς δὲ Ἀχαιοῖς τηνικαῦτα ὑπῆρξε καὶ 3
αὐτοῖς ἐκ Λακεδαίμονος καὶ Ἄργους ὑπὸ Δωριέων
ἐξηλάσθαι. τὰ δὲ ἐς Ἴωνας καὶ Ἀχαιοὺς ὁπόσα
ἐπράχθη σφίσιν ἐπ' ἀλλήλους, ἐπέξεισιν αὐτίκα ὁ
λόγος μοι προδιηγησαμένῳ, καθ' ἥντινα αἰτίαν τοῖς
Λακεδαίμονα οἰκοῦσι καὶ Ἄργος πρὸ τῆς τῶν Δωριέων
καθόδου μόνοις Πελοποννησίων ὑπῆρξεν Ἀχαιοῖς κα-
λεῖσθαι. Ἄρχανδρος Ἀχαιοῦ [5]) καὶ Ἀρχιτέλης ἐς
Ἄργος ἀφίκοντο ἐκ τῆς Φθιώτιδος, ἐλθόντες δὲ ἐγέ-
νοντο Δαναοῦ γαμβροί, καὶ Αὐτομάτην μὲν Ἀρχιτέλης,
Σκαιὰν δὲ ἔλαβεν Ἄρχανδρος. δηλοῦσι δὲ ἐν Ἄργει
καταμείναντες οὐχ ἥκιστα ἐν τῷδε· Μετανάστην [6]) γὰρ
τῷ παιδὶ ὄνομα ἔθετο Ἄρχανδρος. δυνηθέντων δὲ ἔν
τε Ἄργει καὶ Λακεδαίμονι τῶν Ἀχαιοῦ παίδων, τοὺς
ἀνθρώπους ἐνταῦθα ἐξενίκησεν Ἀχαιοὺς κληθῆναι.
τοῦτο μέν σφισιν ὄνομα ἦν ἐν κοινῷ, Δαναοὶ δὲ Ἀρ-
γείοις ἰδίᾳ. τότε δὲ ὑπὸ Δωριέων ἐκπεπτωκότες ἔκ τε
Ἄργους καὶ ἐκ Λακεδαίμονος, ἐπεκηρυκεύοντο Ἴωσιν
αὐτοί τε καὶ ὁ βασιλεὺς Τισαμενὸς ὁ Ὀρέστου γενέσθαι
σύνοικοί σφισιν ἄνευ πολέμου. τῶν δὲ Ἰώνων τοὺς
βασι-

5) Ἄρχανδρος Ἀχαιοῦ etc.] Herodoto L. II. ſ. 98. Archander Phthii filius et Achaei nepos dicitur, et Strabo L. VIII. p. 588. A., ubi de eadem re agitur, ipſum Achaeum Lacedaemonem veniſſe et incolis nomen dediſſe refert; ita quoque Apollodor. p. 27. edit. Heyn.

6) Μετανάστην] *exulem*, *profugum*. Heſych. μετανάσται, μέτοικοι, φυγάδες. Sed ut nominis ratio ſibi conſtet, *Goldhagen* in verſ. germ. οὐχ ante ἥκιστα delendum cenſet.

βασιλέας ὑπῄει δέος, μὴ Ἀχαιῶν ἀναμιχθέντων αὐτοῖς Τισαμενὸν ἐν κοινῷ βασιλέα ἕλωνται, κατά τε ἀνδραγαθίαν καὶ γένους δόξαν· Ἰώνων δὲ οὐ προσιεμένων τοὺς Ἀχαιῶν λόγους, ἀλλὰ ἐπεξελθόντων σὺν ὅπλοις, Τισαμενὸς μὲν ἔπεσεν ἐν τῇ μάχῃ, Ἴωνας δὲ Ἀχαιοὶ κρατήσαντες ἐπολιόρκουν καταπεφευγότας ἐς Ἑλίκην, καὶ ὕστερον ἀφιᾶσιν ἀπελθεῖν ὑποσπόνδους. Τισαμενοῦ δὲ τὸν νεκρὸν Ἀχαιῶν ἐν Ἑλίκῃ θαψάντων, ὕστερον χρόνῳ Λακεδαιμόνιοι, τοῦ ἐν Δελφοῖς σφισιν ἀνειπόντος χρηστηρίου, κομίζουσι τὰ ὀστᾶ ἐς Σπάρτην, καὶ ἦν καὶ ἐς ἐμὲ ἔτι αὐτῷ τάφος, ἔνθα τὰ δεῖπνα
4 Λακεδαιμονίοις ἐστὶ τὰ Φειδίτια καλούμενα [7]). Ἴωνας δὲ ἀφικομένους ἐς τὴν Ἀττικὴν, Ἀθηναῖοι καὶ ὁ βασιλεὺς αὐτῶν Μέλανθος Ἀνδροπόμπου συνοίκους ἐδέξαντο, Ἴωνός τε δὴ ἕνεκα καὶ ἔργων, ἃ ἔπραξε πολεμαρχῶν Ἀθηναίοις. λέγεται δὲ καὶ ὡς ἐν ὑπονοίᾳ ποιούμενοι τοὺς Δωριέας οἱ Ἀθηναῖοι, μὴ οὐδὲ αὐτῶν ἐθέλωσιν ἀπέχεσθαι, ἰσχύος μᾶλλον οἰκείας εἵνεκα, ἢ εὐνοίᾳ τῇ ἐς τοὺς Ἴωνας, συνοίκους σφᾶς ἐδέξαντο.

7) τὰ Φειδίτια καλ.] De his vide not. 18. ad L. III. C. 11.

CAPUT

## CAPUT II.

Codri filii cum Ionibus et aliis Graecis coloniam in Asiam deducunt — de tribus coloniis e Graecia deductis — Nilei in Miletum adventu et de Milesiis — templo Apollinis Didymis et Diana Ephesia — Androclus, Codri filius, Ephesum venit — de ejus nece et sepulcro — Priene et Myunte ab Ionibus occupatis.

Ἔτεσι δὲ οὐ πολλοῖς ὕστερον Μέδων καὶ Νειλεὺς [1])
πρεσβύτατοι τῶν Κόδρου παίδων ἐστασίασαν ὑπὲρ τῆς
ἀρχῆς, καὶ οὐκ ἔφασκεν ὁ Νειλεὺς ἀνέξεσθαι βασι-
λευόμενος ὑπὸ τοῦ Μέδοντος, ὅτι ὁ Μέδων τὸν ἕτερον
ἦν τῶν ποδῶν χωλός. δόξαν δέ σφισιν [2]), ἀνενεγκεῖν
ἐς τὸ χρηστήριον τὸ ἐν Δελφοῖς, δίδωσι Μέδοντι ἡ
Πυθία βασιλείαν τὴν Ἀθηναίων. οὕτω δὴ ὁ Νειλεὺς
καὶ οἱ λοιποὶ τῶν Κόδρου παίδων ἐς ἀποικίαν ἀπεστά-
λησαν, ἀγαγόντες μὲν καὶ αὐτῶν Ἀθηναίων τὸν βου-
λόμενον, τὸ δὲ πλεῖστόν σφισιν ἦσαν τοῦ στρατεύματος
οἱ Ἴωνες. Ἐκ δὲ τῆς Ἑλλάδος τρίτος δὴ οὗτος στόλος 2
ὑπὸ βασιλεῦσιν ἀλλοίοις ὄχλοις τε ἀλλοίοις [3]) ἐστάλη-
σαν. τὰ μὲν γὰρ ἀρχαιότατα Ἰόλαος Θηβαῖος ἀδελ-
φιδοῦς ὁ Ἡρακλέους Ἀθηναίοις ἐς Σαρδὼ καὶ Θε-
σπιεῦσιν ἡγήσατο [4]). γενεᾷ δὲ μιᾷ πρότερον, ἢ ἐξέ-
πλευσαν

1) Νειλεὺς] Sic hoc nomen etiam scribitur ab Herodoto L. IX. f. 97., ab aliis Νηλ., de qua scripturae varietate vid. Periz. ad Ael. Var. Hist. L. VIII. C. 5. et Wesseling. ad Herod. l. c., qui scriptores ad rem ipsam quoque sunt consulendi.

2) δόξαν δέ σφισιν] *cum illis placuisset.* δόξαν absolute positum, uti aliquoties in Pausania.

3) ὄχλοις τε ἀλλοίοις] Haec in Codice Mosc. desunt.

4) Ἰόλαος — ἐς Σαρδὼ καὶ Θεσπιεῦσιν ἡγ.] Eadem leguntur L. X.

πλευσαν ἐξ Ἀθηνῶν Ἴωνες, Λακεδαιμονίους τε καὶ Μινύας τοὺς ἐκβληθέντας ὑπὸ Πελασγοῦ ἐκ Λήμνου, Θήρας ὁ Αὐτεσίωνος Θηβαῖος ἤγαγεν ἐς τὴν νῆσον, τὴν νῦν μὲν ἀπὸ τοῦ Θήρα τούτου, πρότερον δὲ ὀνομαζομένην Καλλίστην [5]). τρίτον δὲ τότε οἱ Κόδρου παῖδες ἐπετάχθησαν Ἴωσιν ἄρχοντες, οὐδέν σφισι γένος τῶν Ἰώνων μετὸν, ἀλλὰ Μεσσήνιοι μὲν τῶν ἐκ Πύλου τὰ πρὸς Κόδρου καὶ Μελάνθου, Ἀθηναῖοι δὲ ὄντες τὰ πρὸς μητρός. Ἴωσι δὲ τοῦ στόλου μετασχόντες οἵδε Ἑλλήνων· Θηβαῖοί τε οἱ ὁμοῦ Φιλώτᾳ γεγονότι ἀπογόνῳ Πηνέλεω, καὶ Ὀρχομένιοι Μινύαι [6]) συγγενείᾳ τῶν Κόδρου παίδων· μετέσχον δὲ καὶ Φωκεῖς οἱ ἄλλοι πλὴν Δελφῶν, καὶ Ἄβαντες ἐξ Εὐβοίας. τοῖς δὲ Φωκεῦσι Φιλογένης καὶ Δάμων οἱ Εὐκτήμονος Ἀθηναῖοι ναῦς τε διδόασιν ἐς τὸν πλοῦν, καὶ αὐτοί σφισιν ἐς τὴν ἀποικίαν ἐγένοντο ἡγεμόνες. ὡς δὲ ταῖς ναυσὶν ἐς τὴν Ἀσίαν κατῆραν, ἐπ' ἄλλην ἐτράποντο ἄλλοι τῶν ἐπὶ θαλάσσῃ πόλεων· Νειλεὺς δὲ καὶ ἡ σὺν αὐτῷ
3 μοῖρα ἐς Μίλητον. Μιλήσιοι δὲ αὐτοὶ τοιάδε τὰ ἀρχαιότατά σφισιν εἶναι λέγουσιν· ἐπὶ γενεὰς μὲν δὴ [7]) Ἀνακτο-

L. X. C. 17. Conf. Diodor. Sic. L. IV. ſ. 29. Θεσπιεῖς Diodoro et aliis dicuntur Θεσπιάδαι vel Θεστιάδαι, *Theſpii* vel *Theſtii nepotes ex L filiabus et Hercule*. Theſpius enim vel Theſtius rex Theſpienſium fuit ſecundum Diodorum l. c. et Apollodor. L. II. C. 4. ſ. 10., unde illa nominum *Theſt.* et *Theſp.* confuſio jam antiquitus mihi orta eſſe videtur, de qua vide Heyne V. C. ad Apollod. p. 331.

5) Λακεδαιμονίους τε — Καλλίστην] De his vid. ſupra L. III. C. 1. et ibi not. Pro Πελασγοῦ Palmer. Exerc. p. 410. emendat Πελασγῶν. Mox pro γένος mihi ſcribendum eſſe videtur γένους, conſtructionis ratione vocis μετὸν ita poſtulante.

6) Μινύαι] Dedi pro vulgata Μινύαις, re ipſa et conſtructione flagitante.

7) ἐπὶ γενεὰς μὲν δὴ etc.] *Amaſ.*, qui interpretatur: *jam tum ab initio*, alia legiſſe videtur. Equidem poſt ἐπὶ numerum

Ἀνακτορίαν καλεῖσθαι τὴν γῆν, Ἄνακτός τε
αὐτόχθονος καὶ Ἀστερίου [8]) βασιλεύοντος τοῦ Ἄ-
νακτος. Μιλήτου δὲ κατάραντος στόλῳ Κρητῶν,
ἥ τε γῆ τὸ ὄνομα μετέβαλεν ἀπὸ τοῦ Μιλήτου καὶ
ἡ πόλις. ἀφίκετο δὲ ἐκ Κρήτης ὁ Μίλητος καὶ ὁ σὺν
αὐτῷ στρατὸς, Μίνω τὸν Εὐρώπης φεύγοντες [9]). οἱ δὲ
Κᾶρες οἱ πρότερον νεμόμενοι τὴν χώραν, σύνοικοι τοῖς
Κρησὶν ἐγένοντο. τότε δὲ ὡς ἐκράτησαν τῶν ἀρχαίων
Μιλησίων οἱ Ἴωνες, τὸ μὲν γένος πᾶν τὸ ἄρσεν
ἀπέκτειναν, πλὴν ὅσοι τῆς πόλεως ἁλισκομένης ἐκ-
διδράσκουσι, γυναῖκας δὲ καὶ θυγατέρας τὰς ἐκείνων
γαμοῦσι. τοῦ δὲ Νειλέως ὁ τάφος ἰόντων ἐς Διδύ-
μους ἐστὶν οὐ πόῤῥω τῶν πυλῶν ἐν ἀριστερᾷ τῆς ὁδοῦ.
Τὸ δὲ ἱερὸν τὸ ἐν Διδύμοις [10]) τοῦ Ἀπόλλωνος καὶ τὸ 4
μαντεῖόν ἐστιν ἀρχαιότερον, ἢ κατὰ τὴν Ἰώνων ἐσοίκησιν·
πολλῷ δὴ πρεσβύτερα ἔτι ἢ κατὰ Ἴωνας τὰ ἐς τὴν
Ἄρτεμιν τὴν Ἐφεσίαν ἐστίν. οὐ μὴν πάντα γε ἐς τὴν
θεὸν ἐπύθετο (ἐμοὶ δοκεῖν) Πίνδαρος, ὃς [11]) Ἀμαζό-
νας τὸ ἱερὸν ἔφη τοῦτο ἱδρύσασθαι στρατευομένας ἐπὶ
Ἀθήνας τε καὶ Θησέα. αἱ δὲ ἀπὸ Θερμώδοντος γυ-
ναῖκες ἔθυσαν μὲν καὶ τότε τῇ Ἐφεσίᾳ θεῷ, ἅτε ἐπι-
στάμεναί τε ἐκ παλαιοῦ τὸ ἱερὸν, καὶ ἡνίκα Ἡρακλέα
ἔφυγον αἵδε, καὶ Διόνυσον τὰ ἔτι ἀρχαιότερα,
ἱκέτιδες

merum τῶν γενεῶν excidiſſe ſuſpicor, forte γ'. Sic Apollod. p. 176. ἐπὶ τρεῖς γενεάς.

8) Ἄνακτός τε αὐτόχθ: καὶ Ἀστερίου] De his vide ſupra L. I. C. 35. §. 5.

9) ἀφίκετο — ὁ Μίλητος — φεύγοντες] Vide Apollod. L. III. C. 1. ſ. 2. et ibi Heyne V. C.

10) Τὸ δὲ — ἐν Διδύμοις etc.] Δίδυμα loci et oraculi nomen fuit. Vide Stephan. h. v. Apollo inde Didymaeus dictus, et ὁ ἐν Βραγχίδαις, de quo vide Herodot. L. I. ſ. 157. et Strab. L. XIV. p. 941. A. B. Suid. Βράγχιδαι, οἱ ἐν Διδύμοις τῆς Μιλησίας οἰκοῦντες.

11) Πίνδαρος, ὃς etc.] Vide Olymp. Od. XIII. v. 122. ſq. Paullo ſupra poſt πάντα γε Cod. M. exhibet τέ.

ἱκέτιδες ἐνταῦθα ἐλθοῦσαι. οὐ μὴν ὑπὸ Ἀμαζόνων
γε ἱδρύνθη [12]· Κρῆσος δὲ αὐτόχθων τὶς καὶ Ἔφεσος
(Καΰςρου δὲ τοῦ ποταμοῦ τὸν Ἔφεσον παῖδα εἶναι
νομίζουσιν) οὗτοι τὸ ἱερόν εἰσιν οἱ ἱδρυσάμενοι, καὶ
ἀπὸ τοῦ Ἐφέσου τὸ ὄνομά ἐςι τῇ πόλει. Λέλεγες δὲ
τοῦ Καρικοῦ μοῖρα καὶ Λυδῶν τὸ πολὺ οἱ νεμόμενοι
τὴν χώραν ἦσαν· ᾤκουν δὲ καὶ περὶ τὸ ἱερὸν ἄλλοι τε
ἱκεσίας εἵνεκα, καὶ γυναῖκες τοῦ Ἀμαζόνων γένους.
5 Ἄνδροκλος δὲ ὁ Κόδρου (οὗτος γὰρ δὴ ἀπεδέδεικτο
Ἰώνων τῶν ἐς Ἔφεσον πλευσάντων βασιλεὺς) Λέλεγας
μὲν καὶ Λυδοὺς τὴν ἄνω πόλιν ἔχοντας ἐξέβαλεν ἐκ τῆς
χώρας· τοῖς δὲ περὶ τὸ ἱερὸν οἰκοῦσι δεῖμα ἦν οὐδὲν,
ἀλλὰ Ἴωσιν ὅρκους δόντες, καὶ ἀνὰ μέρος παρ' αὐτῶν
λαβόντες, ἐκτὸς ἦσαν πολέμου. ἀφείλετο δὲ καὶ
Σάμον Ἄνδροκλος Σαμίους, καὶ ἔσχον Ἐφέσιοι χρό-
6 νον τινὰ Σάμον καὶ τὰς προσεχεῖς νήσους. Σαμίων δὲ
ἤδη κατεληλυθότων ἐπὶ τὰ οἰκεῖα, Πριηνεῦσιν ἤμυνεν
ἐπὶ τοὺς Κᾶρας ὁ Ἄνδροκλος, καὶ νικῶντος τοῦ Ἑλλη-
νικοῦ, ἔπεσεν ἐν τῇ μάχῃ. Ἐφέσιοι δὲ ἀνελόμενοι τοῦ
Ἀνδρόκλου τὸν νεκρὸν, ἔθαψαν τῆς σφετέρας, ἔνθα
δείκνυται καὶ ἐς ἐμὲ ἔτι τὸ μνῆμα κατὰ τὴν ὁδὸν τὴν
ἐκ τοῦ ἱεροῦ παρὰ τὸ Ὀλύμπιον [13] καὶ ἐπὶ πύλας
τὰς Μαγνήτιδας· ἐπίθημα δὲ τῷ μνήματι ἀνὴρ ἐςιν
7 ὡπλισμένος. Οἱ δὲ Ἴωνες Μυοῦντα ἐποικησάμενοι [14]
καὶ Πριήνην, Κᾶρας μὲν καὶ οὗτοι τὰς πόλεις ἀφείλοντο.
οἰκιςαὶ δὲ Μυοῦντος μὲν Κυάρητος [15] ἐγένετο ὁ Κόδρου·
Πριηνεῖς

12) ἱδρύνθη] Cod. Mosc. ἱδρύσθη.

13) τὸ Ὀλύμπιον] Cod. M. τὸ Ὀλύμπειον.

14) ἐποικησάμενοι] Cod. M. ἐσῳκησάμενοι.

15) Κυάρητος] Straboni L. X. p. 939. A. Myuntis conditor dicitur Κυδρῆλος, νόθος υἱὸς Κόδρου. Utrum nomen rectius sit, non liquet.

Πριηνεῖς δὲ, Ἴωσιν ἀναμεμιγμένοι Θηβαῖοι, Φιλώταν [16]) τε τὸν ἀπόγονον Πηνέλεω καὶ Αἴγυπτον Νειλέως παῖδα [17]) ἔσχον οἰκιστάς. Πριηνεῖς μὲν δὴ ὑπὸ Ταβούτου [18]) γε τοῦ Πέρσου, καὶ ὕστερον ὑπὸ Ἱέρωνος ἀνδρὸς ἐπιχωρίου κακωθέντες ἐς τὸ ἔσχατον, ὅμως τελοῦσιν ἐς Ἴωνας. Μυοῦντος δὲ οἱ [19]) οἰκήτορες ἐπὶ τύχῃ τοιᾶδε ἐξέλιπον τὴν πόλιν. κατὰ τὴν Μυουσίαν χώραν θαλάσσης κόλπος ἐσεῖχεν οὐ μέγας· τοῦτον λίμνην ὁ ποταμὸς ἐποίησεν ὁ Μαίανδρος, ἀποτεμόμενος τὸν ἔσπλουν τῇ ἰλύϊ [20])· ὡς δὲ ἐνόστησε τὸ ὕδωρ, καὶ οὐκ ἔτι ἦν θάλασσα, κώνωπες [21]) ἄπειροι πλῆθος ἐγίγνοντο ἐκ τῆς λίμνης, ἐς ὃ τοὺς ἀνθρώπους ἠνάγκασαν ἐκλιπεῖν τὴν πόλιν. ἀπεχώρησαν δὲ ἐς Μίλητον Μυούσιοι, τά τε ἄλλα ἀγώγιμα καὶ τῶν θεῶν φερόμενοι τὰ ἀγάλματα· καὶ ἦν κατ' ἐμὲ οὐδὲν ἐν Μυοῦντι, ὅτι μὴ Διονύσου ναὸς λίθου λευκοῦ. Μυουσίοις δέ γε κατέλαβεν ἐοικότα καὶ Ἀταρνείτας [22]) παθεῖν τοὺς ὑπὸ Περγάμου.

16) Φιλώταν] Conf. Strab. L. XIV. p. 939. A. et p. 943. C.

17) Αἴγυπτον Νειλέως παῖδα] Strabo L. XIV. p. 939. A. Πριήνην δ' Αἴπυτος ὁ Νηλέως. Similis vocum permutatio exstat L. VIII. C. 34., ubi Αἰγυπτίδος pro Αἰπυτίδος. Pro mendoso παῖδας reposui παῖδα.

18) Ταβούτου] Cod. Mosc. τοῦ Ταβούτου, et Cod. Casaub. Ταβαλοῦ, quod nomen Persicum Herod. habet L. I. f. 154. *Kuhn.* mavult Μεγαβάτου ex Herod. L. V. f. 32.

19) δὲ οἱ] Cod. Mosc. δὲ καὶ οἱ.

20) τῇ ἰλύϊ] Restitui ἰλύϊ pro vulgata ἰσχύϊ ex Cod. V. et Amasaei interpretatione. Firmatur haec correctio L. VIII. C. 24. Mox verba ὡς δὲ ἐνόστησε τὸ ὕδωρ interpretanda sunt: *cum in pelagus rediret aqua*, scil. *marina*, limo influxum ejus praepediente.

21) κώνωπες] Duo Cod. V. et Mosc. οἱ κώνωπες.

22) Ἀταρνείτας] Ab Ἀταρνεύς, de quo loco vide supra L. IV. C. 35. §. 6. et Valkenar. ad Herodot. L. I. f. 160.

## CAPUT III.

De Claro et Colophoniis — Lebediis — Teo ejusque incolis — Erythraeis — Clazomeniis et Phocaënſibus.

Κολοφώνιοι δὲ τὸ μὲν ἱερὸν τοῦ ἐν Κλάρῳ [1]) καὶ τὸ μαντεῖον ἐκ παλαιοτάτου γενέσθαι νομίζουσιν. ἐχόντων δὲ ἔτι τὴν γῆν Καρῶν, ἀφικέσθαι φασὶν ἐς αὐτὴν πρώτους τοῦ Ἑλληνικοῦ Κρῆτας, Ῥάκιον ἔχοντας ἡγεμόνα· καὶ ὅσον εἵπετο ἄλλο τῷ Ῥακίῳ πλῆθος, ἔσχον τε τὰ ἐπὶ θαλάσσῃ ναυσὶ καὶ ἴσχυον [2])· τῆς δὲ χώρας τὴν πολλὴν ἐνέμοντο ἔτι οἱ Κᾶρες. Θερσάνδρου δὲ τοῦ Πολυνείκους καὶ Ἀργείων ἑλόντων Θήβας, ἄλλοι τε αἰχμάλωτοι καὶ ἡ Μαντὼ [3]) τῷ Ἀπόλλωνι ἐκομίσθησαν ἐς Δελφούς. Τειρεσίαν δὲ κατὰ τὴν πορείαν τὸ χρεὼν ἐπέλαβεν ἐν τῇ Ἁλιαρτίᾳ. ἐκπέμψαντος δὲ σφᾶς ἐς ἀποικίαν τοῦ θεοῦ, περαιοῦνται ναυσὶν ἐς τὴν Ἀσίαν, καὶ ὡς κατὰ τὴν Κλάρον ἐγένοντο, ἐπεξίασιν αὐτοῖς οἱ Κρῆτες μετὰ ὅπλων, καὶ ἀνάγουσιν ὡς τὸν Ῥάκιον. ὁ δὲ (μανθάνει γὰρ παρὰ τῆς Μαντοῦς, οἵτινές τε ἀνθρώπων ὄντες, καὶ κατὰ αἰτίαν ἥντινα ἥκουσι) λαμβάνει μὲν γυναῖκα τὴν Μαντώ, ποιεῖται δὲ καὶ τοὺς σὺν αὐτῇ συνοίκους. Μόψος

1) τοῦ ἐν Κλάρῳ] ſcil. Ἀπόλλωνος, vel ſcribendum τὸ ἐν Κλ. Ad rem vide Schol. Apollonii L. I. v. 308.

2) καὶ ὅσον — καὶ ἴσχυον] Ita haec, ſenſu exigente, interpunxi. At uterque Codex hunc locum ita exhibet: καὶ ὅσον εἵπετο ἄλλο τῷ Ῥακίῳ καὶ ὅσον ἐςὶ πλῆθος ἔχον τὰ ἐπὶ θαλάσσῃ, καὶ ναυσὶν ἰσχύοντες. Rhacius Lebetis fil. et Μυκυναῖος (lege Μυκηναῖος) dicitur in Schol. Apollonii L. I. v. 308.

3) Μαντω] Filia Tireſiae. Eadem habes L. IX. C. 33. Conf. Apollodor. L. III. C. 7. ſ. 4. et ibi Heyne V. C. p. 646.

Μόψος[4]) δὲ ὁ Ῥακίου καὶ Μαντοῦς τὸ παράπαν τοὺς Κάρας ἐξέβαλεν ἐκ τῆς γῆς. Ἴωνες δὲ ὅρκους ποιησάμενοι πρὸς τοὺς ἐν Κολοφῶνι Ἕλληνας, συνεπολιτεύοντο, οὐδὲν ἔχοντες πλέον. βασιλείαν δὲ Ἰώνων ἡγεμόνες Δαμασίχθων[5]) λαμβάνει καὶ Πρόμηθος Κόδρου παῖδες. Πρόμηθος δὲ ὕστερον τὸν ἀδελφὸν Δαμασίχθονα ἀποκτείνας, ἔφυγεν ἐς Νάξον[6])· καὶ ἀπέθανε μὲν αὐτόθι ἐν τῇ Νάξῳ, τὸν νεκρὸν δὲ οἴκαδε ἀπαχθέντα κατεδέξαντο οἱ Δαμασίχθονος παῖδες· καὶ ἔνθα ὁ τοῦ Προμήθου τάφος, Πολυτειχίδες ὄνομά ἐστι τῷ χωρίῳ. Κολοφωνίοις δὲ ὅπως μὲν τὴν πόλιν συνέπεσεν ἐρημωθῆναι, προεδήλωσέ μοι τοῦ λόγου τὰ ἐς Λυσίμαχον[7]). ἐμαχέσαντο δὲ Λυσιμάχῳ καὶ Μακεδόσι Κολοφώνιοι τῶν ἀνοικισθέντων εἰς Ἔφεσον μόνοι. τοῖς δὲ ἀποθανοῦσιν ἐν τῇ μάχῃ Κολοφωνίων τε αὐτῶν καὶ Σμυρναίων ἐστὶν ὁ τάφος ἰόντι ἐς Κλάρον ἐν ἀριστερᾷ τῆς ὁδοῦ.
Λεβεδίοις δὲ ἐποίησε μὲν 2
Λυσίμαχος ἀνάστατον τὴν πόλιν, ἵνα δὴ συντελείας μέγεθος τῇ Ἐφέσῳ γένοιτο. χώρα δέ σφισιν ἔς τε τὰ λοιπά ἐστιν εὐδαίμων, καὶ λουτρὰ παρέχεται θερμὰ πλεῖστα τῶν ἐπὶ θαλάσσῃ καὶ ἥδιστα. τὸ δὲ ἐξ ἀρχῆς καὶ τὴν Λέβεδον ἐνέμοντο οἱ Κᾶρες, ἐς ὃ Ἀνδραίμων σφᾶς ὁ Κόδρου καὶ Ἴωνες ἐλαύνουσι. τῷ δὲ Ἀνδραίμονι ὁ τάφος ἐκ Κολοφῶνος ἰόντι ἐστὶν ἐν ἀριστερᾷ τῆς ὁδοῦ, διαβάντι τὸν Καλάοντα ποταμόν[8]).



4) Μόψος] Vide Heyne ad Apollodor. p. 655. Ex Codd. Vind alter vitiose dat μόνος, alter Μόμψος.

5) Δαμασίχθων] Cod. Mosc. constanter fere Δαμοσίχθων.

6) ἐς Νάξον] Uterque Cod. ἐς Κλάρον.

7) προεδήλωσε — Λυσίμαχον] Vide L. I. C. 9. §. 8.

8) Καλάοντα π.] Pro Καλ., quod nomen nullibi reperitur, Palmer. Exercit. p. 411. Ἄλεντα scribendum conjicit ex Pausf. L. VII. C. 5. et L. VIII. C. 28.

3 Τέων δὲ ᾤκουν μὲν Ὀρχομένιοι Μινύαι σὺν Ἀθάμαντι ἐς αὐτὴν ἐλθόντες· λέγεται δὲ ὁ Ἀθάμας οὗτος ἀπόγονος Ἀθάμαντος εἶναι τοῦ Αἰόλου· ἀναμεμιγμένοι δὲ τῷ Ἑλληνικῷ καὶ ἐνταῦθα ἦσαν οἱ Κᾶρες. ἐσήγαγε δὲ Ἴωνας ἐς τὴν Τέων Ἄποικος ἀπόγονος Μελάνθου τέταρτος, ὃς τοῖς Ὀρχομενίοις, οὐδὲ τοῖς Τηΐοις νεώτερον ἐβούλευσεν οὐδέν. ἔτεσι δὲ οὐ πολλοῖς ὕστερον ἔκ τε Ἀθηναίων καὶ ἐκ Βοιωτίας ἀφίκοντο ἄνδρες· ἡγοῦντο δὲ τοῦ μὲν Ἀττικοῦ Δάμασος καὶ Νάοκλος [9]), Κόδρου παῖδες, τῶν δὲ Βοιωτῶν Γέρης Βοιωτός· καὶ σφᾶς συναμφοτέρους ὅ τε Ἄποικος καὶ οἱ Τήϊοι συνοίκους
4 ἐδέξαντο. Ἐρυθραῖοι δὲ τὸ μὲν ἐξ ἀρχῆς ἀφικέσθαι σὺν Ἐρύθρῳ τῷ Ῥαδαμάνθυός φασιν ἐκ Κρήτης, καὶ οἰκιστὴν τῇ πόλει γενέσθαι τὸν Ἔρυθρον. ἐχόντων δὲ αὐτὴν ὁμοῦ τοῖς Κρησὶ Λυκίων καὶ Καρῶν τε καὶ Παμφύλων, Λυκίων μὲν κατὰ συγγένειαν τὴν Κρητῶν, (καὶ γὰρ οἱ Λύκιοι τὸ ἀρχαῖόν εἰσιν ἐκ Κρήτης, οἳ Σαρπηδόνι ὁμοῦ ἔφυγον) Καρῶν δὲ κατὰ φιλίαν ἐκ παλαιοῦ πρὸς Μίνω, Παμφύλων δὲ, ὅτι γένους μέτεστιν Ἑλληνικοῦ καὶ τούτοις, (εἰσὶ γὰρ δὴ καὶ οἱ Πάμφυλοι τῶν μετὰ ἅλωσιν Ἰλίου πλανηθέντων σὺν Κάλχαντι) τούτων τῶν κατειλεγμένων ἐχόντων Ἐρυθράς, Κλέοπος ὁ Κόδρου [10]) συλλέξας ἐξ ἁπασῶν τῶν ἐν Ἰωνίᾳ πόλεων ὅσους δὴ παρὰ ἑκάστων [11]), ἐπεισήγαγεν Ἐρυ-

9) Δάμασος καὶ Νάοκλος etc.] Haec in Strabone L. XIV. p. 939. A. paullo aliter ſeſe habent: Ναῦκλος υἱὸς Κόδρου, καὶ μετὰ τοῦτο Ποίκνης καὶ Δάμαθος Ἀθηναῖοι. A. patet, et inprimis ex Stephano Byz v. Ἐρυθρα, ubi hanc urbem a conditore Κνωπούπολιν appellatam eſſe legimus; vide ibi Berkel.

10) Κλέοπος ὁ K.] Pro Κλέοπος potius ſcribendum eſſe Κνῶπος, ex Strabone L. XIV. p. 939.

11) ὅσους δὴ παρὰ ἑκάστων] *quot ex qualibet urbe colligere poterat.*

Ἐρυθραίοις συνοίκους. Κλαζομενίοις δὲ καὶ Φωκαεῦσι, πρὶν μὲν ἢ Ἴωνας ἐς τὴν Ἀσίαν ἐλθεῖν, οὐκ ᾠκοῦντο αἱ πόλεις. Ἰώνων δὲ ἀφικομένων, μοῖρα ἐξ αὐτῶν πλανωμένη μετεπέμψατο ἡγεμόνα παρὰ Κολοφωνίων Πάρφορον [12]), καὶ πόλιν κτίσαντες ὑπὸ τῇ Ἴδῃ, τὴν μὲν οὐ μετὰ πολὺ ἐκλείπουσιν· ἐπανιόντες δὲ ἐς Ἰωνίαν Σκύππιον τῆς Κολοφωνίας [13]) ἔκτισαν. ἀπελθόντες δὲ ἑκουσίως καὶ ἐκ τῆς Κολοφωνίας, οὕτω γῆν τε ἔσχον, ἣν καὶ νῦν ἔτι ἔχουσι, καὶ κατεσκευάσαντο ἐν τῇ ἠπείρῳ Κλαζομενὰς πόλιν· ἐς δὲ τὴν νῆσον διέβησαν δὴ κατὰ τὸ Περσῶν δέος. Ἀλέξανδρος δὲ ἀνὰ χρόνον ἔμελλεν ὁ Φιλίππου χερρόνησον Κλαζομενὰς ἐργάζεσθαι χώματι ἐς τὴν νῆσον ἐκ τῆς ἠπείρου. τούτων τῶν Κλαζομενίων τὸ πολὺ οὐκ Ἴωνες, Κλεωναῖοι δὲ ἦσαν καὶ ἐκ Φλιοῦντος, ὅσοι Δωριέων ἐς Πελοπόννησον κατελθόντων [14]) ἐξέλιπον τὰς πόλεις. Οἱ δὲ Φωκαεῖς γένος μὲν τὸ ἀνέκαθεν εἰσὶν ἐκ τῆς ὑπὸ τῷ Παρνασσῷ καλουμένης καὶ ἐς ἡμᾶς ἔτι Φωκίδος, οἳ Φιλογένει καὶ Δάμωνι ὁμοῦ τοῖς Ἀθηναίοις διέβησαν ἐς τὴν Ἀσίαν· τὴν χώραν δὲ οὐ πολέμῳ, κατὰ δὲ ὁμολογίαν λαμβάνουσι παρὰ Κυμαίων. Ἰώνων δὲ οὐ δεχομένων σφᾶς ἐς Πανιώνιον [15]), πρὶν ἢ τοῦ γένους βασιλέας τοῦ



12) Πάρφορον] Strabo l. c. Clazomenas a Παράλῳ conditas refert.

13) Σκύππιον τ. Κ.] Eadem esse videtur, quam Stephan. Σκυφία appellat et cum π quoque scribi affirmat.

14) κατελθόντων] Uterque Codex κατελθόντες.

15) Πανιώνιον] De hoc loco, Neptuno Heliconio dicato, et sacris ab omnibus Ionibus ibi factis locus classicus est in Herodoto L. I. §. 148., ubi vide Wesseling., et in Strab. L. XIV. p. 947. A., ubi vid. Casaub. De Neptuno Heliconio infra C. 24.

Κοδριδῶν λάβωσιν, οὕτω παρὰ Ἐρυθραίων καὶ ἐκ Τέω δὲ [16]) Οἴτην καὶ Πέρικλον λαμβάνουσι καὶ Ἄβαρτον.

## CAPUT IV.

De Ionum urbibus in inſulis Samo et Chio — Sami et Samiae ſtemma — de Sami incolis et Samothracia — de Junone Samia — Daedalo — Chii nominis origine et incolis.

Αἱ δὲ ἐν ταῖς νήσοις εἰσὶν Ἰώνων πόλεις, Σάμος ἡ ὑπὲρ Μυκάλης, καὶ Χίος ἡ ἀπαντικρὺ τοῦ Μίμαντος.
2 Ἄσιος δὲ ὁ Ἀμφιπτολέμου Σάμιος ἐποίησεν ἐν τοῖς ἔπεσιν, ὡς Φοίνικι ἐκ Περιμήδης τῆς Οἰνέως γένοιτο Ἀστυπαλαία καὶ Εὐρώπη· Ποσειδῶνος δὲ καὶ Ἀστυπαλαίας εἶναι παῖδα Ἀγκαῖον, βασιλεύειν δὲ αὐτὸν τῶν καλουμένων Λελέγων· Ἀγκαίῳ δὲ τὴν θυγατέρα τοῦ ποταμοῦ λαβόντι τοῦ Μαιάνδρου Σαμίαν γενέσθαι καὶ Περίλαον, καὶ Ἔνουδον, καὶ Σάμον, καὶ Ἀλιθέρσην, καὶ θυγατέρα ἐπ' αὐτῷ Παρθενόπην· Παρθενόπης δὲ τῆς Ἀγκαίου καὶ Ἀπόλλωνος Λυκομήδη γενέσθαι. Ἄσιος μὲν ἐς τοσοῦτον ἐν τοῖς ἔπεσιν
3 ἐδήλωσε. Τότε δὲ οἱ τὴν νῆσον οἰκοῦντες ἀνάγκῃ πλέον ἐδέξαντο ἢ εὐνοίᾳ συνοίκους Ἴωνας. ἡγεμὼν δὲ ἦν τοῖς Ἴωσι Προκλῆς ὁ Πιτυρέως, αὐτός τε Ἐπιδαύριος καὶ Ἐπιδαυρίους τὸ πολὺ ἄγων, οἱ ἀπὸ Δηϊφόντου [1]) καὶ Ἀργείων ἐκ τῆς Ἐπιδαυρίας ἐξεπεπτώκεσαν· τούτῳ τῷ Προκλεῖ γένος ἦν ἀπὸ Ἴωνος τοῦ Ξούθου. Ἄνδροκλος δὲ καὶ Ἐφέσιοι στρατεύουσιν ἐπὶ

16) καὶ ἐκ Τέω δὲ] Paullo durius hic δὲ poſitum; mallem δή.

1) οἱ ἀπὸ Δηϊφόντου etc.] Vide ſupra L. II. C. 26. init.

ἐπὶ Λεωγόρον τὸν Προκλέους, βασιλεύοντα μετὰ τὸν πατέρα ἐν Σάμῳ, καὶ μάχῃ νικήσαντες ἐξελαύνουσιν ἐκ τῆς νήσου Σαμίους· αἰτίαν δὲ ἐπέφερον, μετὰ Καρῶν σφᾶς ἐπιβουλεύειν Ἴωσι. Σαμίων δὲ τῶν φευγόντων, οἱ μὲν ἐπὶ τῇ Θρᾴκῃ νῆσον ᾤκησαν, καὶ ἀπὸ τούτων τῆς ἐνοικήσεως [2]) Σαμοθρᾴκην τὴν νῆσον καλοῦσιν ἀντὶ Δαρδανίας· οἱ δὲ ὁμοῦ Λεωγόρῳ περὶ Ἀναίαν τὴν ἐν τῇ ἠπείρῳ τῇ πέραν βαλλόμενοι τεῖχος, δέκα ἔτεσιν ὕστερον διαβάντες ἐν τῇ Σάμῳ, τούς τε Ἐφεσίους ἐκβάλλουσι, καὶ ἀνεσώσαντο τὴν νῆσον.
Τὸ δὲ ἱερὸν τὸ ἐν Σάμῳ τῆς Ἥρας εἰσὶν οἳ ἱδρύσασθαί 4
φασι τοὺς ἐν τῇ Ἀργοῖ πλέοντας, ἀπάγεσθαι δὲ αὐτοὺς τὸ ἄγαλμα ἐξ Ἄργους. Σάμιοι δὲ αὐτοὶ τεχθῆναι νομίζουσιν ἐν τῇ νήσῳ τὴν θεὸν παρὰ τῷ Ἰμβράσῳ ποταμῷ [3]), καὶ ὑπὸ τῇ λύγῳ τῇ ἐν τῷ Ἡραίῳ κατ' ἐμὲ ἔτι πεφυκυίᾳ· εἶναι δ' οὖν τὸ ἱερὸν τοῦτο ἐν τοῖς μάλιστα ἀρχαῖον. ὃ οὐχ ἥκιστα ἄν τις καὶ ἐπὶ ἀγάλματι τεκμαίροιτο· ἔστι γὰρ δὴ ἀνδρὸς ἔργον Αἰγινήτου Σμίλιδος τοῦ Εὐκλείδου. οὗτος ὁ Σμίλις ἐστὶν ἡλικίαν κατὰ Δαίδαλον, δόξης δὲ οὐκ ἐς τὸ ἴσον ἀφίκετο. Δαιδάλῳ μὲν γὰρ γένους τε Ἀθή- 5
νησιν ὑπῆρχεν εἶναι τοῦ βασιλικοῦ τῶν καλουμένων Μητιονιδῶν, καὶ ὁμοῦ τῇ τέχνῃ τῆς πλάνης τε εἵνεκα καὶ ἐπὶ ταῖς συμφοραῖς ἐπιφανέστερος ἐγένετο ἐς ἅπαντας ἀνθρώπους. ἀποκτείνας μὲν ἀδελφῆς παῖδα [4]), καὶ ἐπιστάμενος τὰ οἴκοι νόμιμα, ἑκουσίως παρὰ Μίνω ἔφυγεν ἐς Κρήτην, καὶ αὐτῷ τε ἀγάλ-

 ματα

2) ἐνοικήσεως] Ex Cod. Mosc. rescripsi pro vulgato ἀνοικήσεως.

3) τεχθῆναι — Ἰμβράσῳ ποταμῷ] Inde Samus Apollonio Rhod. L. I. v. 187. dicitur Ἰμβρασίης ἕδος Ἥρης, ubi vide Schol.

4) ἀποκτείνας μ. ἀδ. παῖδα etc.] Calum vel Talum. Vide supra L. I. C. 26. §. 6. et ibi not.

ματα Μίνω καὶ τοῦ Μίνω ταῖς θυγατράσιν ἐποίησε· καθότι καὶ Ὅμηρος ἐν Ἰλιάδι[5]) ἐδήλωσε. καταγνωσθεὶς δὲ ἀδικεῖν ὑπὸ τοῦ Μίνω, καὶ ἐς δεσμωτήριον ὁμοῦ τῷ παιδὶ ἐμβληθεὶς, ἐκδιδράσκει τε ἐκ Κρήτης, καὶ ἐς Ἴνυκον Σικελῶν πόλιν ἀφικνεῖται παρὰ Κώκαλον, καὶ πολέμου παρέσχε τοῖς Σικελοῖς αἰτίαν πρὸς τοὺς Κρῆτας, ὅτι ἐξαιτοῦντος Μίνω μὴ πρόοιτο αὐτὸν ὁ Κώκαλος. καὶ ἐς τοσοῦτο ὑπὸ τοῦ Κωκάλου τῶν θυγατέρων ἐσπουδάσθη κατὰ τὴν τέχνην, ὡς καὶ θάνατον τῷ Μίνῳ βουλεῦσαι τὰς γυναῖκας ἐς χάριν Δαιδάλου. δῆλά τε ὡς ἀνὰ πᾶσαν μὲν τὴν Σικελίαν, ἐπὶ πλεῖςον δὲ καὶ Ἰταλίας ἀφίκετο τοῦ Δαιδάλου τὸ ὄνομα. Ὁ δὲ Σμίλις, ὅτι μὴ παρὰ Σαμίους καὶ ἐς τὴν Ἠλείαν, παρ' ἄλλους γε οὐδένας φανερός ἐςιν ἀποδημήσας· ἐς τούτους δὲ ἀφίκετο, καὶ τὸ ἄγαλμα ἐν Σάμῳ τῆς Ἥρας ὁ ποιήσας ἐςὶν οὗτος.

6 Ἴωνι δὲ τῷ ποιήσαντι τραγῳδίαν ἐςὶν ἐν τῇ συγγραφῇ τοιάδε εἰρημένα· Ποσειδῶνα ἐς τὴν νῆσον ἔρημον οὖσαν ἀφικέσθαι, καὶ νύμφῃ τε ἐνταῦθα συγγενέσθαι, καὶ ὑπὸ τὰς ὠδῖνας τῆς νύμφης χιόνα ἐξ οὐρανοῦ πεσεῖν ἐς τὴν γῆν, καὶ ἀπὸ τούτου Ποσειδῶνα τῷ παιδὶ ὄνομα θέσθαι Χίον[6])· συγγενέσθαι δὲ αὐτὸν καὶ ἑτέρᾳ νύμφῃ, καὶ γενέσθαι οἱ παῖδας Ἄγγελόν τε καὶ Μέλανα· ἀνὰ χρόνον δὲ καὶ Οἰνοπίωνα ἐς τὴν Χίον καταῖραι ναυσὶν ἐκ Κρήτης, ἀφικέσθαι δέ οἱ καὶ τοὺς παῖδας Τάλον[7]) καὶ Εὐάνθη καὶ Μέλανα καὶ Σάλαγόν τε καὶ Ἀθάμαντα. ἀφίκοντο δὲ Κᾶρες ἐς τὴν νῆσον ἐπὶ τῆς Οἰνοπίωνος βασι-

5) Ὅμηρος ἐν Ἰλιάδι] σ. v. 590.

6) Χίον] Ex utroque Codice dedi pro vulgata Χίος.

7) Τάλον] Cod. Mosc. Τάλαν.

βασιλείας, καὶ Ἄβαντες ἐξ Εὐβοίας. Οἰνοπίωνος δὲ καὶ τῶν παίδων ἔλαβεν ὕστερον Ἄμφικλος τὴν ἀρχήν· ἀφίκετο δὲ ἐξ Ἱστιαίας[8]) ὁ Ἄμφικλος τῆς ἐν Εὐβοίᾳ κατὰ μάντευμα ἐκ Δελφῶν. Ἕκτωρ δὲ ἀπὸ τοῦ Ἀμφίκλου τετάρτῃ γενεᾷ (βασιλείαν γὰρ ἔσχε καὶ οὗτος) ἐπολέμησεν Ἀβάντων καὶ Καρῶν τοῖς οἰκοῦσιν ἐν τῇ νήσῳ· καὶ τοὺς μὲν ἀπέκτεινεν ἐν ταῖς μάχαις, τοὺς δὲ ἀπελθεῖν ἠνάγκασεν ὑποσπόνδους. γενομένης δὲ ἀπαλλαγῆς πολέμου Χίοις, ἀφικέσθαι ἐς μνήμην τηνικαῦτα Ἕκτορα[9]), ὡς σφᾶς καὶ Ἴωσι δέοι συνθύειν ἐς Πανιώνιον· τρίποδα δὲ ἆθλον λαβεῖν αὐτὸν ἐπὶ ἀνδραγαθίᾳ παρὰ τοῦ κοινοῦ φασι τοῦ Ἰώνων. τοσαῦτα εἰρηκότα ἐς Χίους Ἴωνα εὕρισκον· οὐ μέν τοι ἐκεῖνός γε εἴρηκε, καθ' ἥντινα αἰτίαν Χῖοι τελοῦσιν ἐς Ἴωνας.

## CAPUT V.

De Smyrnae recentioris conditore Alexandro M. et Nemesum cultu — Ionum regionis coeli clementia et claris templis — Herculis templo Erythris — Minervae Poliadis templo Erythris — Ioniae urbium variis memorandis ac balneis — antro Homeri.

Σμύρναν δὲ ἐν ταῖς δώδεκα πόλεσιν οὖσαν Αἰολέων, καὶ οἰκουμένης τῆς χώρας καθὰ καὶ ἐς ἐμὲ ἔτι, πόλιν ἣν καλοῦσιν ἀρχαίαν, Ἴωνες ἐκ Κολοφῶνος ὁρμισθέν-



8) ἀφίκετο δὲ ἐξ Ἱστιαίας] Ex Codice Mosc. ἀφίκετο pro vulgata ἀφικέσθαι reposui. Ἱστιαία est ionica forma pro Ἑστιαία (Pauſ. L. VII. C. 7. in fine), de qua vide Steph. v. Ἱστιαία.

9) ἀφ. ἐς μνήμην τ. Ἕκτορα] Ita haec conſtitui ex duobus Codd. Vindob. et Mosc. pro vulgatis ἀφ. μνήμην τ. ἐς Ἕκτ. *Kuhn.* jam ſic ſcribendum eſſe conjecerat.

τες ἀφελόμενοι τοὺς Αἰολεῖς ἔσχον· χρόνῳ δὲ ὕστερον καὶ Ἴωνες μετέδοσαν Σμυρναίοις τοῦ ἐν Πανιωνίῳ συλλόγου. Ἀλέξανδρος δὲ ὁ Φιλίππου τῆς ἐφ' ἡμῶν πόλεως ἐγένετο οἰκιστὴς κατ' ὄψιν ὀνείρατος. Ἀλέξανδρον γὰρ θηρεύοντα ἐν τῷ ὄρει τῷ Πάγῳ, ὡς ἐγένετο ἀπὸ τῆς θήρας, ἀφικέσθαι πρὸς Νεμέσεων λέγουσιν ἱερὸν, καὶ πηγῇ τε ἐπιτυχεῖν αὐτὸν καὶ πλατάνῳ πρὸ τοῦ ἱεροῦ, πεφυκυίᾳ δὲ ἐπὶ τοῦ ὕδατος. καὶ ἐπὶ τῇ πλατάνῳ καθεύδοντι κελεύειν φασὶν αὐτῷ τὰς Νεμέσεις ἐπιφανείσας, πόλιν ἐνταῦθα οἰκίζειν, καὶ ἄγειν ἐς αὐτὴν Σμυρναίους, ἀναστήσαντα ἐκ τῆς προτέρας. ἀποστέλλουσιν οὖν ἐς Κλάρον θεωροὺς οἱ Σμυρναῖοι περὶ τῶν παρόντων σφίσιν ἐρησομένους, καὶ αὐτοῖς ἔχρησε·

Τρισμάκαρες κεῖνοι καὶ τετράκις ἄνδρες ἔσονται,
Οἳ Πάγον οἰκήσουσι πέρην ἱεροῖο Μέλητος.

οὕτω μετῴκησαν[1]) ἐθελονταὶ, καὶ θεῶν Νεμέσεις πλείους νομίζουσιν ἀντὶ μιᾶς, καὶ μητέρα αὐταῖς φασιν εἶναι Νύκτα· ὥσπερ Ἀθηναῖοί γε τῇ ἐν Ῥαμνοῦντι θεῷ[2]) πατέρα λέγουσιν εἶναι Ὠκεανόν.

2 Ἴωσι δὲ ἔχει μὲν ἐπιτηδειότατα ὡρῶν κράσεως ἡ χώρα· ἔχει δὲ καὶ ἱερὰ, οἷα οὐχ ἑτέρωθι· πρῶτον μὲν τῆς Ἐφεσίας μεγέθους τε εἵνεκα, καὶ ἐπὶ τῷ ἄλλῳ πλούτῳ· δύο δὲ οὐκ ἐξειργασμένα Ἀπόλλωνος, τό

τε

1) μετῴκησαν] Cod. Vindob. 23. et Moſc μετῳκήσαντο, et Cod. Vind. 51. μετῳκίσαντο, quae ſine dubio vera eſt lectio.

2) ὥσπερ Ἀθηναῖοί γε τῇ ἐν Ῥ. θεῷ] Ex duob. Codd. Vindob. et ex *Amaſaei* interpretatione Ἀθηναῖοι repoſui pro vulgata Ἀθηναίοις, et, re ipſa flagitante, θεῷ pro θεῶν ſcripſi, ſicuti *Sylb.* et *Kuhn.* jam conjectaverant. Pro ὥσπερ Cod. Moſc. dat ἔτι.

τε ἐν Βραγχίδαις τῆς Μιλησίας [3]), καὶ ἐν Κλάρῳ τῇ
Κολοφωνίων. δύο δὲ ἄλλους ἐν Ἰωνίᾳ ναοὺς ἐπέλαβεν
ὑπὸ Περσῶν κατακαυθῆναι, τόν τε ἐν Σάμῳ τῆς
Ἥρας, καὶ ἐν Φωκαίᾳ τῆς Ἀθηνᾶς· θαῦμα δὲ ὅμως
ἦσαν καὶ ὑπὸ τοῦ πυρὸς λελυμασμένοι. Ἡσθείης δ' 3
ἂν καὶ τῷ ἐν Ἐρυθραῖς Ἡρακλείῳ, καὶ Ἀθηνᾶς τῷ
ἐν Πριήνῃ ναῷ· τούτῳ μὲν τοῦ ἀγάλματος εἵνεκα,
Ἡρακλείῳ δὲ τῷ ἐν Ἐρυθραῖς κατὰ ἀρχαιότητα. τὸ
δὲ ἄγαλμα οὔτε τοῖς καλουμένοις Αἰγιναίοις [4]), οὔτε
τῶν Ἀττικῶν τοῖς ἀρχαιοτάτοις ἐμφερές, εἰ δέ τι καὶ
ἄλλο, ἀκριβῶς ἐστιν Αἰγύπτιον. σχεδία γὰρ ξύλων,
καὶ ἐπ' αὐτῆς θεὸς [5]) ἐκ Τύρου τῆς Φοινίκης ἐξέπλευ-
σε· καθ' ἥντινα δὲ αἰτίαν, οὐδὲ αὐτοὶ τοῦτο οἱ Ἐρυ-
θραῖοι λέγουσιν. ὡς δὲ ἐς τὴν θάλασσαν ἀφίκετο
ἡ σχεδία τὴν Ἰώνων, φασὶν αὐτὴν ὁρμίσασθαι πρὸς
ἄκρᾳ [6]) καλουμένῃ Μεσάτῃ· ἡ δὲ ἔστι μὲν τῆς ἠπείρου
τοῖς ἐκ τοῦ Ἐρυθραίων λιμένος ἐς νῆσον τὴν Χίον
πλέουσι τοῦτο ἐπὶ μεσαίτατον [7]). ἐπεὶ δὲ ἡ σχεδία
κατὰ τὴν ἄκραν ἔσχεν, ἐνταῦθα πολὺν μὲν οἱ Ἐρυ-
θραῖοι πόνον, οὐκ ἐλάσσονα δὲ ἔσχον οἱ Χῖοι, ποιού-
μενοι σπουδὴν παρὰ σφᾶς καταγαγεῖν ἑκάτεροι τὸ
ἄγαλμα. τέλος δὲ Ἐρυθραῖος ἄνθρωπος, ᾧ βίος
μὲν ἦν ἀπὸ θαλάσσης γεγονὼς καὶ ἄγρας ἰχθύων,
(διέ-

3) τό τε ἐν Βραγχίδαις τ. Μ.] Vide supra C. 2. not. 11.

4) τοῖς καλ. Αἰγιναίοις] De his vid. supra not. 8. ad L. I. C. 42.

5) ἐπ' αὐτῆς θεὸς] Cod. Mosc. ἐπ' αὐτῇ ὁ θεός.

6) ἄκρᾳ] *Kuhn.* emendationem *Sylburgii* pro vulgata Ἥρᾳ scribentis ἄκρᾳ male damnavit. Nam Codd. Vindob. (23. et 51.) exhibent ἱέρα, in qua mendosa scriptura ἄκρᾳ latere, dubium esse nequit; quare hoc confidenter rescripsi.

7) τοῦτο ἐπὶ μεσαίτατον] Durius hoc dictum pro κατὰ τοῦτο ἐ. μ. vel ἐπὶ τοῦτο μ. *Kuhn.* emendandum censet ἐπὶ τὸ μεσ.

(διέφθαρτο δὲ ὑπὸ νόσου τοὺς ὀφθαλμοὺς, ὄνομα δέ οἱ Φορμίων ἦν) οὗτος ὁ ἁλιεὺς εἶδεν ὄψιν ὀνείρατος, ὡς τὰς Ἐρυθραίων γυναῖκας ἀποκείρασθαι δέοι τὰς κόμας, καὶ οὕτω τοὺς ἄνδρας πλεξαμένους κάλων ἐκ τῶν τριχῶν, τὴν σχεδίαν παρὰ σφᾶς κατάξειν. αἱ μὲν δὴ ἀσταὶ τῶν γυναικῶν οὐδαμῶς ὑπακούειν τῷ ὀνείρατι ἐβούλοντο· ὁπόσαι δὲ τοῦ Θρᾳκίου γένους ἐδούλευον, καὶ οὔσαις σφίσιν ἐλευθέραις ἦν ἐνταῦθα βίος [8]), ἀποκεῖραι παρέχουσιν αὐτάς· καὶ οὕτως οἱ Ἐρυθραῖοι τὴν σχεδίαν καθέλκουσιν. ἔσοδός τε δὴ ταῖς Θρᾴσσαις ἐς τὸ Ἡρακλεῖόν ἐστι γυναικῶν μόναις, καὶ τὸ καλώδιον τὸ ἐκ τῶν τριχῶν καὶ ἐς ἐμὲ ἔτι οἱ ἐπιχώριοι φυλάσσουσι. καὶ δὴ καὶ τὸν ἁλιέα οἱ αὐτοὶ οὗτοι ἀναβλέψαι τε καὶ ὁρᾷν τὸ λοιπὸν τοῦ
4 βίου φασίν. Ἔστι δὲ ἐν Ἐρυθραῖς καὶ Ἀθηνᾶς Πολιάδος ναὸς, καὶ ἄγαλμα ξύλου μεγέθει μέγα καθημενόν τε ἐπὶ θρόνου, καὶ ἠλακάτην ἐν ἑκατέρᾳ τῶν χειρῶν ἔχει, καὶ ἐπὶ τῆς κεφαλῆς πόλον. τοῦτο Ἐνδοίου τέχνην καὶ ἄλλοις ἐτεκμαιρόμεθα εἶναι, καὶ ἐς τὴν ἐργασίαν ὁρῶντες ἔνδον τοῦ ἀγάλματος, καὶ οὐχ ἥκιστα ἐπὶ ταῖς Χάρισί τε καὶ Ὥραις, αἳ, πρὶν ἐλθεῖν, ἑστήκασιν ἐν ὑπαίθρῳ λίθου λευκοῦ. Ἐποιήθη δὲ καὶ κατ' ἐμὲ Σμυρναίοις ἱερὸν Ἀσκληπιοῦ, μεταξὺ Κορυφῆς τε ὄρους [9]) καὶ θαλάσσης ἀμιγοῦς

ὕδατι

8) καὶ οὔσαις — βίος] *Kuhn.* haec ita interpretatur: *innuit, domi liberas ingenuasque fuiſſe illas Threſſas, quamvis apud Erythrenſes ſervirent.* At pro οὔσαις ſcribendum eſſe ὅσαις, perſuaſum habeo; ſic enim ſenſus expeditus: *Thracii autem generis mulieres, et quae ſerviebant, et quae ingenuae ibi degebant.*

9) Κορυφῆς τε ὄρ.] Cum *Amaſaeo* Κορ. nomen proprium eſſe cenſens κ cum majuſculo mutavi.

ὕδατι ἀλλοίῳ. Ἡ δὲ Ἰωνία παρὲξ τῶν τε ἱερῶν καὶ 5
τῆς τοῦ ἀέρος κράσεως παρέχεται καὶ ἄλλα ἐς συγ-
γραφήν· ἡ δέ γε Ἐφεσία χώρα τόν τε Κέγχρειον
ποταμὸν [10]) καὶ τοῦ Πίονος [11]) τοῦ ὄρους τὴν φύσιν,
καὶ πηγὴν τὴν Ἁλιταίαν. Ἐν δὲ τῇ Μιλησίᾳ πηγή
τέ ἐστι Βιβλὶς, καὶ ὅσα ἐς τῆς Βιβλίδος τὸν ἔρωτα
ᾄδουσιν [12]). Ἐν δὲ τῇ Κολοφωνίων ἄλσος τε τοῦ Ἀπόλ-
λωνος καὶ δένδρα μελίαι, καὶ οὐ πόῤῥω τοῦ ἄλσους
Ἄλης [13]) ποταμὸς ψυχρότατος τῶν ἐν Ἰωνίᾳ. Λεβε-
δίοις δὲ τὰ λουτρὰ ἐν τῇ γῇ θαῦμα ἀνθρώποις ὁμοῦ
καὶ ὠφέλεια γίνεται. Ἔστι δὲ καὶ Τηΐοις ἐπὶ τῇ ἄκρᾳ
λουτρὰ τῇ Μακρίᾳ, τὰ μὲν ἐπὶ τῷ κλύδωνι ἐν πέτρας
χηραμῷ [14]), τὰ δὲ καὶ ἐς ἐπίδειξιν πλούτου πεποιη-
μένα. Κλαζομενίοις δὲ λουτρά ἐστιν· ἐν δὲ αὐτοῖς
Ἀγαμέμνων ἔχει τιμάς. καὶ ἄντρον μητρός φασι
Πύῤῥου καλουμένης, καὶ λόγον ἐπὶ τῷ Πύῤῥῳ λέγουσι
τῷ ποιμένι. Ἐρυθραίοις δὲ ἔστι μὲν χώρα Χαλκίτις,
ἀφ' ἧς καὶ τῶν φυλῶν σφισιν ἡ τρίτη τὸ ὄνομα ἔσχη-
κεν· ἔστι δὲ τῆς Χαλκίτιδος κατατείνουσα ἐς τὸ πέλα-
γος ἄκρα, καὶ ἐν αὐτῇ λουτρὰ θαλάσσια, μάλιστα
τῶν ἐν Ἰωνίᾳ λουτρῶν ὠφέλιμα ἀνθρώποις. Σμυρ- 6
ναίοις

10) Κέγχρειον π.] Quae de hoc narrantur, vide in Strab. L. XIV. p. 948. A.

11) Πίονος] Salmaſ. Exercit. p. 808. 809. Πρίωνος emendandum eſſe pluribus demonſtrare conatur.

12) Βιβλὶς, — ᾄδουσιν] Vide Antonin. Lib. XXX., Ovid. Metam. L. IX. v. 450. et ibi comment.

13) Ἄλης] Cod. Vind. Ἄλυς.

14) τῷ κλύδωνι ἐν πέτρας χηραμῷ] Ex Aldina cum *Sylburgio* et *Kuhnio* appellative ſcripſi κλύδωνι, *ad ipſos maris fluctus.* Sic Plutarch. Caeſ. ſ. 52. ἐπὶ τοῦ κλύσματος ἔπηξε τὴν ἑαυτοῦ σκηνήν. Cod. Vind. (51.) dat Κλήδωνι, et alter Cod. Vind. (23) cum Moſc. χημαρῷ pro χηραμῷ, uterque vero Vind. ἐν πέτραις. Ita forte veram lectionem fuiſſe ſuſpiceris: ἐπὶ τῷ Κλύδωνι ἐν πέτραις χειμάῤῥῳ, *ad Clydonem torrentem in ſaxis.*

ναίοις δὲ ποταμὸς Μέλης ὕδωρ ἐςὶ κάλλιςον, καὶ σπήλαιον ἐπὶ ταῖς πηγαῖς, ἔνθα Ὅμηρον ποιῆσαι τὰ ἔπη λέγουσι. Χίοις δὲ ὁ τοῦ Οἰνοπίωνος τάφος θέαν τε παρέχεται καί τινας καὶ λόγους ἐς τοῦ Οἰνοπίωνος τὰ ἔργα. Σαμίοις δὲ κατὰ τὴν ὁδὸν τὴν ἐς τὸ Ἡραῖον τὸ Ῥαδίνης καὶ Λεοντίχου μνῆμά ἐςι, καὶ τοῖς ὑπὸ ἔρωτος ἀνιωμένοις εὔχεσθαι καθέςηκεν ἰοῦσιν ἐπὶ τὸ μνῆμα. τὰ μὲν δὴ ἐν Ἰωνίᾳ θαύματα πολλά τε καὶ οὐ πολλῷ τινι τῶν ἐν τῇ Ἑλλάδι ἀποδέοντά ἐςι.

## CAPUT VI.

Post Ionum discessum in Asiam Achaei illorum regionem sortiuntur, et XII urbes incolunt — de Achaeorum principibus et urbe Patris — bellis, quibus interfuerunt Achaei — Chilone palaestrita et Adrasto Lydo — rerum Graecarum conditione post Gallorum abitum in Asiam.

Τότε δ' ἀπεληλυθότων Ἰώνων οἱ Ἀχαιοὶ[1]) τὴν Ἰώνων διελάγχανον, καὶ ἐσῳκίζοντο ἐς τὰς πόλεις. αἱ δὲ δύο τε καὶ δέκα ἦσαν ἀριθμὸν, ὁπόσαι τε καὶ ἐς ἅπαν τὸ Ἑλληνικὸν γνώριμοι· Δύμη[2]) μὲν πρὸς Ἤλιδος πρώτη· μετὰ δὲ αὐτὴν Ὤλενος, καὶ Φαραὶ, καὶ Τριταία, Ῥύπες[3]), καὶ Ἐάσιον[4]), καὶ Κερύ-

1) οἱ Ἀχαιοὶ] Uterque Cod. ἥν τε οἱ Ἀχαιοὶ, in qua depravata lectione vera latere videtur, scilicet γῆν τε οἱ Ἀχαιοὶ τὴν Ἰ.

2) Δύμη etc.] Has urbes recensent quoque Herodot. L. I. f. 145., Strabo L. VIII. p. 591. C. et Polyb. L. II. Quamlibet nominum diversitatem suo loco notabimus.

3) Ῥύπες] Pro vulgata Ῥίπες ita rescripsi ex ipso Pausania infra C. 18. et 23., nec non ex Herodoto, Strabone et Stephano.

4) Ἐάσιον] Magna est diversitas in hoc nomine. *Amas.* Tha-

Κεκύρεινα[5]), καὶ Βοῦρα· ἐπὶ ταύταις δὲ Ἑλίκη, καὶ Αἰγαί τε καὶ Αἴγειρα, καὶ Πελλήνη πρὸς τῆς Σικυωνίας ἐσχάτη. ἐς ταύτας οἱ Ἀχαιοὶ καὶ οἱ βασιλεῖς αὐτῶν ἐσῳκίζοντο πρότερον ἔτι ὑπὸ Ἰώνων οἰκουμένας.
2 Ἦσαν δὲ οἱ τὸ μέγιστον τοῖς Ἀχαιοῖς ἔχοντες κράτος, οἵ τε Τισαμενοῦ παῖδες, Δαϊμένης καὶ Σπάρτων καὶ Τέλλης τε καὶ Λεοντομένης· Κομήτης δὲ ὁ πρεσβύτατος τῶν Τισαμενοῦ παίδων πρότερον ἔτι διαβεβήκει ναυσὶν ἐς τὴν Ἀσίαν. οὗτοι δὲ[6]) τηνικαῦτα ἐν τοῖς Ἀχαιοῖς ἐδυνάστευον, καὶ Δαμασίας ὁ Πενθίλου τοῦ Ὀρέστου, τοῖς Τισαμενοῦ παισὶν ἀνεψιὸς πρὸς πατρός. ἴσχυον δὲ ἐπίσης τοῖς κατειλεγμένοις καὶ Ἀχαιῶν τῶν ἐκ Λακεδαίμονος Πρευγένης καὶ ὁ υἱὸς, ὄνομα δέ οἱ ἦν Πατρεύς. καί σφισιν ὑπὸ Ἀχαιῶν ἐδόθη κτήσασθαι[7]) πόλιν ἐν τῇ χώρᾳ, καὶ τὸ ὄνομα ἀπὸ τοῦ Πατρέως ἐτέθη τῇ πόλει.
3 Τὰ δὲ ἐς πόλεμον τοιάδε ἦν τοῖς Ἀχαιοῖς. κατὰ μὲν τὴν ἐς Ἴλιον ἐπιστρατείαν Ἀγαμέμνονος, Λακεδαίμονα ἔτι καὶ Ἄργος οἰκοῦντες, μεγίστη τοῦ Ἑλληνικοῦ μοῖρα ἦσαν· κατὰ δὲ τὴν Ξέρξου καὶ Μήδων ἐπὶ τὴν Ἑλλάδα ὁδὸν[8]) οὔτε Λεωνίδᾳ τῆς ἐξόδου τῆς ἐς Θερμοπύλας εἰσὶν οἱ Ἀχαιοὶ δῆλοι μετεσχηκότες, οὔτε Ἀθη-

Thasium, Cod. Vind. Αἰάσιον, Cod. Mosc. Ἀλάσιον. Herod. et Strabo pro eo exhibent Αἴγιον, quod verum nomen esse videtur, cum etiam ab ipso Pausania infra C. 7. init. et C. 24. de urbe hujus nominis plura deinceps memorentur.

5) Κεκύρεινα] Cod. Vind. Κερκύρεινα. Polyb. l. c. Κερύνεια, et sic a Pausania infra C. 24. constanter scribitur. Herodot. et Strabo hoc nomen omittunt.

6) οὗτοι δὲ] Uterque Cod. οὗτοι δὲ δή.

7) ὑπὸ Ἀχαιῶν ἐδ. κτήσασθαι] Cod. Vind. ὑπὸ τῶν Ἀχ. Pro κτήσασθαι *Sylb.* mavult κτίσασθαι, *condere.*

8) ὁδὸν] Insolentius hoc positum pro ἔφοδον, quod mavult *Sylburg.*

Ἀθηναίοις ὁμοῦ καὶ Θεμιστοκλεῖ πρὸς Εὐβοίᾳ καὶ Σαλαμῖνι ναυμαχήσαντες· οὐδὲ σφᾶς κατάλογος συμμάχων ἔχει Λακωνικὸς ἢ Ἀττικός. ὑστέρησαν δὲ καὶ ἔργου τοῦ Πλαταιᾶσι· δῆλα γὰρ δὴ, ὅτι ἐπὶ τῷ ἀναθήματι[9]) τῷ ἐπ' Ὀλυμπίᾳ τῶν Ἑλλήνων οὐ μετῆν Ἀχαιοῖς γεγράφθαι. δοκεῖν δέ μοι, ἐς πατρίδας τε ὑπολειφθέντες[10]) ἕκαστοι τὰς αὑτῶν ἔσωζον, καὶ ἅμα διὰ τὸ ἔργον τὸ πρὸς Τροίαν Λακεδαιμονίους Δωριεῖς ἀπηξίουν σφίσιν ἡγεῖσθαι. ἐδήλωσαν δὲ καὶ ἀνὰ χρόνον· Λακεδαιμονίων γὰρ ἐς τὸν πρὸς Ἀθηναίους πόλεμον καταστάντων ὕστερον, ἐς τὴν συμμαχίαν ἦσαν οἱ Ἀχαιοὶ πρόθυμοι Πατρεῦσι, καὶ ἐς τοὺς Ἀθηναίους οὐχ ἧσσον εἶχον γνώμην[11]). πολέμων δὲ τῶν πολεμηθέντων[12]) ὕστερον ὑπὸ τοῦ Ἕλλησι κοινοῦ, τοῦ μὲν ἐν Χαιρωνείᾳ Φιλίππου τ' ἐναντία καὶ Μακεδόνων οἱ Ἀχαιοὶ μετέσχον· ἐς δὲ τὴν Θεσσαλίαν καὶ ἐπὶ τὸν πρὸς Λάμῳ καλούμενον πόλεμον οὔ φασιν ἐκστρατεύσασθαι, οὐ γάρ πω μετὰ τὸ
4 πταῖσμα ἀνενηνοχέναι τὸ ἐν Βοιωτοῖς. Ὁ δὲ τῶν ἐπιχωρίων Πατρεῦσιν ἐξηγητὴς τὸν παλαιστὴν Χείλωνα[13]) Ἀχαιῶν μόνον μετασχεῖν ἔφασκε τοῦ ἔργου περὶ

9) ἐπὶ τῷ ἀναθήματι etc.] Vide ſupra L. V. C. 23. init. Mox pro οὐ μετῆν Ἀχαιοῖς duo Codd. Vindob. et Moſc. omiſſo οὐ exhibent μετῆν ἂν καὶ Ἀχαιοῖς, quae bene ferri poſſunt.

10) δοκεῖν δέ μοι, ἐς πατρίδας τε ὑπολειφθέντες] Codd. Vindob. et Moſc. δοκεῖ. Pro vulgata ὑποληφθέντες, quae a ſententia prorſus abhorrebat, ὑπολειφθέντες reſcribere non haeſitavi, Codice Moſc. ὑπολιφθέντες exhibente. ἐς hic pro ἐν poſitum delere mallem.

11) οὐχ ἧσσον εἶχον γνώμην] Praefero lectionem Codicis Vindob. γνώμης.

12) πολέμων δὲ τῶν πολ.] Ex utroque Cod. Vind. et Moſc. reddidi πολέμων δὲ, quae in vulgatis aberant.

13) τὸν παλαιστὴν Χείλωνα etc.] Vide ſupra L. VI. C. 4., ubi Pauſ. pluribus de hoc Chilone egit, qui ibi ſcribitur Χίλων.

περὶ Λάμιαν. οἶδα δὲ καὶ ἄνδρα αὐτὸς Λυδὸν Ἄδραστον ἰδίᾳ, καὶ οὐκ ἀπὸ τοῦ κοινοῦ τοῦ Λυδῶν ἀμύναντα Ἕλλησι. τοῦ δὲ Ἀδράστου τούτου χαλκῆν εἰκόνα ἀνέθεσαν οἱ Λυδοὶ πρὸ ἱεροῦ Περσικῆς Ἀρτέμιδος, καὶ ἔγραψαν ἐπίγραμμα, ὡς τελευτήσειεν Ἄδραστος ἐναντίον Λεοννάτῳ μαχόμενος ὑπὲρ Ἑλλήνων. ἡ δὲ ἐς Θερμοπύλας ἐπὶ τὴν Γαλατῶν στρατείαν ἔξοδος καὶ τοῖς πᾶσιν ὁμοίως παρώφθη Πελοποννησίοις. ἅτε γὰρ πλοῖα οὐκ ἐχόντων τῶν βαρβάρων, δεινὸν ἔσεσθαί σφισιν ὑπ᾽ αὐτῶν οὐδὲν ἤλπιζον, εἰ τὸν Κορινθίων Ἰσθμὸν ἐκ θαλάσσης τῆς κατὰ Λέχαιον ἀποτειχίσειαν ἐς τὴν ἑτέραν τὴν ἐπὶ Κεγχρεαῖς θάλασσαν· τοῦτο μὲν δὴ Πελοποννησίων ἦν τότε
ἁπάντων βούλευμα. Ἐπεὶ δὲ Γαλάται ναυσὶν ὅντι- 5
να δὴ τρόπον διαβεβήκασιν ἐς τὴν Ἀσίαν, ἐνταῦθα εἶχεν οὕτω τὰ Ἑλλήνων. προεστήκεσαν κατ᾽ ἰσχὺν οὐδένες ἔτι τοῦ Ἑλληνικοῦ. Λακεδαιμονίους μὲν γὰρ τὸ ἐν Λεύκτροις πταῖσμα, καὶ ἅμα οἵ τε Ἀρκάδες συνεληλυθότες ἐς Μεγάλην πόλιν, καὶ οἱ Μεσσήνιοι παροικοῦντες, ἀνασώσασθαι τὴν προτέραν ἔτι εὐδαιμονίαν ἐκώλυον. Θηβαίοις δὲ ἐς τοσοῦτον ἠρήμωσεν Ἀλέξανδρος τὴν πόλιν, ὡς ἔτεσιν ὕστερον οὐ πολλοῖς καταχθέντας ὑπὸ Κασάνδρου μηδὲ σώζειν τὰ οἰκεῖα ἀξιόχρεως εἶναι. Ἀθηναίοις δὲ εὔνοια μὲν παρὰ τοῦ Ἑλληνικοῦ τῶν ἔργων μάλιστα ὑπῆρχε τῶν ὕστερον, ἀναπαύσασθαι δὲ οὔ ποτε ἐκ τοῦ Μακεδόνων πολέμου παρῆν αὐτοῖς.

## CAPUT VII.

De Achaeorum potentia et concilio Achaïco — Lacedaemoniorum bello contra Achaeos ſuſcepto — Philippi, Demetrii filii, ſceleribus — ejus bello cum Athenienſibus geſto et Romanis Athenienſibus opem ferentibus.

Ἑλλήνων δὲ οὐ τασσομένων τηνικαῦτα ἔτι ἐν κοινῷ, ἰδίᾳ δὲ ἑκάστων κατὰ σφᾶς συνισταμένων [1]), οἱ Ἀχαιοὶ μάλιστα ἴσχυον. τυράννων γὰρ πλὴν Πελλήνης αἱ ἄλλαι πόλεις τὸν χρόνον ἅπαντα ἀπείρως ἐσχήκεσαν· αἵ τε ἐκ πολέμων καὶ ἀπὸ τῆς νόσου συμφοραὶ τῆς λοιμώδους οὐκ ἐς τοσοῦτον Ἀχαιοῖς, ἐφ' ὅσον τοῖς ἄλλοις ἐγένοντο Ἕλλησι. συνέδριόν τε οὖν Ἀχαϊκὸν καλούμενον, καὶ ἀπὸ κοινοῦ λόγου βουλεύματά τε ἦν Ἀχαιοῖς καὶ τὰ ἔργα. ἀθροίζεσθαι δὲ ἐς Αἴγιόν [2]) σφισιν ἔδοξεν· αὕτη γὰρ μετὰ Ἑλίκην ἐπικλυσθεῖσαν [3]) πόλεων ἐν Ἀχαΐᾳ τῶν ἄλλων δόξῃ προεῖχεν ἐκ παλαιοῦ, καὶ ἴσχυεν ἐν τῷ τότε. Ἑλλήνων δὲ τῶν λοιπῶν Σικυώνιοι συνεδρίου πρῶτοι τοῦ Ἀχαιῶν μετέσχον. μετὰ δὲ Σικυωνίους ἐσῄεσαν ἤδη καὶ τῶν ἄλλων Πελοποννησίων οἱ μὲν αὐτίκα, οἱ δὲ χρόνον τινὰ ἐπισχόντες· τοὺς δὲ καὶ ἐκτὸς οἰκοῦντας τοῦ Ἰσθμοῦ συντελεῖν ἐς Ἀχαιοὺς ἔπειθεν, ὅτι

1) συνισαμένων] Ex Codice Vind. et Moſc. ita reſcripſi pro vulgata συνημμένων.

2) Αἴγιόν] Cum Pauſania Livius L. XXXVIII. C. 30. in hoc nomine conſentit. Nec Strabo diſſentire videtur, qui L. VIII. p. 593. B. locum, ubi convenerint, Jovis lucum τὸ Αἰνάριον et Aegienſium ditionis fuiſſe affirmat. Conf. Strab. L. VIII. p. 590. C et ibi Caſaub.

3) Ἑλίκην ἐπικλυσθ.] De hac Helices calamitate vide infra C. 24. in fine et Strab. L. VIII. p. 589. B.

ὅτι ἐς πλέον [4]) ἰσχύος προϊὸν ἑώρων τὸ Ἀχαϊκόν.
Λακεδαιμόνιοι δὲ Ἑλλήνων μόνοι διάφοροί τε Ἀχαιοῖς 2
τὰ μάλιστα ἦσαν, καὶ ἐκ τοῦ φανεροῦ πόλεμόν σφισιν
ἐπῆγον. Πελλήνην μέν γε Ἀχαιῶν πόλιν Ἆγις εἷλεν [5])
ὁ Εὐδαμίδου βασιλεύων ἐν τῇ Σπάρτῃ, καὶ ἐξέπεσεν
αὐτίκα ἐκ Πελλήνης ὑπὸ Ἀράτου καὶ Σικυωνίων.
Κλεομένης δὲ ὁ Λεωνίδου τοῦ Κλεωνύμου βασιλεὺς
οἰκίας τῆς ἑτέρας ἀντικαθημένους Ἄρατον καὶ
Ἀχαιοὺς πρὸς Δύμῃ παρὰ πολύ τε ἐκράτησεν
ἐλθόντας ἐς χεῖρας, καὶ ὕστερον Ἀχαιοῖς καὶ Ἀν-
τιγόνῳ συνέθετο εἰρήνην. Ἀντίγονός τε οὗτος τηνι-
καῦτα ἀρχὴν τὴν Μακεδόνων εἶχεν ἐπιτροπεύων Φί-
λιππον τὸν Δημητρίου, παῖδα ἔτι ἡλικίαν ὄντα· ἦν δὲ
καὶ ἀνεψιὸς τῷ Φιλίππῳ, καὶ μητέρι αὐτοῦ συνῴκει.
πρὸς τοῦτον οὖν τὸν Ἀντίγονον καὶ Ἀχαιοὺς ποιησά-
μενος ὁ Κλεομένης σπονδὰς, καὶ αὐτίκα παραβὰς,
ὅσα ὤμοσεν, ἠνδραποδίσατο Ἀρκάδων Μεγάλην
πόλιν· Λακεδαιμονίοις τε τὸ ἐν Σελλασίᾳ πταῖσμα [6])
πρὸς Ἀχαιοὺς καὶ Ἀντίγονον Κλεομένους εἵνεκα καὶ
ἐπιορκίας τῆς ἐκείνου συνέβη. Κλεομένους μὲν δὴ καὶ
αὖθις ἐν λόγοις τοῖς Ἀρκαδικοῖς [7]) ἀφιξόμεθα ἐς
μνήμην. Φίλιππος δὲ ὁ Δημητρίου τὴν Μακεδόνων 3
ἀρχὴν, ὡς ἀφίκετο ἐς ἄνδρας, παρὰ ἑκόντος Ἀντι-
γόνου λαβὼν, φόβον τοῖς πᾶσιν Ἕλλησιν ἐνεποίησε,
τὰ Φιλίππου τοῦ Ἀμύντου, προγόνου μὲν οὐκ ὄντος
αὐτῷ, τῷ δὲ ἀληθεῖ λόγῳ δεσπότου, τά τε ἄλλα

 αὐτοῦ

4) ὅτι ἐς πλέον] Ex uno Codice Vind. reposui ὅτι pro ὅτε, voce ἔπειθεν illud flagitante, et τὸ ante πλέον vulgatum ex Codd. Vindob. (23. et 51.) ac Mosc. delevi.

5) Πελλήνην — Ἆγις εἷλεν etc.] Vide supra L. II. C. 8. §. 4.

6) τὸ ἐν Σελλασίᾳ πτ.] Vide supra L. II. C. 9.

7) ἐν λόγ. τοῖς Ἀρκαδ.] Vide L. VIII. C. 27. prope finem.

αὐτοῦ μιμούμενος, καὶ τὰ ἐς θεραπείαν, ὅσοις πατρίδας ἀρεστὰ ἦν ἐπ' οἰκείοις προδιδόναι κέρμασι· προπίνειν δὲ παρὰ τὰ συμπόσια ἐπὶ δεξιότητι καὶ Φιλίᾳ κύλικας οὐκ οἴνου, Φάρμακα δὲ, ἐς ὄλεθρον ἀνθρώποις, (ἃ δὴ ὁ μὲν τοῦ Ἀμύντου Φίλιππος οὐδ' ἐπενόησεν, ἐμοὶ δοκεῖν, ἀρχὴν) Φιλίππῳ δὲ τῷ Δημητρίου τὰ Φάρμακα τόλμημα ἦν ἐλαφρότατον [8]). κατεῖχε καὶ τρεῖς πόλεις Φρουραῖς, ὁρμητήρια εἶναί οἱ κατὰ τῆς Ἑλλάδος· καὶ ὠνόμαζε δὲ ὑπὸ τῆς ὕβρεως καὶ τῆς ἐς τὸ Ἑλληνικὸν ὑπεροψίας κλεῖς [9]) τῆς Ἑλλάδος τὰς πόλεις ταύτας. ἐπὶ μέν γε Πελοποννήσῳ Κόρινθος καὶ ἡ Κορινθίων ἀκρόπολις ἐτετείχιστο [10])· ἐπὶ δὲ Εὐβοίᾳ καὶ Βοιωτοῖς τε καὶ Φωκεῦσι Χαλκὶς ἡ πρὸς τῷ Εὐρίπῳ· κατὰ δὲ Θεσσαλῶν τε αὐτῶν καὶ τοῦ Αἰτωλῶν ἔθνους Μαγνησίαν τὴν ὑπὸ τὸ Πήλιον [11])
4 κατεῖχεν ὁ Φίλιππος. Μάλιστα δὲ Ἀθηναίους καὶ τὸ Αἰτωλικὸν ἐπιστρατείαις τε συνεχέσιν ἐπίεζε καὶ λῃστῶν καταδρομαῖς. ἐμνημόνευσε δέ μοι καὶ πρότερον ὁ λόγος καὶ ἐν τῇ Ἀτθίδι συγγραφῇ [12]), ὅσοι τε Ἑλλήνων ἢ βαρβάρων ἐναντία Φιλίππου συνήραντο Ἀθηναίοις, καὶ ὡς ὑπὸ ἀσθενείας τῶν συμμάχων ἐπὶ

8) προπίνειν — Φάρμακα — ἐλαφρότατον] Conſtructio horum verborum ex Pauſaniae more paullo eſt impeditior; προπίνειν ſcilicet pendet a ſequentibus τόλμ. ἦν ἐλαφρότατον. Pro vulgata Φαρμάκων δὲ ex utroque Codice dedi Φάρμακα δέ.

9) κλεῖς etc.] Strabo L. IX. p. 656. B. et Livius L. XXXII. C. 37. πέδας, *compedes* iſtas urbes Philippum appellaſſe ſcribunt; vide Caſaub. ad Strab. l.c.

10) ἐτετείχιστο] Cod. Vind. ἐπετετείχιστο.

11) Μαγνησίαν τὴν ὑπὸ τὸ Πήλιον] Proprie Demetriadem, quam Demetrius ex hac Magneſia et vicis circumjectis condiderat; vide Strab. l modo c. et L. IX. p. 666. ac Stephan. v. Δημητριάς.

12) ὁ λόγος — συγγραφῇ] Vide L. I. C. 36. in fine.

ἐπὶ Ῥωμαίους καὶ ἐπικουρίαν τὴν ἐκεῖθεν κατέφυγον οἱ Ἀθηναῖοι. Ῥωμαῖοι δὲ ἐπεπόμφεσαν καὶ οὐ πολλῷ τινι ἔμπροσθεν, λόγῳ μὲν ἐπικουρήσοντας Αἰτωλοῖς ἐναντία Φιλίππου, τῷ δὲ ἔργῳ μᾶλλόν τι ἐν κατασκοπῇ τῶν ἐν Μακεδονίᾳ πραγμάτων. τότε δὲ ἀποστέλλουσιν Ἀθηναίοις στρατιάν τε καὶ ἡγεμόνα Ἀτίλιον· τοῦτο γάρ οἱ τῶν ὀνομάτων ἦν τὸ ἐκδηλότατον· ἐπεὶ καλοῦνταί γε οὐ πατρόθεν οἱ Ῥωμαῖοι κατὰ ταυτὰ Ἕλλησιν, ἀλλὰ καὶ τρία, ὁπότε ἢ ὀλίγιστα, καὶ ἔτι πλέονα[13]) ὀνόματα ἑκάστῳ τίθενται. τῷ δὲ Ἀτιλίῳ προσετέτακτο ὑπὸ Ῥωμαίων, ἀπείργειν ἀπὸ Ἀθηναίων καὶ τοῦ Αἰτωλικοῦ τὸν Φιλίππου πόλεμον. Ἀτίλιος δὲ τὰ μὲν ἄλλα τοῖς πράγμασι κατὰ τὰ ἐπιτεταγμένα ἐχρῆτο· τάδε δὲ οὐ κατὰ γνώμην οἱ τὴν Ῥωμαίων ἐστὶν εἰργασμένα. Εὐβοέων γὰρ Ἑστιαίαν πόλιν καὶ Ἀντίκυραν[14]) τὴν ἐν τῇ Φωκίδι ἑλών, ὑπηκόους κατ᾽ ἀνάγκην οὔσας Φιλίππου, ἐποίησεν ἀναστάτους. καὶ τοῦδε εἵνεκα (μοι δοκεῖν) ἐπεὶ ἐπύθετο ἡ βουλή, ἀποστέλλουσιν Ἀτιλίῳ διάδοχον τῆς ἀρχῆς Φλαμίνιον.

13) ὁπότε ἢ ὀλίγιστα, καὶ ἔτι πλ.] In Cod. Vind. et Mosc. ἢ abest; ἔτι pro vulgato ἐπὶ rescripsi, *Sylburgio* adstipulante. Idem mendum obvium est paullo post C. 8., ubi vid. not. 5.

14) Ἀντίκυραν] Hanc urbem expugnatam a T. Quintio Flaminio refert Livius L. XXXII. C. 18.

## CAPUT VIII.

Romani, duce Flaminio, cum Achaeis Corinthum expugnant — Achaei Romanorum socii — Achaei Spartae muros demoliuntur et Lacedaemoniis graviter imperant — Lacedaemonii ad Metellum et legatos Romanos confugiunt — de Macedonum rebus a Romanis everſis et Sibyllae oraculo illud ſignificante.

Τότε δὲ ἥκων ὁ Φλαμίνιος Ἐρέτριάν τε διήρπασε, τοὺς φρουροῦντας Μακεδόνων μάχῃ νικήσας, καὶ αὖθις ἐλάσας ἐπὶ Κόρινθον κατεχομένην ὑπὸ Φιλίππου φρουρᾷ, αὐτός τε προσεκάθητο πολιορκῶν, καὶ παρὰ Ἀχαιοὺς ἅμα ἀποστέλλων ἐπήγγελλέ σφισιν ἀφικνεῖσθαι πρὸς Κόρινθον στρατιᾷ, συμμάχους τε ἀξιωθησομένους καλεῖσθαι Ῥωμαίων, καὶ ἅμα εὐνοίᾳ τῇ ἐς τὸ Ἑλληνικόν. Ἀχαιοὶ δὲ ἐποιοῦντο μὲν μεγάλως καὶ αὐτὸν [1]) ἐν αἰτίᾳ Φλαμίνιον, καὶ ἔτι πρότερον Ἀτίλιον, οἳ μετεχειρίσαντο ὠμῶς οὕτω πόλεις Ἑλληνίδας καὶ ἀρχαίας, ἀναμαρτήτους τε οὔσας πρὸς Ῥωμαίους, καὶ οὐ κατὰ γνώμην ὑπὸ Μακεδόνων ἀρχομένας· προεωρῶντο δὲ, καὶ ὡς ἀντὶ Φιλίππου καὶ Μακεδόνων Ῥωμαῖοι σφίσι τε ἥκοιεν καὶ τῷ Ἑλληνικῷ δεσπόται προστάττειν. ῥηθέντων δὲ ἐν τῷ συνεδρίῳ πολλῶν καὶ ἐναντίων ἀλλήλοις, τέλος οἱ εὔνοι Ῥωμαίοις ἐνίκησαν, καὶ Ἀχαιοὶ Φλαμινίῳ [2]) Κόρινθον συνεπολιόρκησαν. Κορίνθιοι δὲ ἀπὸ Μακεδόνων ἐλευθερωθέντες, μετέσχον αὐτίκα συνεδρίου τοῦ Ἀχαιῶν,

1) αὐτὸν] Reſtitui pro αὐτοὶ ex duobus Codicibus Vind. et ex Moſc.

2) καὶ Ἀχαιοὶ Φλαμινίῳ] Cod. Vindob. καὶ Ἀχαιοὶ σὺν Φλαμινίῳ.

Ἀχαιῶν, μετασχόντες καὶ πρότερον, ὅτε Ἄρατος καὶ
Σικυώνιοι φρουρὰν ἐκ τοῦ Ἀκροκορίνθου τὴν πᾶσαν
ἐξήλασαν, καὶ ἀπέκτειναν Περσαῖον[3]) ὑπὸ Ἀντιγόνου
ταχθέντα ἐπὶ τῇ φρουρᾷ. Ἀχαιοὶ δὲ ἀπὸ τούτου 2
σύμμαχοί τε ὠνομάζοντο Ῥωμαίων, καὶ ἐς τὰ πάντα
ἦσαν πρόθυμοι· καί σφισιν εἵποντο μὲν ἐς Μακεδονίαν
καὶ ἐπὶ Φίλιππον, μετέσχον δὲ στρατείας ἐς Αἰτωλούς.
τρίτα δὲ ὁμοῦ Ῥωμαίοις ἐμαχέσαντο ἐναντία Ἀντιό-
χου καὶ Σύρων. ὅσα μὲν δὴ Ἀχαιοὶ Μακεδόσιν ἢ
στρατιᾷ τῇ Σύρων ἐναντία ἐτάξαντο, φιλίᾳ τῇ πρὸς
Ῥωμαίους ἔπραξαν. Ἐς δὲ Λακεδαιμονίους ἐκ πα- 3
λαιοῦ σφίσιν ἦν οἰκεῖα ἐγκλήματα. ἐπεὶ δὲ ἡ Νάβι-
δος ἐν Σπάρτῃ τυραννὶς κατελέλυτο, ἐς πλείστην ὠμότητα
ἀνδρὸς ἀφικομένου, τὰ ἐς τοὺς Λακεδαιμονίους αὐτίκα
ἐνεπεπτώκει· καὶ σφᾶς ὑπὸ τὸν χρόνον οἱ Ἀχαιοὶ τοῦ-
τον ἐς σύλλογον ὑπάγονται τὸν Ἀχαϊκὸν, καὶ δίκας
γε ἐδίκαζόν σφισιν ἐς τὸ ἀκριβέστατον, καὶ τὰ τείχη
τῆς Σπάρτης καταβάλλουσιν ἐς ἔδαφος, οἰκοδομη-
θέντα μὲν καὶ πρότερον ἔτι αὐτοσχεδίως, καὶ ἐπί τε
τῆς Δημητρίου καὶ ὕστερον τῆς Πύῤῥου καὶ Ἠπειρωτῶν
στρατείας, ἐπὶ δὲ τῆς τυραννίδος τῆς Νάβιδος καὶ ἐς
τὸ ἀσφαλέστατον ὀχυρωθέντα. τά τε οὖν τείχη τῆς
Σπάρτης οἱ Ἀχαιοὶ καθεῖλον, καὶ τὰ ἐς μελέτην τοῖς
ἐφήβοις ἐκ τῶν Λυκούργου νόμων καταλύσαντες,
ἐπέταξαν τοῖς Ἀχαιῶν ἐφήβοις τὰ αὐτὰ ἐπιτη-
δεύειν. ταῦτα μὲν δὴ καὶ ἐς πλέον ἐπέξεισιν αὖθίς
μοι τὰ ἐς Ἀρκάδας[4]). Λακεδαιμόνιοι δὲ, ἅτε μεγά- 4

 λως

3) καὶ ἀπέκτ. Περσαῖον etc.] Vide supra L. II. C. 8. §. 4. et ibi not. Mox τὸ ante ὑπὸ vulgatum utriusque Codicis auctoritate delevi.

4) ἐπέξεισιν — τὰ ἐς Ἀρκάδας] Vide L. VIII. C. 51.

λως τοῖς ἐπιτάγμασιν ἀχθόμενοι τοῖς Ἀχαιῶν, καταφεύγουσιν ἐπὶ Μέτελλον, καὶ ὅσοι σὺν Μετέλλῳ κατὰ πρεσβείαν ἧκον ἐκ Ῥώμης. ἀφίκοντο δὲ οὗτοι Φιλίππῳ καὶ Μακεδόσι πόλεμον μὲν οὐδένα ἐπάξοντες, ἅτε εἰρήνης πρότερον ἔτι [5]) Φιλίππῳ καὶ Ῥωμαίοις ὀμωμοσμένης, ὁπόσα δὲ ἢ Θεσσαλοῖς ἢ τῶν ἐξ Ἠπείρου τισὶν ἐγκλήματα ἦν ἐς Φίλιππον, ταῦτα ἧκον οἱ ὁμοῦ Μετέλλῳ κρινοῦντες. ἔργῳ μὲν δὴ Φίλιππός τε αὐτὸς καὶ ἡ Μακεδόνων ἀκμὴ καθῄρητο ὑπὸ Ῥωμαίων. μαχεσάμενός γὰρ Φλαμινίου καὶ Ῥωμαίων ἐναντία Φίλιππος ἐν Κυνὸς καλουμέναις Κεφαλαῖς, ἐν λόχοις [6]) τὸ ἧττον ἠνέγκατο· ἀλλά γε δὴ καὶ δυνάμεσιν ἀγωνισάμενος αὐτὸς οὗτος ὁ Φίλιππος τοσοῦτον ἐκρατήθη τῇ συμβολῇ, ὡς στρατιᾶς τε, ἣν ἦγεν, ἀποβαλεῖν τὸ πολὺ, καὶ ἐκ τῶν πόλεων, ὅσας εἷλεν ἐν τῇ Ἑλλάδι πολέμῳ παραστησάμενος, ἐξήγαγεν ἐξ ἁπασῶν τὰς φρουρὰς κατὰ ὁμολο-
5 γίαν πρὸς Ῥωμαίους. Κατὰ μέν τοι τοῦ λόγου τὸ εὐπρεπὲς παρὰ Ῥωμαίων εὕρητο εἰρήνην, δεήσεσι μὲν παντοίαις καὶ δαπάναις χρημάτων μεγάλαις· τὰ δὲ ἐς Μακεδόνας, δύναμίν τε, ἣν ἐπὶ Φιλίππου περιεβάλοντο τοῦ Ἀμύντου, καὶ ὡς ἐπὶ Φιλίππου τοῦ ὑστέρου τὰ πράγματά σφισιν ἐφθάρη, Σίβυλλα οὐκ ἄνευ θεοῦ προεθέσπισεν. ἔχει δὲ οὕτω τὰ χρησθέντα·

Αὐχοῦν-

5) πρότερον ἔτι] Reposui ἔτι ex Cod. Mosc. pro ἐπὶ, quod hic alieno loco vulgatum fuit.

6) ἐν λόχοις] *Kuhnio* recte emendante λόχοις pro absurde vulgato λόγοις, illud rescribere non temerarium esse duxi. λόχοι sunt *cohortes*, *agmina*, et hic opponuntur δυνάμεσιν, *totis viribus*.

Αὐχεῦντες βασιλεῦσι Μακηδόνες Ἀργεάδῃσιν 7),
Ὑμῖν κοιρανέων ἀγαθὸν, καὶ πῆμα Φίλιππος.
Ἤτοι ὁ μὲν πρότερος πόλεσιν λαοῖσί τ' ἄνακτας
Θήσει· ὁ δ' ὁπλότερος τιμὴν ἀπὸ πᾶσαν ὀλέσσει,
Δμηθεὶς ἑσπερίοισιν ὑπ' ἀνδράσιν ἠῴοις τε.

Ῥωμαῖοί γε δὴ 8) τὰ πρὸς ἑσπέραν νεμόμενοι τῆς Εὐρώπης καθεῖλον τὴν Μακεδόνων ἀρχὴν, καὶ τῶν ἐς τὸ συμμαχικὸν ταχθέντων Ἄτταλος, καὶ ἔτι ἐκ Μυσίας ϛρατιᾶς 9)· πρὸς δὲ ἀνίσχοντα ἥλιον μᾶλλόν τι ἡ Μυσία τέτραπται.

## CAPUT IX.

Metellus de Achaeis dicto non audientibus querelas ad senatum defert — Lacedaemonii in senatu Achaeos criminantur — Romani mittunt, qui inter Achaeos et Lacedaemonios disceptent — muri Spartae reficiuntur — Romani Lacedaemoniis faventes Achaeis varie adversantur.

Τότε δὲ τῷ Μετέλλῳ καὶ τῇ ἄλλῃ πρεσβείᾳ μὴ ὑπεριδεῖν Λακεδαιμονίων ἤρεσε· καὶ Ἀχαιῶν τοὺς τὰς ἀρχὰς ἔχοντας ἐς τὸ συνέδριον ἠξίουν συγκαλέσαι τοὺς Ἀχαιοὺς, ἵνα ἐν κοινῷ διδάξωσιν αὐτοὺς ἠπιώτερον μεταχειρίζεσθαι τὰ ἐν Λακεδαίμονι. οἱ δέ σφισιν ἀπεκρίναντο, μηδὲ ἐκείνοις Ἀχαιοὺς ἐς σύλλογον μήτε ἄλλῳ συνάξειν, ὅςτις μὴ ἐπὶ τῷ πράγματι, ἐφ' ὅτῳ ποιεῖται τὴν πρόσοδον, παρὰ τῆς Ῥωμαίων

R 5 βουλῆς

7) βασιλεῦσι — Ἀργεάδῃσιν] De regibus Macedonum ab origine Argivis vide Herod. L. V. f. 22. et ibi Valkenar.

8) Ῥωμαῖοί γε δὴ] Uterque Cod. Ῥωμ. μὲν δή.

9) ϛρατιᾶς] Cum *Hartungo* rectius ϛρατιὰ scribendum esse, *Sylb.* bene monuit.

βουλῆς ἔχει δόγμα. Μέτελλος δὲ καὶ οἱ σὺν αὐτῷ ὑπὸ τῶν Ἀχαιῶν περιϋβρίσθαι νομίζοντες, ἐπεὶ δὴ ἀφίκοντο ἐς Ῥώμην, πολλὰ ἐπὶ τῆς βουλῆς καὶ οὐ
2 πάντα τὰ ἀληθῆ [1]) κατηγόρουν τῶν Ἀχαιῶν. Τούτων δὲ πλείονα ἐνεκάλουν Ἀχαιοῖς Ἀρεὺς καὶ Ἀλκιβιάδης οἱ Λακεδαιμόνιοι, δόκιμοι μὲν τὰ μάλιστα ἐν τῇ Σπάρτῃ, τὰ δὲ ἐς Ἀχαιοὺς οὐ δίκαιοι. γενομένους γὰρ ὑπὸ Νάβιδος φυγάδας ὑπεδέξαντο αὐτοὺς οἱ Ἀχαιοί· καὶ ἀποθανόντος Νάβιδος παρὰ γνώμην Λακεδαιμονίων τοῦ δήμου κατάγουσιν ἐς Σπάρτην. τότε οὖν ἀναβεβηκότες καὶ οὗτοι παρὰ τὴν βουλὴν προθυμότατα ἐνέκειντο Ἀχαιοῖς· Ἀχαιοὶ δέ σφισιν ἀπελθοῦσιν ἐπιβάλλουσιν ἐν τῷ συνεδρίῳ θάνατον ζημίαν.
3 Ῥωμαίων δὲ ἡ βουλὴ πέμπουσιν ἄλλους τε ἄνδρας, καὶ Ἄππιον Λακεδαιμονίοις καὶ Ἀχαιοῖς τὰ δίκαια ὁρίσαι. Ἄππιος δὲ καὶ οἱ σὺν αὐτῷ ἔμελλον μὲν οὐδὲ ὀφθέντες Ἀχαιοῖς ἔσεσθαι καθ᾽ ἡδονήν, οἳ Ἀρέα καὶ Ἀλκιβιάδην ἅμ᾽ αὐτοῖς ἐπήγοντο ἐν τῷ τότε Ἀχαιοῖς ἐχθίστους. ἐλύπησαν δὲ καὶ ἐς πλέον τοὺς Ἀχαιούς, ἐπειδὴ ἐς τὸν σύλλογον αὐτῶν ἐπελθόντες σὺν ὀργῇ μᾶλλον ἐποιοῦντο ἢ πειθοῖ τοὺς λόγους. Λυκόρτας δὲ ὁ Μεγαλοπολίτης, οὐδὲ ἀξιώματι οὐδενὸς Ἀρκάδων ὕστερος, καί τι καὶ φρόνημα κατὰ φιλίαν προσειληφὼς τὴν Φιλοποίμενος, λόγῳ τε ἀπέφαινε τὰ ὑπὲρ τῶν Ἀχαιῶν δίκαια, καὶ ὁμοῦ τοῖς λόγοις καὶ μέμψιν τινὰ ὑπέτεινεν ἐς τοὺς Ῥωμαίους. Ἄππιος δὲ καὶ οἱ σὺν αὐτῷ Λυκόρταν λέγοντα ἐποιοῦντο ἐν χλευασμῷ· καὶ Ἀρέως ἀποψηφίζονται καὶ Ἀλκιβιάδου, μηδὲν ἀδίκημα ἐξ αὐτῶν ἐς Ἀχαιοὺς εἶναι, Λακεδαιμονίοις τε ἀποστεῖλαι πρέσβεις ἐφιᾶσιν ἐς Ῥώμην, ἐναντία ἐφιέν-

1) οὐ πάντα τὰ ἀληθῆ] Cod. Vind. οὐ παρὰ τὰ ἀληθῆ.

ἐφιέντες [2]), ἢ Ῥωμαίοις συγκείμενα ἦν καὶ Ἀχαιοῖς. Ἀχαιῶν μὲν γὰρ εἴρητο ἀπὸ τοῦ κοινοῦ παρὰ τὴν Ῥωμαίων βουλὴν ἀπιέναι πρέσβεις· ἰδίᾳ δὲ ἀπείρητο, μὴ πρεσβεύεσθαι τὰς πόλεις, ὅσαι συνεδρίου τοῦ Ἀχαιῶν μετεῖχον. ἀντιπρεσβευσαμένων δὲ καὶ Ἀχαιῶν Λακεδαιμονίοις, καὶ λόγων ῥηθέντων ὑπὸ ἀμφοτέρων ἐπὶ τῆς βουλῆς, τοὺς αὐτοὺς ἀποστέλλουσιν αὖθις οἱ Ῥωμαῖοι Λακεδαιμονίοις γενέσθαι καὶ Ἀχαιοῖς δικαστάς, Ἄππιον καὶ ὅσοι σὺν ἐκείνῳ πρότερον ἐς τὴν Ἑλλάδα ἀφίκοντο. οἱ δὲ τούς τε ἐκβληθέντας ὑπὸ Ἀχαιῶν κατάγουσιν ἐς Σπάρτην, καὶ ὅσων πρὸ κρίσεως ἀπελθόντων κατέγνωστο ὑπὸ τῶν Ἀχαιῶν ἀδικεῖν, καὶ τὰ ἐπὶ τούτοις τιμήματα ἔλυσαν [3]). καὶ συντελείας μὲν Λακεδαιμονίους ἐς τὸ Ἀχαϊκὸν οὐκ ἀφιᾶσι· περὶ δὲ τῇ ἑκάστου ψυχῇ ξενικά σφισι διδόασιν εἶναι δικαστήρια, ὅσα τε ἄλλα ἐγκλήματα, λαμβάνειν τε αὐτοὺς καὶ ἐν τῷ Ἀχαϊκῷ ὑπέχειν τὰς κρίσεις [4]).
Ἐτειχίσθη δὲ καὶ ἐξ ἀρχῆς αὖθις Σπαρτιάταις ὁ 4
κύκλος τοῦ ἄστεως. Λακεδαιμονίων δὲ οἱ κατελθόντες, βουλεύοντες παντοῖα ἐπὶ Ἀχαιοῖς, λυπήσειν σφᾶς ἐπὶ τοιῷδε μάλιστα ἤλπιζον. Μεσσηνίους τοὺς

2) ἐφιέντες] Duo Codd. Vind. et Mosc. ἀφιέντες, et mox εἴρηται pro εἴρητο, quod hic interpretandum est *decretum fuerat.*

3) καὶ ὅσων — ἔλυσαν] *et omnibus iis, qui, quod ante causae cognitionem discessissent, ab Achaeis injuriarum erant damnati, mulctam remiserunt.* Sic haec recte *Sylburg.* interpretatus est.

4) καὶ συντελείας — κρίσεις] *ac Lacedaemonios quidem ab Achaïco concilio non liberant, sed capitis judicia illis penes exteros* (scil. penes senatum Romanum, vid. C. 12.) *constituunt, ac de omnibus reliquis criminibus et accusare illos et accusari posse in concilio Achaïco.*

τοὺς Φιλοποίμενι θανάτου συναιτίους γενέσθαι νομισθέντας, καὶ δι' αἰτίαν ταύτην ὑπὸ Ἀχαιῶν ἐκπεπτωκότας [5]), τούτους τε καὶ Ἀχαιῶν αὐτῶν τοὺς φεύγοντας ἀναβῆναι πείθουσιν ἐς Ῥώμην· σὺν δέ σφισιν ἀνεληλυθότες καὶ αὐτοὶ γενέσθαι τοῖς ἀνδράσιν ἔπρασσον κάθοδον. Ἅτε δὲ τοῦ Ἀππίου Λακεδαιμονίοις συνπροθυμουμένου μεγάλως, Ἀχαιοῖς δὲ ἐπὶ παντὶ ἀντιβαίνοντος, ἔμελλεν οὐ χαλεπῶς Μεσσηνίων καὶ Ἀχαιῶν τοῖς φεύγουσι τὰ βουλεύματα ἐς δέον χωρήσειν. γράμματα δὲ αὐτίκα ὑπὸ τῆς βουλῆς ἔς τε Ἀθήνας κατεπέμπετο καὶ ἐς Αἰτωλίαν, κατάγειν σφᾶς Μεσσηνίους καὶ Ἀχαιοὺς ἐπὶ τὰ οἰκεῖα. τοῦτο Ἀχαιοὺς ἐς τὰ μάλιστα ἠνίασεν, ὡς οὔτε ἄλλως πάσχοντας δίκαια ὑπὸ Ῥωμαίων, καὶ ἐς τὸ ἀνωφελὲς προϋπηργμένων σφίσιν ἐς αὐτούς [6])· οἳ ἐπὶ τὰ Φιλίππου καὶ Αἰτωλῶν ἐναντία καὶ αὖθις Ἀντιόχου στρατεύσαντες χάριτι ἐς Ῥωμαίους ἐγίνοντο ὕστεροι φυγάδων ἀνθρώπων καὶ οὐ καθαρῶν χεῖρας. ὅμως δὲ εἴκειν σφίσιν ἐδόκει. τότε μὲν δὴ ἐς τοσοῦτον ἐπράχθη.

5) Μεσσηνίους — ἐκπεπτωκότας] Vide ſupra L. IV. C. 29. in fine et infra L. VIII. C. 51. in fine. Pro vulgatis καὶ αἰτίαν cum *Sylburgio* emendavi καὶ δι' αἰτίαν. Cur δι' facile excidere potuerit, rei criticae gnaris ſatis eſt notum.

6) ἐς τὸ ἀν. προϋπ. σφίσιν ἐς αὐτούς] προϋπηργμένων abſolute poſitum, et σφίσιν ad Achaeos, αὐτοὺς vero ad Romanos pertinet: *ac quod fruſtra ante de iis bene meriti eſſent.*

CAPUT

# CAPUT X.

Proditionis patriae varia exempla apud plures gentes enumerantur — Achaei per Callicratem proditi Romanis obnoxii redduntur.

Τολμημάτων δὲ τὸ ἀνοσιώτατον, τὴν πατρίδα καὶ ἄνδρας προδιδόναι πολίτας ἐπὶ οἰκείοις κέρδεσιν, ἔμελλε καὶ Ἀχαιοῖς κακῶν ἄρξειν, οὔποτε ἐκ τοῦ χρόνου παντὸς τὴν Ἑλλάδα ἐκλιπόν. ἐπὶ μέν γε Δαρείου τοῦ Ὑςάσπου βασιλεύοντος Περσῶν Ἴωσι τὰ πράγματα ἐφθάρη, Σαμίων πλὴν ἑνός τε καὶ δέκα ἀνδρῶν, τῶν ἄλλων τριηράρχων τὸ ναυτικὸν τὸ Ἰώνων προδόντων [1]). Μετὰ δὲ Ἴωνας κεχειρωμένους ἠνδραποδίσαντο καὶ Ἐρέτριαν Μῆδοι· προδόται δὲ ἐγένοντο οἱ εὐδοκιμοῦντες μάλιςα ἐν Ἐρετρίᾳ, Φίλαβρος [2]) Κυνέου καὶ Εὔφορβος Ἀλκιμάχου. Ξέρξῃ δὲ ἐπὶ τὴν Ἑλλάδα ἐλαύνοντι Θεσσαλία τε δι' Ἀλευάδων προὐδόθη [3])· Θήβας δὲ Ἀτταγῖλος [4]) καὶ Τιμηγενίδας προδιδόασι, Φερόμενοι τὰ πρῶτα ἐν Θήβαις. Πελοποννησίων δὲ καὶ Ἀθηναίων πολεμησάντων, Ξενίας [5]) Ἠλεῖος ἐπεχείρησεν Ἦλιν Λακεδαιμονίοις καὶ Ἄγιδι προ-

1) ἐπὶ μέν γε Δαρείου — προδόντων] Vide Herodot. L. VI. ſ. 13. 14.

2) προδόται — Φίλαβρος etc.] Amaſ. *Philagrus* et ita Herod. L. VI. ſ. 101., qui haec pluribus refert, ubi vid. not.

3) δι' Ἀλευάδων προὐδ.] Vid. Herodot. L. VII. C. 6. et ibi Valkenar. Conf. de Aleuadis not. 12. ad Paul. L. III. C. 7.

4) Θήβας δὲ Ἀτταγῖλος etc.] Vide Herodot. L. IX. ſ. 86., ubi Ἀτταγῖνος legitur, ſicuti etiam L. IX. ſ. 15., ubi vid. Valken., qui Ἀτταγῖνος rectius eſſe demonſtrat.

5) Ξενίας etc.] De hoc vide ſupra L. III. C. 8. et L. V. C. 4. in fine.

προδοῦναι. Οἵ τε Λυσάνδρου καλούμενοι ξένοι χρόνον οὐδένα ἐπαύσαντο πατρίδας ἐγχειρίζοντες Λυσάνδρῳ τὰς ἑαυτῶν [6]). Κατὰ δὲ τὴν Φιλίππου βασιλείαν τοῦ Ἀμύντου Λακεδαίμονα πόλεων μόνην οὐ προδοθεῖσαν τῶν ἐν Ἕλλησιν εὕροι τὶς ἄν· αἱ δὲ ἄλλαι πόλεις αἱ ἐν τῇ Ἑλλάδι ὑπὸ προδοσίας μᾶλλον, ἢ ὑπὸ νόσου πρότερον τῆς λοιμώδους ἐφθάρησαν. Ἀλεξάνδρῳ δὲ τῷ Φιλίππου παρέσχεν ἡ εὐτυχία μικρὰ ἀνδρῶν προδοτῶν καὶ οὐκ ἄξια λόγου προςδεηθῆναι [7]). Ἐπεὶ δὲ τὸ ἐν Λαμίᾳ πταῖσμα ἐγένετο Ἕλλησιν, Ἀντίπατρος μὲν, ἅτε διαβῆναι ποιούμενος σπουδὴν πρὸς τὸν ἐν τῇ Ἀσίᾳ πόλεμον, ἐβούλετο εἰρήνην ἐν τάχει συντίθεσθαι, καί οἱ διέφερεν οὐδὲν, εἰ Ἀθήνας τε ἐλευθέραν καὶ τὴν πᾶσαν Ἑλλάδα ἀφήσει. Δημάδης δὲ καὶ ὅσον προδοτῶν Ἀθήνησιν ἄλλο ἦν, ἀναπείθουσιν Ἀντίπατρον, μηδὲν ἐς Ἕλληνας φρονῆσαι φιλάνθρωπον· ἐκφοβήσαντες δὲ Ἀθηναίων τὸν δῆμον, ἔς τε Ἀθήνας καὶ πόλεων τῶν ἄλλων τὰς πολλὰς ἐγένοντο αἴτιοι Μακεδόνων ἐσαχθῆναι φρουράς. βεβαιοῖ δέ μοι καὶ τόδε τὸν λόγον· Ἀθηναῖοι γὰρ μετὰ τὸ ἀτύχημα τὸ ἐν Βοιωτοῖς οὐκ ἐγένοντο Φιλίππου κατήκοοι, ἁλόντων μὲν σφισι δισχιλίων, ὡς ἐκρατήθησαν [8]), παρὰ τὸ ἔργον, χιλίων

6) Οἵ τε Λυσάνδρου — ἐπαύσαντο — ἑαυτῶν] Conf. L. X. C. 9. prope finem. Inter χρόνον οὐδένα uterque Cod. inserit δὲ, quod prorſus alieno loco eſt; forte χρόνον δι' οὐδένα ſcribendum ſit. Pro ἐπαύσαντο uterque Cod. exhibet ἀνίεσαν, quorum alterutrum e gloſſemate enatum eſſe, facile patet.

7) Ἀλεξάνδρῳ — προςδεηθῆναι] *Alexandri autem felicitas effecit, ut proditoribus parum, nec ita egeret, ut commemoratu dignum eſſet.*

8) ἐκρατήθησαν] Sic confidenter emendavi pro vulgata ἐκράτησαν, re ipſa hanc correctionem flagitante.

χιλίων δὲ φονευθέντων· ἐν Λαμίᾳ δὲ περὶ διακοσίους
πεσόντων, καὶ οὐ πλέον τι, Μακεδόσιν ἐδουλώθησαν.
οὕτω μὲν οὔποτε τὴν Ἑλλάδα ἐπέλειπον οἱ ἐπὶ προδο-
σίᾳ νοσήσαντες. Ἀχαιοὺς δὲ ἀνὴρ Ἀχαιὸς Καλλι- 2
κράτης τηνικαῦτα ἐς ἅπαν ἐποίει Ῥωμαίοις ὑποχει-
ρίους. ἀρχὴ δέ σφισιν ἐγίνετο κακῶν Περσεὺς καὶ
ἡ Μακεδόνων ἀρχὴ καταλυθεῖσα ὑπὸ Ῥωμαίων.
Περσεῖ γὰρ τῷ Φιλίππου πρὸς Ῥωμαίους ἄγοντι
εἰρήνην κατὰ συνθήκας, ἃς ὁ πατήρ οἱ Φίλιππος
ἐποιήσατο, ἐπῆλθεν ὑπερβῆναι τοὺς ὅρκους, καὶ ἐπί
τε Σαπέων τὸν βασιλέα Ἀβρούπολιν 9) στράτευμα ἀγα-
γὼν, ἐποίησεν ἀναστάτους Ῥωμαίων συμμάχους ὄντας·
Σαπέων δὲ τούτων καὶ Ἀρχίλοχος 10) ἐν ἰάμβῳ μνήμην
ἔσχε. Μακεδόνων δὲ καὶ Περσέως κεχειρωμένων πο-
λέμῳ διὰ τὸ ἐς Σαπέους ἀδίκημα, ἄνδρες τῆς Ῥωμαίων
βουλῆς δέκα ἐπέμφθησαν καταστησόμενοι πρὸς τὸ ἐπι-
τηδειότατον Ῥωμαίοις τὰ ἐν Μακεδονίᾳ. ἥκοντας δὲ
ἐς τὴν Ἑλλάδα ὑπήρχετο ὁ Καλλικράτης, οὔτε ἔργον
τῶν ἐς τὴν κολακείαν, οὔτε λόγον οὐδένα ἐς αὐτοὺς
παριείς. ἕνα δέ τινα ἐξ αὐτῶν ἄνδρα οὐδαμῶς ἐς δι-
καιοσύνην πρόθυμον, τοῦτον τὸν ἄνδρα προσεποιήσατο
ὁ Καλλικράτης ἐς τοσοῦτον, ὥστε αὐτὸν καὶ ἐς τὸ
συν-

9) ἐπί τε Σαπέων τὸν βασιλέα Ἀβρούπολιν] Dedi ex Codice Moic. Ἀβρούπολιν pro vulgata Ἄβρου πόλεως, cum jam *Kuhn.* ex Livio L. XLII. C. 41. ita corrigendum esse conjecisset. Attamen alterius socii Romanorum nomen excidisse, cum praecedens τε, tum subsequens pluralis συμμάχους ὄντας innuere videtur. Illud vero aderit, si post βασιλέα inseras καὶ, quod ob literas forma affines εα facile absorberi potuit. Σαπέων rectius cum αι scribi, probabile est, cum Strabo, Steph. v. Σάπαι et Herodot. L. VII. s. 110. nomen hujus Thraciae gentis ita scriptum exhibeant.

10) Ἀρχίλοχος] De hoc poëta e Tellidis posteris (Pausan. L. X. C. 28.) vide *Kuhn.* ad Aelian. Var. Hist. L. X. C. 13.

συνέδριον ἐσελθεῖν τὸ Ἀχαιῶν ἔπεισεν. ὁ δὲ ὡς ἐς τὸν σύλλογον ἐσῆλθεν, ἔλεγεν, ὡς πολεμοῦντι πρὸς Ῥωμαίους Περσεῖ χρήματα οἱ δυνατώτατοι τῶν Ἀχαιῶν παράσχοιεν, συνάραιντο δὲ καὶ ἐς τὰ ἄλλα· ἐκέλευσεν οὖν καταγνῶναι τοὺς Ἀχαιοὺς θάνατον· εἰ δὲ ἐκεῖνοι καταγνοῖεν, τότε καὶ αὐτὸς τὰ ὀνόματα ἐρεῖν ἔφασκε τῶν ἀνδρῶν. λέγειν τε δὴ ἐδόκει παντάπασιν ἄδικα, καὶ αὐτὸν ἠξίουν οἱ ἐς τὸν σύλλογον ἐληλυθότες ἤδη, εἰ Περσεῖ τὰ αὐτὰ Ἀχαιῶν τινες ἔπραξαν, ὀνομαστὶ αὐτῶν ἑκάστου μνησθῆναι, πρότερον δὲ οὐ σφᾶς καταγιγνώσκειν εἰκὸς εἶναι. ἔνθα δὲ ὡς ἠλέγχετο ὁ Ῥωμαῖος, ἀπετόλμησεν εἰπεῖν, ὡς οἱ ἐστρατηγηκότες Ἀχαιῶν ἐνέχονται πάντες τῇ αἰτίᾳ· πάντας γὰρ φρονῆσαι τὰ Μακεδόνων τε καὶ Περσέως. ὁ μὲν δὴ ταῦτα ἔλεγεν ὑπὸ διδασκαλίᾳ τῇ Καλλικράτους. ἀναστὰς δὲ μετ' αὐτὸν Ξένων, (οὗτος οὐκ ἐλαχίστου λόγου παρ' Ἀχαιοῖς) οὕτως, ἔφη [11]), κατὰ τὴν αἰτίαν ἔχει ταύτην· ἐστρατήγησα μὲν Ἀχαιῶν καὶ ἐγώ, ἀδικίας δὲ οὐδὲν ἐς Ῥωμαίους, οὔτε εὐνοίας μοι μέτεστιν ἐς Περσέα· καὶ τοῦδε εἵνεκα ἐθέλω μὲν ἐν συνεδρίῳ τῷ Ἀχαιῶν, ἐθέλω δὲ καὶ ἐν αὐτοῖς Ῥωμαίοις ὑπέχειν κρίσιν. ὁ μὲν δὴ ὑπὸ συνειδότος ἐπαῤῥησιάζετο ἀγαθοῦ· ὁ δὲ ὑπελάβετο αὐτίκα ὁ Ῥωμαῖος τῆς προφάσεως, καὶ ὁπόσοις Καλλικράτης ἐπῆγεν αἰτίαν, Περσεῖ σφᾶς φρονῆσαι τὰ αὐτά, ἀνέπεμπεν ἐν δικαστηρίῳ κρίσιν τῷ Ῥωμαίων ὑφέξοντας· ὃ μή πω κατειλήφει πρότερον Ἕλληνας. οὔτε γὰρ Μακεδόνων οἱ ἰσχύσαντες μέγιστον, Φίλιππος Ἀμύντου καὶ Ἀλέξανδρος, τοὺς ἀνθρ-

11) οὕτως, ἔφη etc.] Haud male *Kuhn.* conjicit, ante οὔτως excidisse οὐχ, *non ita res se habet cum isto crimine.*

ἀνθεστηκότας σφίσιν Ἑλλήνων ἐς Μακεδονίαν ἐβιάσαντο ἀποσταλῆναι, διδόναι δὲ αὐτοὺς ἐν Ἀμφικτυόσιν εἴων λόγον. τότε δὲ ἐκ τοῦ Ἀχαιῶν ἔθνους, ὄντινα καὶ ἀναίτιον Καλλικράτης ἐθελήσειεν αἰτιάσασθαι, ἀνάγεσθαι πάντα τινὰ ἐκεκύρωτο ἐς Ῥώμην· καὶ ἐγένοντο ὑπὲρ χιλίους οἱ ἀναχθέντες. τούτους ὑπὸ Ἀχαιῶν οἱ Ῥωμαῖοι προκατεγνῶσθαι νομίζοντες, ἔς τε Τυρσηνίαν καὶ ἐς τὰς ἐκεῖ διέπεμψαν πόλεις, καὶ Ἀχαιῶν ἄλλοτε ἄλλας ὑπὲρ τῶν ἀνδρῶν πρεσβείας τε καὶ ἱκεσίας ἐπιπεμπόντων λόγον ἐποιοῦντο οὐδένα. ἑπτακαιδεκάτῳ δὲ ὕστερον ἔτει τριακοσίους ἢ καὶ ἐλάσσονας, οἳ μόνοι περὶ Ἰταλίαν Ἀχαιῶν ἔτι ἐλείποντο, ἀφιᾶσιν, ἀποχρώντως κολασθῆναι σφᾶς ἡγούμενοι. ὅσοι δὲ ἀποδράντες ᾤχοντο, ἢ εὐθὺς, ἡνίκα ἀνήγοντο ἐς Ῥώμην, ἢ ὕστερον ἐκ τῶν πόλεων, ἐς ἃς ὑπὸ Ῥωμαίων ἐπέμφθησαν, πρόφασις οὐδεμία ἦν, τούτους ἁλόντας μὴ ὑποσχεῖν δίκην.

## CAPUT XI.

Gallus a Romanis judex in Graeciam missus plures civitates a conventu Achaeorum disjungit — de Atheniensium et Oropiorum contentionibus — Achaei Oropiis opem ferre decernunt.

Ῥωμαῖοι δὲ αὖθις ἄνδρα ἐκ τῆς βουλῆς καταπέμπουσιν ἐς τὴν Ἑλλάδα. ὄνομα μὲν τῷ ἀνδρὶ ἦν Γάλλος, ἀπέσταλτο δὲ Λακεδαιμονίοις καὶ Ἀργείοις ὑπὲρ τῆς ἀμφισβητουμένης γῆς γενέσθαι δικαστής. οὗτος ὁ Γάλλος ἐς τὸ Ἑλληνικὸν πολλὰ μὲν εἶπε, πολλὰ δὲ καὶ ἔπραξεν ὑπερήφανα, Λακεδαιμονίους δὲ καὶ Ἀργείους τοπαράπαν ἔθετο ἐν χλευασίᾳ. πόλεσι γὰρ

ἐς τοσοῦτον ἡκούσαις [1]) ἀξιώματος, καὶ ὑπὲρ τῶν ὅρων τῆς χώρας τὰ μὲν παλαιότερα ἐς οὐκ ἀφανῆ πόλεμον καὶ ἔργα οὕτως ἀφειδῶς προαχθείσαις, κριθείσαις δὲ καὶ ὕστερον παρὰ δικαστῇ κοινῷ Φιλίππῳ τῷ Ἀμύντου, αὐτὸς μέν σφισιν [2]) ὁ Γάλλος ἀπηξίωσε δικαστὴς καταστῆναι· Καλλικράτει δὲ ἀπάσης τῆς Ἑλλάδος ἀνδρὶ ἀλάστορι ἐπιτρέπει τὴν κρίσιν. ἀφίκοντο δὲ ὡς τὸν Γάλλον καὶ Αἰτωλῶν οἱ Πλευρῶνα οἰκοῦντες, συντελείας τῆς ἐς Ἀχαιοὺς, ἐθέλοντες δὲ ἄφεσιν [3]) εὕρασθαι. καὶ αὐτοῖς ἐπετράπη μὲν ὑπὸ τοῦ Γάλλου, πρεσβείαν ὑπὸ σφῶν αὐτῶν ἰδίᾳ παρὰ Ῥωμαίους ἀποστεῖλαι, ἐπετράπη δὲ ὑπὸ Ῥωμαίων, συνεδρίου Ἀχαιῶν ἀποστῆναι. προεπεστάλη [4]) δὲ ὑπὸ τῆς βουλῆς τῷ Γάλλῳ, πόλεις ὁπόσας ἐστὶν οἷός τε ὡς πλείστας ἀφεῖσθαι συλλόγου τοῦ Ἀχαιῶν. ὁ μὲν δὴ τὰ ἐντεταλ-
2 μένα ἐποίει. Ἀθηναίων δὲ ὁ δῆμος ἀνάγκῃ πλέον ἢ ἑκουσίως διαρπάζουσιν Ὠρωπὸν ὑπήκοόν σφισιν οὖσαν· πενίας γὰρ ἐς τὸ ἔσχατον Ἀθηναῖοι τηνικαῦτα ἧκον, ἅτε ὑπὸ Μακεδόνων πολέμου πιεσθέντες μάλιστα Ἑλλήνων. καταφεύγουσιν οὖν ἐπὶ [5]) τὴν Ῥωμαίων βουλὴν οἱ Ὠρώπιοι· καὶ δόξαντες παθεῖν οὐ δίκαια, ἐπεστάλη

1) ἡκούσαις] Rescripsi, *Sylburgio* recte ita emendante, pro οἰκούσαις, quod nullo modo hic locum habere potest.

2) σφισιν] Non temere cum *Sylburgio* vulgatam φησὶν ita emendasse mihi videor, cum φησὶν, φασὶν et σφίσιν a librariis in Codd. sexcenties confusa deprehendi satis sit notum. Conf. not. 5. ad C. 24.

3) ἄφεσιν] sc. συντελείας τῆς ἐς Ἀχ. Sic paullo ante C. 9. καὶ συντελείας μὲν Λακεδαιμονίους ἐς τὸ Ἀχαϊκὸν οὐκ ἀφιᾶσι.

4) προεπεστάλη] *Sylburg.* et *Kuhn.* rectius προσεπεστάλη scribi monent.

5) ἐπὶ] Dedi ἐπὶ pro vitiose vulgata ὑπὸ, sententia ita postulante, et Stephano, qui v. Ὠρωπὸς hunc Pausaniae locum excitat, ἐπὶ exhibente. De Oropo vide supra L. I. C. 34. init.

ἐπεςάλη Σικυωνίοις ὑπὸ τῆς βουλῆς, ἐπιβαλεῖν σφᾶς
Ἀθηναίοις ἐς Ὠρωπίους ζημίαν κατὰ τῆς βλάβης,
ἧς ἦρξαν, τὴν ἀξίαν. Σικυώνιοι μὲν οὖν οὐκ ἀφικο-
μένοις ἐς καιρὸν τῆς κρίσεως Ἀθηναίοις ζημίαν πεντα-
κόσια τάλαντα ἐπιβάλλουσι· Ῥωμαίων δὲ ἡ βουλὴ
δεηθεῖσιν Ἀθηναίοις [6]) ἀφίησι, πλὴν ταλάντων ἑκα-
τὸν, τὴν ἄλλην ζημίαν. ἐξέτισαν δὲ οὐδὲ ταῦτα οἱ
Ἀθηναῖοι, ἀλλὰ ὑποσχέσεσι καὶ δώροις ὑπελθόντες
Ὠρωπίους, ὑπάγονται σφᾶς ἐς ὁμολογίαν, φρουράν
τε Ἀθηναίων ἐσελθεῖν ἐς Ὠρωπὸν, καὶ ὁμήρους λα-
βεῖν παρ' Ὠρωπίων Ἀθηναίους· ἢν δὲ αὖθις ἐς Ἀθη-
ναίους γένηται ἔγκλημα Ὠρωπίοις, τὴν φρουρὰν τότε
ἀπάγειν παρ' αὐτῶν Ἀθηναίους, ἀποδοῦναι δὲ καὶ
ὀπίσω τοὺς ὁμήρους. χρόνος τε δὴ οὐ πολὺς ὁ μεταξὺ
ἤνυςο, καὶ τῶν φρουρῶν ἀδικοῦσιν ἄνδρας Ὠρωπίους [7]):
οἱ μὲν δὴ ἐς τὰς Ἀθήνας ἀπέςελλον ὁμήρους τε ἀπαι-
τήσοντας, καὶ φρουράν σφισιν ἐξάγειν κατὰ τὰ
συγκείμενα ἐροῦντας. Ἀθηναῖοι δὲ οὐδέτερα ἔφα-
σαν ποιήσειν, ἀνθρώπων γὰρ ἐπὶ τῇ φρουρᾷ, καὶ οὐ
τοῦ Ἀθηναίων δήμου τὸ ἁμάρτημα εἶναι· τοὺς μέν
τοι αὐτὰ εἰργασμένους ἐπηγγέλλοντο ὑφέξειν δίκην.
Οἱ δὲ Ὠρώπιοι καταφεύγοντες ἐπὶ Ἀχαιοὺς [8]), τιμω- 3
ρῆσαί σφισιν ἐδέοντο: Ἀχαιοῖς δὲ ἤρεσκε μὴ τιμωρεῖν,
φιλίᾳ τε καὶ αἰδοῖ τῇ Ἀθηναίων. ἐνταῦθα οἱ Ὠρώ-



6) δεηθεῖσιν Ἀθην.] De legatis Atheniensium hanc ob causam Romam missis vide Kuhn. et Periz. ad Ael. Var. Hist. L. III. C. 17.

7) καὶ τῶν φρουρῶν ἀδ. ἄνδρας Ὠρ.] Sic ad voces τῶν φρουρ. paullo insolentius τινὲς supplendum esset. At *Sylb.* mavult scribere ἄνδρες pro ἄνδρας et jungere cum τῶν φρουρῶν.

8) καταφεύγοντες ἐπὶ Ἀχ. etc.] Uterque Cod. exhibet κατέφυγόν τε ἐπὶ Ἀχ. τιμωρῆσαί σφισιν, omissa voce ἐδέοντο:

πιοι Μεναλκίδα, Λακεδαιμονίῳ μὲν γένος, στρατηγοῦντι δὲ ἐν τῷ τότε Ἀχαιῶν, ὑπισχνοῦνται δέκα ταλάντων δόσιν, ἥν σφισιν ἐπικουρεῖν Ἀχαιοὺς ἄγῃ· ὁ δὲ ἀπὸ τῶν χρημάτων μεταδώσειν Καλλικράτει τὸ ἥμισυ ὑπισχνεῖτο, ἰσχύοντι διὰ φιλίαν τὴν Ῥωμαίων ἐν Ἀχαιοῖς μέγιστον. προσγενομένου δὲ τοῦ Καλλικράτους πρὸς τὴν Μεναλκίδου γνώμην, ἐκεκύρωτο κατὰ Ἀθηναίων ἀμύνειν Ὠρωπίοις· καί τις ἐξαγγέλλει ταῦτα ἐς τοὺς Ἀθηναίους. οἱ δὲ, ὡς ἕκαστος τάχους εἶχεν, ἐς τὸν Ὠρωπὸν ἐλθόντες, καὶ αὖθις κατασύραντες, εἴ τι ἐν ταῖς προτέραις σφίσιν ἁρπαγαῖς παρεῖτο, ἀπάγουσι τὴν φρουράν. Ἀχαιοὺς δὲ ὑστερήσαντας τῆς βοηθείας Μεναλκίδας μὲν καὶ Καλλικράτης ἐσβάλλειν ἐς τὴν Ἀττικὴν ἔπειθον· ἀνθισταμένων δὲ ἄλλων τε αὐτοῖς καὶ οὐχ ἥκιστα τῶν ἐκ Λακεδαίμονος, ἀνεχώρησεν [9]) ὀπίσω τὸ στράτευμα.

## CAPUT XII.

Menalcidas Lacedaemonius perfidia ſuperat Callicratem — Diaei fraude bellum inter Lacedaemonios et Achaeos conflatur, ad quod componendum ſenatus Romanorum legatos mittit.

Ὠρώπιοι δὲ, καὶ ὠφελείας σφίσιν οὐ γενομένης τῆς παρ' Ἀχαιῶν, ὅμως ὑπὸ Μεναλκίδα τὰ χρήματα ἐξεπράχθησαν. ὁ δὲ ὡς τὸ δωροδόκημα εἶχεν ἐν χειρὶ, ἐποιεῖτο συμφορὰν [1]), εἰ καὶ Καλλικράτει μεταδώσει

9) ἀνεχώρησεν] Uterque Cod. ἀναχωρῆσαι, qui infinitivus a voce ἔπειθον pendere debe-ret.

1) ἐν χειρὶ, ἐποιεῖτο συμφορὰν] Cod. Vind. ἐν χερσί. Verba ἐπ. συμφορ. interpretanda: *detrimentum ſibi eſſe duxit.*

δώσει τῶν λημμάτων. τὰ μὲν δὴ πρῶτα ἀναβολαῖς καὶ ἀπάταις ἐχρῆτο ἐς τὴν δόσιν· μετὰ δὲ οὐ πολὺ ἐτόλμησεν ἀποστερεῖν ἐκ τοῦ εὐθέως [2]). βεβαιοῖ δὴ τὸ λεγόμενον·

Ὡς ἄρα ἦν καὶ πῦρ ἐς πλέον ἄλλου πυρὸς καῖον [3]),
Καὶ λύκος ἀγριώτερος λύκων ἄλλων,
Καὶ ὠκύτερος ἱέραξ ἱέρακος πέτεσθαι·
Εἴγε καὶ Καλλικράτην ἀνοσιώτατον τῶν τότε
Μεναλκίδας μὲν ὑπερῆρεν ἀπιστίᾳ, Καλλικράτην,

ὃς ἐλάσσων παντοίου λήμματος, καὶ ἐπὶ οὐδενὶ οἰκείῳ κέρδει πόλει τῇ Ἀθηναίων ἀπηχθημένος, παυσάμενον μὲν τῆς ἀρχῆς Μεναλκίδαν ἐδίωκεν ἐν τοῖς Ἀχαιοῖς θανάτου δίκην· πρεσβεῦσαί τε γὰρ Ἀχαιῶν ἐναντία ἔφασκεν αὐτὸν ἐς Ῥώμην, καὶ ἐς τὰ μάλιστα γενέσθαι πρόθυμον ἐξελέσθαι τὴν Σπάρτην συνεδρίου τοῦ Ἀχαιῶν. ἐνταῦθα ὡς ἀφικνεῖτο ἐς πᾶν ὁ Μεναλκίδας κινδύνου, μεταδίδωσι τάλαντα τρία τῷ ἐξ Ὠρωποῦ [4]) Μεγαλοπολίτῃ Διαίῳ. ἐγεγόνει δὲ αὐτῷ καὶ ἀρχῆς διάδοχος τῆς Ἀχαιῶν ὁ Δίαιος· τότε δὲ ὑπὲρ τοῦ λήμματος προθυμούμενος, ἔμελλε Μεναλκίδᾳ



2) ἐκ τοῦ εὐθέως] Haec dictio idem denotare videtur, quod alibi in Pausania ἐκ τοῦ φανεροῦ, ἐκ τοῦ ἐμφανοῦς, *aperte, palam*; quare *Sylb.* scribere mavult εὐθέος per ο. Sed adverbium εὐθέως hic non minus locum habere potest, uti *Kuhn.* recte monet. Eadem dictio est C. 14. prope finem.

3) Ὡς ἄρα ἦν — καῖον] Rescripsi ἄρα pro perperam vulgato ἀλλ' ex Codice Vind., aliis quoque hanc proverbialem locutionem cum ἄρα exhibentibus. Sic Suidas: ἦν ἄρα καὶ πυρὸς θερμότερα — ἐπὶ τῶν καθ' ὑπερβολὴν γινομένων, ubi vid. not.

4) τῷ ἐξ Ὠρωποῦ] *Sylb.* bene emendat τῶν ἐξ Ὠρ., scil. ταλάντων, *de pecunia, quam ab Oropiis acceperat.*

καὶ ἀκόντων Ἀχαιῶν σωτηρίαν παρέξειν. Ἀχαιοὶ δὲ ἐπὶ μὲν τῇ ἀφέσει τοῦ Μεναλκίδα ἰδίᾳ τε ἕκαστος
2 καὶ ἐν κοινῷ Δίαιον ἐποιοῦντο ἐν αἰτίᾳ. Δίαιος δὲ σφᾶς ἀπὸ τῶν ἐς αὐτὸν ἐγκλημάτων μετῆγεν ἐς πραγμάτων ἐλπίδα μειζόνων, προφάσει χρώμενος τοιᾷδε ἐς τὴν ἀπάτην. Λακεδαιμόνιοι περὶ ἀμφισβητησίμου χώρας καταφεύγουσιν ἐπὶ τὴν Ῥωμαίων βουλήν. καταφεύγουσι δὲ αὐτοῖς προεῖπεν ἡ βουλή, δικάζεσθαι τὰ ἄλλα, πλὴν ψυχῆς, ἐν συνεδρίῳ τῶν Ἀχαιῶν. οἱ μὲν δὴ ταῦτα ἀπεκρίναντο· Δίαιος δὲ οὐ τὸν ὄντα ἔλεγεν Ἀχαιοῖς λόγον, ψυχαγωγῶν δὲ αὐτοὺς ἔφασκε παρὰ τῆς Ῥωμαίων σφίσιν ἐφεῖσθαι βουλῆς, καὶ θάνατον ἀνδρὸς καταγνῶναι τῶν ἐκ Σπάρτης. οἱ μὲν δὴ δικάζειν Λακεδαιμονίοις ἠξίουν καὶ ὑπὲρ τῆς ἑκάστου ψυχῆς. Λακεδαιμόνιοι δὲ οὔτε ἀληθῆ συνεχώρουν Δίαιον λέγειν, καὶ ἀνάγειν ἤθελον ἐπὶ τὴν Ῥωμαίων βουλήν. Ἀχαιοὶ δὲ ἀντελαμβάνοντο αὖθις ἄλλου λόγου, πόλεις ὅσαι τελοῦσιν ἐς Ἀχαιούς, μηδεμίαν⁵) ἐφ᾽ ἑαυτῆς καθεστηκέναι κυρίαν, ἄνευ τοῦ κοινοῦ τῶν Ἀχαιῶν, παρὰ Ῥωμαίους ἰδίᾳ πρεσβείαν ἀποστέλλειν. Πόλεμός τε δὴ ἀπὸ τῶν ἀμφισβητημάτων τούτων Ἀχαιοῖς καὶ Λακεδαιμονίοις ἦρχετο, καὶ Λακεδαιμόνιοι συνιέντες, οὐκ ἀξιόμαχοι πρὸς Ἀχαιοὺς εἶναι, πρεσβείαις ἐχρῶντο πρὸς τὰς πόλεις αὐτῶν, καὶ ἰδίᾳ πρὸς τὸν Δίαιον λόγοις. αἱ μὲν δὴ κατὰ τὰ αὐτὰ αἱ πόλεις ἐποιοῦντο τὰς ἀποκρίσεις, οὔ σφισιν ἔξοδον ἐπαγγέλλοντος στρατηγοῦ παρακούειν εἶναι νόμον. Δίαιος γὰρ ἦρχε τῶν Ἀχαιῶν, καὶ ἔφασκεν

οὐ

5) πόλεις ὅσαι τελ. ἐς Ἀχ., μηδεμίαν] Ex immutata constructionis ratione haec dicta pro πόλεων, ὅσαι —, μηδεμίαν etc.

οὐ τῇ Σπάρτῃ, τοῖς δὲ ταράσσουσιν αὐτὴν πολεμήσειν ἀφίξεσθαι. ἐρομένων δὲ τῶν γερόντων, ὁπόσους ἡγοῖτο ἀδικεῖν, ἐσπέμπει σφίσι τεσσάρων ὀνόματα ἀνδρῶν καὶ εἴκοσι πρωτευόντων τὰ πάντα ἐν Σπάρτῃ. ἐνταῦθα Ἀγασισθένους ἐνίκησε γνώμη δοκίμου καὶ τὰ πρότερον ὄντος, ἀπὸ δὲ τῆς παραινέσεως ταύτης προελθόντος καὶ ἐς πλέον δόξης· ὃς τοὺς ἄνδρας τούτους ἐκέλευσεν ἐκ Λακεδαίμονος ἐθελοντὰς φεύγειν, μηδὲ αὐτοῦ μένοντας ἐργάσασθαι τῇ Σπάρτῃ πόλεμον· φυγόντας δὲ ἐς Ῥώμην, καταχθήσεσθαι σφᾶς οὐ μετὰ πολὺ ἔφασκεν ὑπὸ Ῥωμαίων. καὶ οἱ μὲν ἀπελθόντες ὑπήγοντο ὑπὸ Σπαρτιατῶν ἐς δικαστήριον τῷ λόγῳ [6]), καὶ ἀποθανεῖν ἦσαν κατεγνωσμένοι. ἀπεστάλησαν δὲ καὶ ὑπὸ Ἀχαιῶν Καλλικράτης ἐς Ῥώμην καὶ Δίαιος, τοῖς φεύγουσιν ἐκ Σπάρτης ἀντιδικήσοντες ἐπὶ τῆς βουλῆς. καὶ αὐτῶν ὁ μὲν κατὰ τὴν Ῥόδον Καλλικράτης τελευτᾷ νόσῳ· οὐδὲ οἶδα, εἰ ἀφικόμενος ἐς Ῥώμην ὠφέλησεν ἄν τι Ἀχαιούς, ἢ κακῶν σφισιν ἐγένετο μειζόνων ἀρχή. Δίαιος δὲ ἐς ἀντιλογίαν Μεναλκίδᾳ καταστὰς ἐπὶ τῆς βουλῆς, πολλὰ μὲν εἶπε, τὰ δὲ ἤκουσεν οὐ σὺν κόσμῳ. καί σφισιν ἀπεκρίνατο ἡ βουλὴ, ἀποστέλλειν πρέσβεις, οἳ κρινοῦσιν, ὅσα Λακεδαιμονίοις καὶ Ἀχαιοῖς διάφορα ἦν ἐς ἀλλήλους. καὶ τοῖς ἐκ Ῥώμης πρέσβεσι σχολαιότερα πως ἐγίνετο ἡ ὁδός· ὥστ' ἐξαπατᾶν ὑπῆρχεν ἐξ ἀρχῆς Διαίῳ τε Ἀχαιοὺς καὶ Μεναλκίδᾳ Λακεδαιμονίους. τοὺς μὲν δὴ παρῆγεν ὁ Δίαιος, ὡς τὰ πάντα ἕπεσθαι Λακεδαιμόνιοι σφίσιν ὑπὸ τῆς Ῥωμαίων βουλῆς [7])

S 4 εἰσιν

6) τῷ λόγῳ] *per speciem*, uti alias opponitur τῷ ἔργῳ.

7) ὑπὸ τῆς Ῥωμ. β.] Mallem ἀπὸ pro ὑπό. De permutatione harum praepositionum vide supra not. 10. ad L. I. C. 21.

εἰσιν ἐγνωσμένοι. Λακεδαιμονίους δὲ ὁ Μεναλκίδας ἠπάτα, παντελῶς τοῦ συνεδρεύειν ἐς τὸ Ἀχαϊκὸν ὑπὸ Ῥωμαίων αὐτοὺς ἀπηλλάχθαι.

## CAPUT XIII.

Achaei exercitum conſcribunt contra Spartam Damocrito duce — Lacedaemonii pugnam conſerunt cum Achaeis et fugantur — Damocritus proditionis accuſatus aufugit — Diaei, ducis Achaeorum, callidum facinus in Lacedaemonios — Menalcidas, dux Lacedaemoniorum, urbe Iaſo capta, odium civium incurrit et vitam veneno finit.

Αὖθις οὖν ἐκ τῶν ἀντιλογιῶν Λακεδαιμονίοις ὥρμηντο Ἀχαιοὶ πολεμεῖν, καὶ στρατὸς ἐπὶ τὴν Σπάρτην ἠθροίζετο ὑπὸ Δαμοκρίτου στρατηγεῖν τηνικαῦτα Ἀχαιῶν ᾑρημένου. περὶ δὲ τὸν αὐτὸν χρόνον τοῦτον ἀφίκετο ἐς Μακεδονίαν στρατιά τε Ῥωμαίων, καὶ ἡγεμὼν ἐπ' αὐτῇ Μέτελλος, Ἀνδρίσκῳ τῷ Περσέως τοῦ Φιλίππου πολεμήσοντες ἀφεστηκότι ἀπὸ Ῥωμαίων. καὶ ὁ μὲν ἐν Μακεδονίᾳ πόλεμος ἔμελλεν ὡς ῥᾷστα κατὰ τὸ ἐπιτηδειότατον Ῥωμαίοις κριθήσεσθαι. Μέτελλος δὲ ἄνδρας ὑπὸ τῆς Ῥωμαίων ἀπεσταλμένους βουλῆς ἐπὶ τὰ ἐν τῇ Ἀσίᾳ πράγματα ἐκέλευε, πρὶν ἢ ἐς τὴν Ἀσίαν διαβῆναι, τοῖς ἡγεμόσιν αὐτοὺς τοῖς Ἀχαιῶν ἐς λόγους ἐλθεῖν, ὅπλα μὲν ἐπὶ τὴν Σπάρτην μὴ ἐπιφέρειν σφίσιν ἀπαγορεύσοντας, τὴν δὲ ἐκ Ῥώμης παρουσίαν τῶν ἀνδρῶν προερεῦντας [1]) μένειν, οἳ κατὰ τοῦτο

1) προερεῦντας] *denuntiaturos, indicturos.* Vulgatum fuit προσερεῦντας, pro quo illud repoſui latens in Codicis Vind. mendoſa lectione προαιρεῦντας. *Sylb.* et *Kuhn.* jam ita

τοῦτο ἦσαν ἀπεσταλμένοι Λακεδαιμονίοις δικασταὶ καὶ
Ἀχαιοῖς γενέσθαι. οἱ μὲν δὴ τὰ ἐντεταλμένα Δαμο-
κρίτῳ καὶ Ἀχαιοῖς ἐπήγγελλον, ἐφθακόσιν ἔξοδον
ἐπὶ Λακεδαίμονα πεποιῆσθαι, καὶ (ἑώρων γὰρ τὰ
πρὸς τὴν παραίνεσιν ἀνθεστηκότα Ἀχαιῶν) ἀπηλλάσ-
σοντο ἐς τὴν Ἀσίαν. Λακεδαιμόνιοι δὲ ὑπὸ φρονήμα- 2
τος μᾶλλον ἢ ἰσχύος ἔλαβον μὲν τὰ ὅπλα, καὶ
ἐπεξῆλθον, τῇ οἰκείᾳ ἀμυνοῦντες [2]) · βιασθέντες δὲ
οὐ μετὰ πολὺ, ὅσον μὲν ἐς χιλίους οἱ ἡλικίᾳ μάλιστα
αὐτῶν καὶ τόλμαις ἀκμάζοντες πίπτουσιν ἐν τῇ μάχῃ,
τὸ δὲ ἄλλο στρατιωτικὸν, ὡς ἕκαστος τάχους εἶχεν,
ἔφευγον πρὸς τὴν πόλιν. εἰ δὲ ὁ Δαμόκριτος προ-
θυμίαν ἐποιήσατο, τοῖς φεύγουσιν ἐκ τῆς παρα-
τάξεως ὁμοῦ καὶ Ἀχαιοῖς ἐσδραμεῖν ὑπῆρξεν ἂν ἐς
τὸ τεῖχος τῆς Σπάρτης. νῦν δὲ αὐτίκα τε ἀνεκάλεσεν
ἀπὸ τῆς διώξεως τοὺς Ἀχαιοὺς, καὶ ἐχρῆτο καὶ ἐς τὸ
ἔπειτα καταδρομαῖς μᾶλλον καὶ ἁρπαγαῖς ἐκ τῆς
χώρας, ἢ συντόνῳ πολιορκίᾳ [3]). Δαμοκρίτῳ μὲν οὖν 3
ἀπαγαγόντι ὀπίσω τὴν στρατιὰν ἐπιβάλλουσιν οἱ
Ἀχαιοὶ ζημίαν πεντήκοντα ἅτε ἀνδρὶ προδότῃ τά-
λαντα· καὶ (οὐ γὰρ εἶχεν ἐκτῖσαι) φεύγων ᾤχετο ἐκ
Πελοποννήσου. Δίαιος δὲ, Ἀχαιῶν μετὰ Δαμόκριτον 4
στρατηγεῖν ᾑρημένος, ἀποστείλαντι αὖθις Μετέλλῳ
πρέσβεις, ὡμολόγησε μηδένα ἐπάξειν Λακεδαιμονίοις
πόλεμον, ἀλλὰ, ἔς τ' ἂν ἥκωσιν ἐκ Ῥώμης, ἀναμέ-
νειν τοὺς διαλλακτάς. στρατήγημα δὲ ἄλλο ἐς τοὺς
Λακεδαιμονίους παρεῦρε τοιόνδε. τὰ ἐν κύκλῳ τῆς



ita scribendum esse conjecerant. De significatu vocis προερεῖν vid. supra not. 2. ad L. IV. C. 11.

2) τῇ οἰκείᾳ ἀμυν.] *patriam defensuri*; vid. supra not. 10. ad L. IV. C. 6.

3) συντόνῳ πολ.] Cod. Mosc. συντόμῳ πολ.

Σπάρτης πολίσματα ἐς τὴν Ἀχαιῶν ὑπηγάγετο [4]) εὔνοιαν· ἐσήγαγε δὲ ἐς αὐτὰ καὶ φρουράς, ὁρμητήρια ἐπὶ τὴν Σπάρτην Ἀχαιοῖς εἶναι. Μεναλκίδας δὲ ᾕρητο μὲν ὑπὸ Λακεδαιμονίων ἐναντία Διαίῳ στρατηγεῖν· ἐχόντων δὲ αὐτῶν ἔς τε τὴν πᾶσαν πολέμου παρασκευὴν καὶ οὐχ ἥκιστα τοῖς χρήμασιν ἀσθενῶς, πρὸς δὲ καὶ τῆς γῆς σφισιν ἀσπόρου μεμενηκυίας, ὅμως τὰς σπονδὰς ὑπερβῆναι πείθει, καὶ πόλισμα Ἴασον ἑλὼν ἐξ ἐπιδρομῆς ἐπόρθησεν, ἐν ὅροις [5]) μὲν χώρας τῆς Λακωνικῆς, Ἀχαιῶν δὲ ἐν τῷ τότε ὑπήκοον. ἐξεγείρας δὲ αὖθις Λακεδαιμονίοις καὶ Ἀχαιοῖς πόλεμον, ἐν ἐγκλήμασί τε ἦν ὑπὸ τῶν πολιτῶν, καὶ (οὐ γάρ τινα ἐκ τοῦ προσδοκωμένου κινδύνου Λακεδαιμονίοις σωτηρίαν ηὕρισκεν) ἀφίησιν ἑκουσίως τὴν ψυχὴν πιὼν φάρμακον. καὶ Μεναλκίδᾳ μὲν τέλος τοιοῦτον ἐγένετο, ἄρξαντι ἐν τῷ ἑαυτοῦ νῷ [6]), τότε μὲν Λακεδαιμονίων, ὡς ἂν ὁ ἀμαθέστατος στρατηγός, πρότερον δὲ ἔτι τοῦ Ἀχαιῶν ἔθνους, ὡς ἂν ἀνθρώπων ὁ ἀδικώτατος.

4) ὑπηγάγετο] Cod. Mosc. ἐπηγάγετο.

5) ἐν ὅροις] ἐν, quod in vulgatis a praecedenti syllaba absorptum exciderat, restitui, *Kuhnio* consentiente.

6) ἐν τῷ ἑαυτοῦ νῷ] Corruptam esse voculam νῷ, vix commemorare opus est. *Kuhn.* emendat χρόνῳ. Sed num quo alio tempore imperare potuit, quam suo? Forte legere praestet ἔθνει.

CAPUT

## CAPUT XIV.

Ex legatis Romanis Oreſtes Achaeis ſenatus mandata denuntiat — Achaei his permoti Spartanos Corinthi degentes hoſtiliter comprehendunt — Critolaus, Achaeorum dux, Romanis bellum inferre cupiens eorum legatos eludit — Critolaus et Pytheas ſollicitant Achaeos ad bellum contra Spartam et Romanos ſuscipiendum — Romani Mummium conſulem contra Achaeos mittunt.

Ἀφίκοντο δὲ ἐς τὴν Ἑλλάδα καὶ οἱ ἀποσταλέντες ἐκ Ῥώμης Λακεδαιμονίοις δικασταὶ καὶ Ἀχαιοῖς γενέσθαι, ἄλλοι τε καὶ Ὀρέστης· τούς τε ἐν ἑκάστῃ πόλει τῶν Ἀχαιῶν ἔχοντας τὰς ἀρχὰς καὶ Δίαιον ἐκάλει παρ' αὐτόν. ἀφικομένοις δὲ, ἔνθα ἔτυχεν αὐτὸς ἐσῳκισμένος, ἀπεγύμνου τὸν πάντα σφίσιν ἤδη λόγον, ὡς δίκαια ἡγοῖτο ἡ Ῥωμαίων βουλὴ, μήτε Λακεδαιμονίους τελεῖν ἐς τὸ Ἀχαϊκὸν, μήτε αὐτὴν Κόρινθον, ἀφεῖσθαι δὲ καὶ Ἄργος καὶ Ἡράκλειαν τὴν πρὸς Οἴτῃ καὶ Ὀρχομενίους Ἀρκάδας [1]) συνεδρίου τοῦ Ἀχαιῶν· γένους τε γὰρ αὐτοῖς οὐδὲν τοῦ Ἀχαιῶν μετεῖναι, καὶ ὕστερον τὰς πόλεις προσχωρῆσαι ταύτας πρὸς τὸ Ἀχαϊκόν. Ταῦτα Ὀρέστου λέγοντος, οἱ ἄρχοντες τῶν Ἀχαιῶν, 2 οὐδὲ τὸν πάντα ὑπομείναντες ἀκοῦσαι λόγον, ἔθεον ἐς τὸ ἐκτὸς τῆς οἰκίας, καὶ ἐκάλουν Ἀχαιοὺς ἐς ἐκκλησίαν. οἱ δὲ ὡς τὰ ἐγνωσμένα ἐπύθοντο ὑπὸ Ῥωμαίων, αὐτίκα ἐτρέποντο ἐπὶ τοὺς Σπαρτιάτας, οἳ Κορίνθῳ ἔτυχον τότε ἐπιδημοῦντες· συνήρπαζον δὲ πάντα τινὰ, καὶ ὃν Λακεδαιμόνιον σαφῶς ὄντα ἠπίσταντο, καὶ ὅτῳ κουρᾶς ἢ ὑποδημάτων εἵνεκα, ἢ ἐπὶ τῇ ἐσθῆτι, ἢ

1) Ὀρχομ. Ἀρκάδας] De his vide L. IX. C. 36. prope finem.

ἢ κατ' ὄνομα προσγένοιτο ὑπόνοια· τοὺς δὲ αὐτῶν καὶ καταφυγεῖν, ἔνθα Ὀρέστης ᾤκει, φθάνοντας[2]), ὅμως καὶ ἐντεῦθεν ἐβιάζοντο ἕλκειν. Ὀρέστης δὲ καὶ οἱ σὺν αὐτῷ τῆς τε τόλμης ἐπέχειν τοὺς Ἀχαιοὺς ἐπειρῶντο, καὶ ἐκέλευον μεμνῆσθαι σφᾶς, ὡς ἀδικημάτων καὶ ὕβρεως ἄρχουσιν ἐς Ῥωμαίους. ἡμέραις δὲ ὕστερον οὐ πολλαῖς οἱ Ἀχαιοὶ Λακεδαιμονίων μὲν αὐτῶν, ὅσους εἶχον συνειληφότες, κατατίθενται σφᾶς ἐς δεσμωτήριον, τοὺς ξένους δὲ ἀπ' αὐτῶν διακρίνοντες ἠφίεσαν. ἀποστέλλουσι δὲ καὶ ἐς Ῥώμην ἄλλους τε Ἀχαιῶν τῶν ἐν τέλει καὶ Θερίδαν· ὡς δὲ ἀπέλθοιεν, ἐντυχόντες κατὰ τὴν ἄνοδον Ῥωμαίων πρέσβεσιν ἐπὶ τὰ Λακεδαιμονίων καὶ Ἀχαιῶν ὕστερον ἢ Ὀρέστης ἀπεσταλμένοις, ὀπίσω καὶ αὐτοὶ τρέπονται. Διαίῳ δὲ ἐξήκοντος τοῦ χρόνου τῆς ἀρχῆς, στρατηγεῖν ὑπὸ Ἀχαιῶν ἡρέθη
3 Κριτόλαος. Τοῦτον δριμὺς καὶ σὺν οὐδενὶ λογισμῷ τὸν Κριτόλαον πολεμεῖν πρὸς Ῥωμαίους ἔρως ἔσχε· καὶ (ἔτυχον γάρ ποτε ἤδη οἱ παρὰ Ῥωμαίων ἥκοντες τὰ Λακεδαιμονίων καὶ Ἀχαιῶν δικάσαι) ἀφίκετο μὲν ἐν Τεγέᾳ τῇ Ἀρκάδων τοῖς ἀνδράσιν ἐς λόγους ὁ Κριτόλαος, ἀθροῖσαι δὲ Ἀχαιούς σφισιν ἐς κοινὸν σύλλογον οὐδαμῶς ἤθελεν· ἀλλὰ ἐς μὲν ἐπήκοον τῶν Ῥωμαίων ἔπεμπεν ἀγγέλους κελεύων τοὺς συνέδρους καλεῖν ἐς τὸ Ἀχαϊκόν, ἰδίᾳ δὲ τοῖς συνέδροις ἐπέστελλεν ἐς τὰς πόλεις ἀπολείπεσθαι σφᾶς τοῦ συλλόγου. ὡς δὲ οὐκ ἀφίκοντο οἱ συνεδρεύσοντες, ἐνταῦθα ὁ Κριτόλαος μάλιστα ἐπεδείκνυτο ἀπάτῃ πρὸς Ῥωμαίους χρώμενος, ὃς ἄλλην ἐκέλευεν ἀναμένειν αὐτοὺς Ἀχαιῶν σύνοδον, ἐς μῆνα ἐσομένην ἕκτον, αὐτὸς δὲ οὐδὲν ἰδίᾳ δια-

2) φθάνοντας] Jam *Sylb.* ita recte monuit, et Cod. Mosc. pro φθάνοντες emendandum esse illud firmavit.

διαλέξεσθαί σφισιν ἄνευ τοῦ κοινοῦ τοῦ Ἀχαιῶν
ἔφασκε. καὶ οἱ μὲν ἐπεὶ ἀπατώμενοι συνῆκαν, ἀπηλ-
λάσσοντο ἐς Ῥώμην. Κριτόλαος δὲ ἐς Κόρινθον 4
Ἀχαιοὺς ἀθροίσας, ἀνέπεισε μὲν ἐπιφέρειν ὅπλα ἐπὶ
τὴν Σπάρτην, ἀνέπεισε δὲ καὶ Ῥωμαίοις ἐκ τοῦ εὐθέως
πόλεμον ἄρασθαι. τὸ μὲν δὴ ἄνδρα βασιλέα καὶ
πόλιν ἀνελέσθαι πόλεμον καὶ μὴ εὐτυχῆσαι, συνέβη
φθόνῳ μᾶλλον ἐκ τοῦ δαιμόνων [3]), ἢ τοῖς πολεμήσασι
ποιεῖται ἔγκλημα· θρασύτης δὲ ἡ μετὰ ἀσθενείας
μανία μᾶλλον ἢ ἀτυχία καλοῖτο. ὃ δὴ καὶ Κριτόλαον
καὶ Ἀχαιοὺς ἔβλαψε. παρώξυνε δὲ καὶ Ἀχαιοὺς
Πυθέας βοιωταρχῶν τηνικαῦτα ἐν Θήβαις, καὶ οἱ Θη-
βαῖοι συνεπιλήψεσθαι προθύμως εἰσηγγέλλοντο τοῦ
πολέμου. ἑαλώκεσαν δὲ οἱ Θηβαῖοι δίκην Μετέλλου
δικάζοντος, Φωκεῦσιν ἐκτίσαι ζημίαν πρώτην, ὅτι
ἐσέβαλον σὺν ὅπλοις ἐς γῆν τὴν Φωκίδα· δευτέραν δὲ
Εὐβοεῦσιν· ἐδῄωσαν γὰρ καὶ Εὐβοέων τὴν χώραν·
τρίτην δὲ Ἀμφισσεῦσι, τεμόντες καὶ τὴν Ἀμφισσέων
περὶ ἀκμὴν σίτου.

Ῥωμαῖοι δὲ παρά τε τῶν ἀνδρῶν διδαχθέντες, 5
οὓς ἐς τὴν Ἑλλάδα ἀπέστειλαν, καὶ ἐκ τῶν γραμμά-
των, ἃ Μέτελλος ἐπέστελλεν, ἀδικεῖν Ἀχαιῶν κατέγνω-
σαν· καὶ (ἦν γὰρ Μόμμιός σφισιν ὕπατος τότε ᾑρη-
μένος) τοῦτον ναῦς τε καὶ στρατιὰν πεζὴν ἐκέλευον ἐπ'
Ἀχαιοὺς ἄγειν.

3) σ. φθόνῳ μ. ἐκ τοῦ δαιμόνων] Forte praeſtet ſcribere σ. φθ. μ. ἐκ τῶν δαιμ. Totius vero loci ſententia haec eſt: *regem quidem vel civitatem aliquam ſuſcepto bello male rem gerere, fortunae potius malignitate accidere, quam bellantibus crimini dari ſolet; audacia autem* etc.

CAPUT

## CAPUT XV.

Metellus Achaeis veniae et pacis conditiones fert — Critolaus et Achaei, illis repudiatis, bellum capessunt — Achaei praelio superantur et Critolaus perit — Diaeus, Achaeorum dux, bellum continuat — Metellus Thebas et Megaram capit.

Μέτελλος δὲ παραυτίκα ἐπέπυστο, ὡς Μόμμιος καὶ ὁ σὺν αὐτῷ ςρατὸς ἐπὶ Ἀχαιοὺς ἀφίκοιτο, καὶ ἐποιεῖτο σπουδὴν ἐπιθεὶς αὐτὸς πέρας τῷ πολέμῳ φανῆναι, πρὶν ἢ Μόμμιον ἐς τὴν Ἑλλάδα ἀφῖχθαι. ἀγγέλους οὖν παρὰ τοὺς Ἀχαιοὺς ἀπέςελλεν, ἀφιέναι κελεύων τῆς πρὸς [1]) σφᾶς συντελείας Λακεδαιμονίους, καὶ πόλεις ἄλλας, ὁπόσαι ἤρηντο τὰ Ῥωμαίων, τῆς τε ἐκ τοῦ χρόνου τοῦ προτέρου σφίσιν ἀπειθίας οὐδεμίαν παρὰ Ῥωμαίων ὑπισχνεῖτο ὀργὴν γενήσεσθαι. ἅμα τε δὴ ταῦτα ἐπεκηρυκεύετο, καὶ ἤλαυνεν ἐς Μακεδονίαν τὸν ςρατὸν διὰ Θεσσαλίας τὴν πορείαν καὶ παρὰ τὸν Λαμιακὸν ποιούμενος κόλπον [2]). Κριτόλαος δὲ καὶ Ἀχαιοὶ λόγον μὲν φέροντα ἐς σύμβασιν προσίεντο οὐδένα, Ἡράκλειαν δὲ προσεκάθηντο πολιορκοῦντες οὐ βουλομένους ἐς τὸ Ἀχαϊκὸν συντελεῖν. τότε δὲ ὡς παρὰ τῶν κατασκόπων ἐπυνθάνετο ὁ Κριτόλαος, Μέτελλόν καὶ Ῥωμαίους διαβεβηκέναι τὸν Σπερχειὸν, ἀπέφευγεν ἐς Σκάρφειαν τὴν Λοκρῶν, οὐδὲ κατὰ τὸ ςενὸν τὸ Ἡρακλείας τε μεταξὺ καὶ Θερμοπυλῶν τοὺς Ἀχαιοὺς τάξας ἐτόλμησεν ὑπομεῖναι Μέτελλον· ἀλλὰ ἐς τοῦτο ἀφίκετο δείμα-

1) τῆς πρὸς] Haec in utroque Codice desunt.

2) τὸν Λαμιακὸν — κόλπον] *Sylb.* mavult scribere Μαλιακόν. Sed vide not. 4. ad L. I. C. 4.

δείματος, ὡς μηδὲ αὐτὸ ποιήσασθαι τὸ χωρίον πρὸς
ἀμείνονος ἐλπίδος, ἔνθα ἦν μὲν Λακεδαιμονίοις ὑπὲρ
τῶν Ἑλλήνων τὰ ἐς Μήδους, ἦν δὲ καὶ Ἀθηναίοις τὰ
ἐς Γαλάτας οὐδὲν ἀφανέστερα ἐκείνων τολμήματα.
Ὑποφεύγοντας δὲ Κριτόλαον καὶ Ἀχαιοὺς αἱροῦσιν 3
ὀλίγον πρὸ τῆς Σκαρφείας οἱ ὁμοῦ τῷ Μετέλλῳ, καὶ
ἀποκτείναντες πλήθει πολλούς, ἔλαβον καὶ ζῶντας
ὅσον χιλίους. Κριτόλαος δὲ οὔτε ὤφθη ζῶν μετὰ
τὴν μάχην, οὔτε ἐν τοῖς νεκροῖς εὑρέθη· εἰ δὲ ἐτόλ-
μησε τῆς πρὸς τῇ Οἴτῃ θαλάσσης ἐς ταύτης κατα-
δῦναι τὸ τέλμα, παντάπασιν ἔμελλεν ἄγνωστός τε
καὶ ἄπυστος οἰχήσεσθαι κατὰ τοῦ βυθοῦ. ἐς μὲν
οὖν τὴν Κριτολάου τελευτὴν καὶ ἄλλα πάρεστιν εἰκά-
ζειν. Ἀρκάδων δὲ ἐξεστρατευμένοι λογάδες χίλιοι,
οἳ Κριτολάῳ τοῦ ἔργου [3]) μετέσχον, προῆλθον μὲν
ἄχρις Ἐλατείας τῆς Φωκέων, καὶ ἐς τὴν πόλιν ὑπ᾽
αὐτῶν κατὰ συγγένειαν δή τινα παλαιὰν ἐδέχθησαν.
ὡς δὲ τοῖς Φωκεῦσιν ἡ Κριτολάου συμφορὰ καὶ
Ἀχαιῶν ἀπηγγέλλετο, ἀπελθεῖν ἐκ τῆς Ἐλατείας
κελεύουσι τοὺς Ἀρκάδας. ἀπιοῦσι δὲ ὀπίσω σφίσιν
ἐς τὴν Πελοπόννησον Μέτελλος καὶ Ῥωμαῖοι ἐπὶ
Χαιρώνειαν ἐπιφαίνονται. ἔνθα δὴ ἐπελάμβανε τοὺς
Ἀρκάδας ἐκ θεῶν δίκη τῶν Ἑλληνικῶν, οἳ ἐν Χαιρω-
νείᾳ Φιλίππου καὶ Μακεδόνων ἐναντία ἀγωνιζομένους
ἐγκαταλιπόντες Ἕλληνας, τότε ἐν χωρίῳ τῷ αὐτῷ
ἐκτείνοντο ὑπὸ Ῥωμαίων. Ἀχαιοῖς δὲ αὖθις ἐπὶ τὴν 4
ἡγεμονίαν τοῦ στρατεύματος παρῄει Δίαιος· καὶ δού-
λους τε ἐς ἐλευθερίαν ἠφίει, τὸ Μιλτιάδου καὶ Ἀθη-
ναίων βούλευμα πρὸ τοῦ ἔργου τοῦ ἐν Μαραθῶνι
μιμούμενος, καὶ Ἀχαιῶν συνέλεγε καὶ Ἀρκάδων ἀπὸ
τῶν

3) Κριτολάῳ τοῦ ἔργου] Uterque Cod. Κριτολάου τοῦ ἔργου.

τῶν πόλεων τοὺς ἐν ἡλικίᾳ. ἐγένετο δὲ, ἀναμεμιγμένων ὁμοῦ καὶ οἰκετῶν, τὸ ἀθροισθὲν ἐς ἑξακοσίους μὲν μάλιστα ἀριθμὸν ἱππεῖς, τὸ δὲ ὁπλιτεῦον τετρακισχίλιοί τε καὶ μύριοι. ἐνταῦθα ὁ Δίαιος ἐς ἅπαν ἀφίκετο ἀνοίας, ὃς Κριτόλαον καὶ πᾶσαν τὴν Ἀχαιῶν ἐπιστάμενος παρασκευὴν κακῶς οὕτως ἀγωνισαμένην πρὸς Μέτελλον, ἀπέλεξεν [4]) αὐτὸς ὅσον τετρακισχιλίους, καὶ ἄρχοντα ἐπ' αὐτοῖς ἔταξεν Ἀλκαμένην. ἀπεστέλλοντο δὲ ἐς Μέγαρα, φρουρά τε εἶναι Μεγαρεῦσι τοῦ ἄστεως, καὶ ἢν Μέτελλος ἐπίῃ καὶ οἱ Ῥω-
5 μαῖοι, τοῦ πρόσω σφᾶς κωλύειν. Μέτελλος δὲ, ὡς οἱ περὶ Χαιρώνειαν λογάδες κατέστρωντο οἱ Ἀρκάδων, ἀναστήσας τὸ στράτευμα ἤλαυνεν ἐπὶ τὰς Θήβας· Ἡράκλειάν τε γὰρ ἐπολιόρκησαν οἱ Θηβαῖοι μετὰ Ἀχαιῶν, καὶ ἀγῶνος τοῦ πρὸς Σκάρφειαν μετεσχήκεσαν. τότε δὲ αὐτοί τε καὶ γυναῖκες ἐκλελοιπότες πᾶσα ἡλικία τὴν πόλιν, ἐπλανῶντο ἀνὰ τὴν Βοιωτίαν, καὶ ἐς τῶν ὀρῶν τὰ ἄκρα ἀνέφευγον. Μέτελλος δὲ οὔτε ἱερὰ ἐμπιπράναι θεῶν, οὔτε οἰκοδομήματα καθαιρεῖν εἴα, Θηβαίων τε τῶν ἄλλων μήτε ἀποκτεῖναι μηδένα, μήτε αἱρεῖν φεύγοντα ἀπηγόρευε· Πυθέαν δὲ ἢν ἕλωσιν, ἀνάγειν ἐκέλευεν ὡς αὐτόν [5]). ἐξεύρητό τε δὴ αὐτίκα ὁ Πυθέας, καὶ ἀναχθεὶς δίκην εἶχεν. ὡς δὲ πλησίον Μεγάρων ἐγίνετο ὁ στρατὸς, οὔτε ὑπέμειναν οἱ περὶ τὸν Ἀλκαμένη, καὶ αὐτίκα ἐς Κόρινθον παρὰ τὸ στρατόπεδον τὸ Ἀχαιῶν ᾤχοντο φεύγοντες· καὶ Μεγαρεῖς μὲν παραδιδόασιν ἀμαχεὶ Ῥωμαίοις τὴν πόλιν. Μέτελλος δὲ ὡς ἀφί-

κετο

4) ἀπέλεξεν] Cod, Vindob. ἀπέταξεν.

5) ἀνάγειν ἐκέλευεν ὡς αὐτόν] Codex Vind. ἀγαγεῖν ἐκέλευσεν αὐτὸν, et Mofc. ἀνάγειν ἐκέλευσεν αὐτόν.

κετο παρὰ τὸν Ἰσθμὸν, ἐπεκηρυκεύετο καὶ τότε Ἀχαιοῖς ἐς εἰρήνην καὶ ὁμολογίαν προκαλούμενος. ἰσχυρὸς γάρ τις ἐνέκειτο αὐτῷ πόθος τά ἐν Μακεδονία τε ὁμοῦ καὶ τὰ Ἀχαιῶν κατεργασθῆναι. καὶ τούτῳ μὲν ταῦτα ἐσπευκότι Δίαιος ἠναντιοῦτο ὑπὸ ἀγνωμοσύνης.

## CAPUT XVI.

Mummii cum Oreste adventus ad Isthmum — Achaei Romanos aggressi fugantur — Diaei factum dissimile facto Callistrati — Diaeus se veneno conficit — Mummius Corinthum capit et evertit — civitatum graecarum magistratus constituit — illis Romani postea pristinum statum reddunt et Achaïae praesidem mittunt.

Μόμμιος δὲ Ὀρέστην ἅμα ἀγόμενος, τὸν πρότερον ἐπὶ τῇ Λακεδαιμονίων διαφορᾷ καὶ Ἀχαιῶν ἐλθόντα, ἀφίκετο μὲν περὶ ὄρθρον ἐς τὸ τῶν Ῥωμαίων στράτευμα, ἀποπέμψας δὲ ἐς Μακεδονίαν Μέτελλον καὶ ὅσον εἵπετο ἐκείνῳ, ἀνέμενεν αὐτὸς ἐν τῷ Ἰσθμῷ τὴν πᾶσαν ἀθροισθῆναι παρασκευήν. ἐφίκετο δὲ ἱππικὸν μὲν, πεντακόσιοί τε καὶ τρισχίλιοι· τοῦ πεζοῦ δὲ ἀριθμὸς ἐγένετο ἐς μυριάδας δύο, προσόντων καὶ τούτοις τρισχιλίων· ἐπῆλθον δὲ καὶ τοξόται Κρῆτες, καὶ ἐκ Περγάμου τῆς ὑπὲρ Καΐκου Φιλοποίμην στρατιώτας ἄγων παρὰ Ἀττάλου. Μόμμιος μὲν δὴ τότε ἐξ Ἰταλίας τινὰ καὶ τὰ ἐπικουρικὰ 1) ἀπωτέρω δύο τε καὶ δέκα ἔταξε σταδίοις, πρὸ τοῦ παντὸς εἶναι στρα-

1) τινὰ καὶ τὰ ἐπικουρικὰ] In his mendosi aliquid inesse suspicor. Mallem ἐξ Ἰταλίας τε τινα καὶ τὰ ἐπ., cum ex Italia quasdam, tum auxiliarias copias etc.

2 στρατεύματος φυλακήν. Ἀχαιοὶ δὲ, ἐχόντων ἀφυλακτότερον ὑπὸ φρονήματος τῶν Ῥωμαίων, ἐπιτίθενται τοῖς ἐπὶ φυλακῆς αὐτοῖς τῆς πρώτης, καὶ τοὺς μὲν φονεύουσι, πλείονας δὲ ἔτι ἐς τὸ στρατόπεδον κατεῖρξαν, καὶ ἀσπίδας ὅσον τε πεντακοσίας [2]) εἷλον. ἀπὸ τούτου δὲ τοῦ ἔργου καὶ ἐπήρθησαν οἱ Ἀχαιοὶ ποιήσασθαι τὴν ἔξοδον πρότερον, πρὶν ἢ Ῥωμαίους ἄρχειν μάχης. ὡς δὲ ἀντεπῆγε καὶ ὁ Μόμμιος, οἱ μὲν ἐς τὸ ἱππικὸν τῶν Ἀχαιῶν ταχθέντες αὐτίκα ᾤχοντο φεύγοντες, τῆς Ῥωμαίων ἵππου μηδὲ τὴν πρώτην ἔφοδον ὑπομείναντες· ὁ δὲ πεζὸς στρατὸς ἀθύμως μὲν εἶχεν ἐπὶ τῶν ἱππέων τῇ τροπῇ, δεξάμενοι δὲ τὴν ἐμβολὴν τοῦ ὁπλιτικοῦ τοῦ Ῥωμαίων [3]), βιαζόμενοί τε τῷ πλήθει καὶ ἀπαγορεύοντες, τοῖς στρατεύμασιν ὅμως ἀντεῖχον [4]) ὑπὸ τοῦ θυμοῦ, πρίν γε δὴ Ῥωμαίων λογάδες χίλιοι προσπεσόντες κατὰ τὰ πλάγια ἐς τελέαν τοὺς Ἀχαιοὺς φυγὴν κατέστησαν. εἰ δὲ ἐτόλμησεν ἐσδραμεῖν μετὰ τὴν μάχην Δίαιος ἐς Κόρινθον, καὶ ὑποδέξασθαι τῷ τείχει τοὺς διαπίπτοντας ἐκ τῆς φυγῆς, κἂν εὕρασθαί [5]) τι παρὰ Μομμίου οἱ Ἀχαιοὶ φιλάνθρωπον ἠδυνήθησαν ἐς πολιορκίαν καὶ τριβὴν πολέμου καταστάντες [6]). Νῦν

2) ὅσον τε πεντακοσίας] Uterque Codex τε ὅσον πεντακοσίους.

3) τοῦ Ῥωμαίων] Cod. Mosc. τῶν Ῥωμ.

4) καὶ ἀπαγορεύοντες, τοῖς στρατεύμασιν ὅμ. ἀντ.] Interpretes ἀπαγ. cum στρατ. junxerunt, et *Amas.* interpretatus est *dimicando fatigati. Kuhn.* emendavit ἀπαγ. τοῖς τραύμασι, *vulneribus confecti.* Equidem post ἀπαγ. interpunxi, ut στρατ. jungatur voci ἀντεῖχον, *tamen agminibus restiterunt.*

5) κἂν εὕρ.] Cod. Vind. καὶ εὕρ.

6) καταστάντες] Ex utroque Codice restitui et *Sylburgio* emendante pro vulgata καταστάντα.

Νῦν δὲ ἀρχομένων ἔτι ἐνδιδόναι τῶν Ἀχαιῶν, εὐθὺ Μεγάλης πόλεως [7]) ἔφευγεν ὁ Δίαιος οὐδέν τι γενόμενος ἐς Ἀχαιοὺς ὅμοιος, ἢ καὶ Καλλίστρατος ὁ Ἐμπέδου πρὸς Ἀθηναίους. τούτῳ γὰρ τῷ ἀνδρὶ ἱππαρχήσαντι ἐν Σικελίᾳ, οἵ τε Ἀθηναῖοι καὶ ὅσοι ἄλλοι τοῦ στόλου μετεσχήκεσαν, ἀπώλυντο [8]) πρὸς τῷ ποταμῷ τῷ Ἀσινάρῳ. τότε τῷ Καλλιστράτῳ [9]) παρέσχε τόλμα διεκπέσαι διὰ τῶν πολεμίων, ἄγοντι τοὺς ἱππέας. ὡς δὲ τὸ πολὺ ἀπέσωσεν αὐτῶν ἐς Κατάνην, ἀνέστρεφεν ὀπίσω τὴν αὐτὴν αὖθις ὁδὸν ἐς Συρακούσας, διαρπάζοντας πειρῶν [10]) τὸ Ἀθηναίων στρατόπεδον, καταβάλλει τε ὅσον πέντε ἐξ αὐτῶν, καὶ τραύματα ἐπίκαιρα [11]) αὐτὸς καὶ ὁ ἵππος λαβόντες ἀφιᾶσι τὴν ψυχήν. οὗτος μὲν δὴ ἀγαθὴν δόξαν Ἀθηναίοις καὶ αὐτῷ κτώμενος, περιεποίησέ τε, ὧν ἦρχε, καὶ ἐτελεύτησεν αὐτὸς ἑκουσίως. 3

4 Δίαιος δὲ Ἀχαιοὺς ἀπολωλεκὼς, Μεγαλοπολίταις κακῶν τῶν ἐφεστηκότων ἧκεν ἄγγελος· ἀποκτείνας δὲ αὐτοχειρὶ τὴν γυναῖκα, ἵνα μὴ γένοιτο αἰχμάλωτος, τελευτᾷ

T 2 πιὼν

7) εὐθὺ Μεγάλης πόλ.] *recta Megalopolin*; quo significatu εὐθὺ interdum genitivo jungitur. Uterque Cod. exhibet εὐθύς.

8) οἵ τε Ἀθηναῖοι —, ἀπώλυντο] *Kuhn.* haud male emendat ὅτε οἱ Ἀθηναῖοι, et *Sylb.* pro ἀπώλοντο scribendum censet ἀπώλοντο vel ἀπώλλυντο.

9) τότε τῷ Καλλ.] Cod. Vind. τοῦτό τε τῷ Καλλ., et Mosc. τοῦ τότε τῷ Καλλ. In utroque mendoso vera lectio latere videtur τούτῳ τῷ Καλλ. Sic vero punctum post Ἀσινάρῳ cum commate mutandum esset.

10) διαρπάζοντας πειρῶν] Codd. haec vitiose exhibent; praeclare vero *Kuhn.* corrigit διαρπάζοντάς τε εὑρών.

11) τραύματα ἐπίκαιρα] Amas. *letalibus vulneribus acceptis.* Suid. ἐπικαιρότατα; ἐπικινδυνότατα. Attamen ἐπίκηρα scribendum esse vix dubito; idem enim Suid. ἐπίκηρα, ἐπιθανάτια, κὴρ γὰρ ὁ θάνατος. Vide etiam Hesych. h. v.

πιὼν φάρμακον, ἐοικυῖαν μὲν παρασχόμενος Μεναλ-
κίδᾳ τὴν ἐς χρήματα πλεονεξίαν, ἐοικυῖαν δὲ καὶ τὴν
ἐς τὸν θάνατον δειλίαν. Ἀχαιῶν δὲ οἱ ἐς Κόρινθον
ἀποσωθέντες μετὰ τὴν μάχην ἀπεδίδρασκον ὑπὸ
νύκτα εὐθύς· ἀπεδίδρασκον δὲ καὶ αὐτῶν Κορινθίων
5 οἱ πολλοί. Μόμμιος δὲ τὸ μὲν παραυτίκα, ἀνα-
πεπταμένων ὅμως τῶν πυλῶν, ἐπεῖχεν ἐς τὴν Κόρινθον
παρελθεῖν, ὑποκαθῆσθαί τινα ἐντὸς τοῦ τείχους
ὑποπτεύων ἔνεδραν· τρίτῃ δὲ ἡμέρᾳ μετὰ τὴν μάχην
ᾕρει τε κατὰ κράτος, καὶ ἔκαιε Κόρινθον. τῶν δὲ
ἐγκαταληφθέντων τὸ μὲν πολὺ οἱ Ῥωμαῖοι φονεύουσι,
γυναῖκας δὲ καὶ παῖδας ἀπέδοτο Μόμμιος· ἀπέδο-
το[12]) δὲ καὶ οἰκέτας, ὅσοι τῶν ἐς ἐλευθερίαν ἀφεθέν-
των καὶ μαχεσαμένων μετὰ Ἀχαιῶν μήτοι εὐθὺς ὑπὸ
τοῦ πολέμου τὸ ἔργον ἐτεθνήκεσαν. ἀναθημάτων δὲ
καὶ τοῦ ἄλλου κόσμου τὰ μὲν μάλιστα ἀνήκοντα ἐς
θαύματα ἀνήγετο· τὰ δὲ ἐκείνοις οὐχ ὁμοίου λόγου
Φιλοποίμενι ὁ Μόμμιος τῷ παρ' Ἀττάλου στρατηγῷ
δίδωσι· καὶ ἦν Περγαμηνοῖς καὶ ἐς ἐμὲ ἔτι λάφυρα
Κορίνθια. πόλεμον δὲ ὅσοι Ῥωμαίων ἐναντία ἐπολέ-
μησαν[13]), τείχη μὲν ὁ Μόμμιος κατέλυε, καὶ ὅπλα
ἀφῃρεῖτο, πρὶν ἢ καὶ ἐμβούλους[14]) ἀποσταλῆναι παρὰ
6 Ῥωμαίων. Ὡς δὲ ἀφίκοντο οἱ σὺν αὐτῷ βουλευσό-
μενοι, ἐνταῦθα δημοκρατίας μὲν κατέπαυε, καθίστα-

το

12) ἀπέδοτο] Dedi ex Codice Vindob. pro vulgata ἀπέδοντο.

13) πόλεμον δὲ ὅσοι — ἐπολέμησαν] *Amas.*, qui interpretatur *urbium, quae etc.*, legisse videtur πόλεων δὲ, ὅσαι etc. Sed vulgata non minus ferri possunt; sic enim supra C. 6. fuit πολέμων δὲ τῶν πολεμηθέντων.

14) ἐμβούλους] Vox insolentior. Forte: *senatorii ordinis viros.* Sed *Sylb.* et *Kuhn.* συμβούλους scribendum esse bene monent.

το δὲ ἀπὸ τιμημάτων τὰς ἀρχάς [15])· καὶ Φόρος τε
ἐτάχθη τῇ Ἑλλάδι, καὶ οἱ τὰ χρήματα ἔχοντες ἐκω-
λύοντο ἐν τῇ ὑπερορίᾳ κτᾶσθαι· συνέδριά τε κατὰ
ἔθνος τὸ ἑκάςων Ἀχαιῶν [16]), καὶ τὸ ἐν Φωκεῦσιν, ἢ
Βοιωτοῖς, ἢ ἑτέρωθί που τῆς Ἑλλάδος, κατελέλυτο
ὁμοίως πάντα. Ἔτεσι δὲ οὐ πολλοῖς ὕςερον ἐτρά- 7
ποντο ἐς ἔλεον Ῥωμαῖοι τῆς Ἑλλάδος, καὶ συνέδριά
τε κατὰ ἔθνος ἀποδιδόασιν ἑκάςοις τὰ ἀρχαῖα, καὶ
γῆν ἐν τῇ ὑπερορίᾳ κτᾶσθαι· ἀφῆκαν δὲ καὶ ὅσοις
ἐπιβεβλήκει Μόμμιος ζημίαν· Βοιωτούς τε γὰρ Ἡρα-
κλεώταις καὶ Εὐβοέας τάλαντα ἑκατὸν, καὶ Ἀχαιοὺς
Λακεδαιμονίοις διακόσια ἐκέλευσεν ἐκτίσαι. τούτων
μὲν δὴ ἄφεσιν παρὰ Ῥωμαίων εὕροντο Ἕλληνες·
ἡγεμὼν δὲ ἔτι καὶ ἐς ἐμὲ ἀπεςέλλετο. καλοῦσι δὲ
οὐχ Ἑλλάδος, ἀλλ' Ἀχαΐας ἡγεμόνα οἱ Ῥωμαῖοι,
διότι ἐχειρώσαντο Ἕλληνας δι' Ἀχαιῶν τότε τοῦ Ἑλ-
ληνικοῦ προεςηκότων. ὁ δὲ πόλεμος ἔσχεν οὗτος
τέλος, Ἀντιθέου μὲν Ἀθήνησιν ἄρχοντος, ὀλυμπιάδι
δὲ ἑξηκοςῇ πρὸς ταῖς ἑκατὸν, ἣν ἐνίκα Διόδωρος
Σικυώνιος.

15) *ἀπὸ τιμημάτων τ. ἀρχ.*] Amas. *magistratus ex censu instituti*, h. e. *ex ditioribus magistratus delecti*. Plato de republ. L. VIII. ἡ ἀπὸ τιμημάτων πολιτεία, ἐν ᾗ οἱ μὲν πλούσιοι ἄρχουσι etc.

16) ἔθνος τὸ ἑκάςων Ἀχαιῶν] Rectius ἕκαςον scribendum esse videtur.

## CAPUT XVII.

Graecia tunc temporis ad ſummam inopiam redacta — Graeciae ſors ſub Nerone et Veſpaſiano — Achaïae finium et urbium deſcriptio, primum Dymes — de memorandis Dymes — Atte daemone — Oebota curſore.

Ἐς ἅπαν δὲ ἀσθενείας τότε μάλιστα κατῆλθεν ἡ Ἑλλάς, λυμανθεῖσα κατὰ μέρη, καὶ διαπορθηθεῖσα [1]) ἐξ ἀρχῆς ὑπὸ τοῦ δαίμονος. Ἄργος μὲν ἐς πλεῖστον ἀφικομένη δυνάμεως πόλις ἐπὶ τῶν καλουμένων ἡρώων, ὁμοῦ τῇ μεταβολῇ τῇ ἐς Δωριέας ἐπέλιπε τὸ [2]) ἐκ τῆς τύχης εὐμενές. τὸ δὲ ἔθνος τὸ Ἀττικόν, ἀπὸ τοῦ Πελοποννησίων πολέμου καὶ νόσου τῆς λοιμώδους ἀνενεγκόν τε καὶ αὖθις ἀνανηξάμενον, ἔτεσιν ἔμελλεν οὐ πολλοῖς ὕστερον ἡ Μακεδόνων ἀκμὴ καθαιρήσειν, (κατέσκηψε δὲ ἐκ Μακεδονίας καὶ ἐς τὰς Βοιωτίας Θήβας τὸ Ἀλεξάνδρου μήνιμα) Λακεδαιμονίους δὲ Ἐπαμινώνδας ὁ Θηβαῖος. καὶ αὖθις ὁ Ἀχαιῶν πόλεμος ἐγένετο [3]), ὅτε δὴ καὶ μόγις, ἅτε ἐκ

1) διαπορθηθεῖσα] Praetuli hanc Codicis Vindob. lectionem vulgatae διαπορηθεῖσα.

2) Ἄργος — πόλις — ἐπέλιπε τὸ etc.] Ante τὸ ſupplendum eſſet κατὰ, *Argos — caruit fortunae benignitate;* vel iſti nominativi Ἄργος — πόλις abſolute ſunt ſumendi, *Argos cum ad ſummam potentiam evecta fuiſſet — defecit illam etc.*

3) ἔμελλεν — καθαιρήσειν, — Θηβαῖος. καὶ αὖθις — ἐγένετο] Sic hunc locum interpunctionis ope recte conſtituiſſe et explanaſſe mihi videor. Iſta enim in vulgatis ita diſtincta fuere: — καθαιρήσειν. — μήνιμα. — Θηβαῖος, καὶ etc., et cum in his ita interpunctis vel vox ἐγένετο mendoſa eſſet, vel verbum excidiſſe videretur, *Sylb.* pro ἐγένετο ſcribendum eſſe conjecerat ἐσίνετο, et *Kuhn.* emendaverat Λακεδαιμονίοις — συμφορὰ (maluiſſem πῆμα) ἐγένετο.

ἐκ δένδρου λελωβημένου καὶ εὐθὺς τὰ πλείονα, ἀνε-
βλάστησεν ἐκ τῆς Ἑλλάδος τὸ Ἀχαϊκόν· καὶ αὐτὸ ἡ
κακία τῶν στρατηγησάντων ἐκόλουσεν ἔτι αὐξανόμε-
νον [4]). Χρόνῳ δὲ ὕστερον ἐς Νέρωνα ἡ βασιλεία 2
περιῆλθε ἡ Ῥωμαίων· καὶ ἐλεύθερον ὁ Νέρων ἀφίησιν
ἁπάντων, ἀλλαγὴν πρὸς δῆμον ποιησάμενος τὸν
Ῥωμαίων· Σαρδὼ γὰρ τὴν νῆσον ἐς τὰ μάλιστα εὐδαί-
μονα ἀντὶ Ἑλλάδος σφίσιν ἀντέδωκεν. ἀπιδόντι
οὖν ἐς τοῦτό μοι τοῦ Νέρωνος τὸ ἔργον ὀρθότατα
εἰρηκέναι Πλάτων [5]) ἐφαίνετο ὁ Ἀρίστωνος, ὁπόσ' ἀδι-
κήματα μεγέθει καὶ τολμήματί ἐστιν ὑπερηρκότα, οὐ
τῶν ἐπιτυχόντων εἶναι ταῦτα ἀνθρώπων, ψυχῆς δὲ
γενναίας ὑπὸ ἀτόπου παιδείας διεφθαρμένης. οὐ
μὴν Ἕλλησί τε ἐξεγένετο ὄνασθαι τοῦ δώρου·
Οὐεσπασιανοῦ γὰρ μετὰ Νέρωνα ἄρξαντος, ἐς ἐμ-
φύλιον στάσιν προήχθησαν, καὶ σφᾶς ὑποτελεῖς τε
αὖθις ὁ Οὐεσπασιανὸς εἶναι φόρων καὶ ἀκούειν ἐκέ-
λευσεν ἡγεμόνος, ἀπομεμαθηκέναι φήσας τὴν ἐλευ-
θερίαν τὸ Ἑλληνικόν. τάδε μὲν οὕτω συμβάντα
εὕρισκον.

Ἀχαιοῖς δὲ ὅροι καὶ Ἠλείοις τῆς χώρας ποταμός 3
τε Λάρισος, καὶ Ἀθηνᾶς ἐπὶ τῷ ποταμῷ ναός ἐστι
Λαρισσαίας [6]). καὶ Ἀχαιῶν πόλις Δύμη σταδίους
ὅσον τετρακοσίους [7]) ἀπέχει τοῦ Λαρίσου. ταύτην



4) αὐξανόμενον] Uterque Cod. αὐξόμενον. Mox ἐλεύθερον refer ad praecedens τὸ Ἀχαϊκόν.

5) Πλάτων] Vide ejus Polit. L. V. καὶ τὰς ψυχὰς οὕτω φῶμεν τὰς εὐφυεστάτας etc. Mox ὄνασθαι rescripsi ex Cod. Mosc. pro ὤνασθαι, quod *Sylb.* jam damnaverat.

6) ναός ἐστι Λαρισσαίας] Cod. Vind. Λαρισσαῖος, et ita quoque Stephan. Nigrum in suo Msto legisse *Kuhn.* notavit.

7) τετρακοσίους] Cod. Mosc. περὶ τριακοσίους, quam lectio-

Φίλιππος ὁ Δημητρίου πολεμῶν, μόνην τῶν Ἀχαϊκῶν ἔσχεν ὑπήκοον· καὶ ἐπὶ τῇ αἰτίᾳ ταύτῃ Οὐλυμπικὸς[8]) ἡγεμὼν καὶ οὗτος Ῥωμαίων ἐπέτρεψε τῇ στρατιᾷ διαρπάσαι τὴν Δύμην· Αὔγουστος δὲ ὕστερον καὶ προσένειμεν αὐτὴν Πατρεῦσιν. ἐκαλεῖτο δὲ τὰ μὲν ἀρχαιότερα Πάλεια· ἐχόντων δ' ἔτι Ἰώνων, ὄνομά οἱ μετέθετο τὸ ἐς ἡμᾶς[9]), σαφῶς δ' οὐκ οἶδα, εἴτε ἀπὸ γυναικὸς ἐπιχωρίας Δύμης, εἴτε ἀπὸ Δύμαντος τοῦ Αἰγιμίου[10]). ὑπὸ δὲ τοῦ ἐλεγείου τοῦ Ὀλυμπιάσιν ἐπὶ τῇ εἰκόνι τῇ Οἰβώτα οὐ προαχθείη τις εἰς ἀλογίαν. Οἰβώτᾳ γὰρ ἀνδρὶ Δυμαίῳ, σταδίου μὲν ἀνελομένῳ νίκην ὀλυμπιάδι ἕκτῃ, εἰκόνος δὲ ἐν Ὀλυμπίᾳ περὶ τὴν ὀγδοηκοστὴν ὀλυμπιάδα κατὰ μάντευμα[11]) ἐκ Δελφῶν ἀξιωθέντι, ἐπίγραμμά ἐστιν ἐπ' αὐτῷ λέγον·

Οἰνία Οἰβώτας στάδιον νικῶν, ὁ δ' Ἀχαιὸς[12])
Πατρίδα Πάλειαν θῆκ' ὀνομαστοτέραν.

τοῦτο

nem etiam Stephanum Nigrum in Dialogo exhibere *Kuhn.* affirmat. Conf. Cellarii Geogr. ant. p. 1180. Praepositionem περὶ numero junctam habes quoque C. 18. init. et alibi.

8) Οὐλυμπικὸς] Cum Olympici hujus nullibi fiat mentio, *Kuhn.* nomen illud depravatum et ex Livio L. XXXII. C. 16. ὁ Λούκιος emendandum, ac Lucium Quintium Flaminium intelligendum esse censet. Palmer. Exercit. p. 413. emendavit Σουλπίκιος, P. Sulpitium praetorem innui affirmans.

9) ὄνομά οἱ μετέθετο τὸ ἐς ἡμᾶς etc.] Restitui τὸ, quod a praecedente syllaba absorptum perierat. Sic C. 26. τῇ πόλει τὸ ὄνομα τὸ νῦν μετέθεντο. ἐς ἡμᾶς dictum pro καθ' ἡμᾶς, *nostra aetate.* Cod. Mosc. ἐφ' ἡμᾶς exhibet, quod potius ἐφ' ἡμῶν esse deberet. Dymes etymon ab his diversum affert Strabo L. VIII. p. 594. A.

10) Αἰγιμίου] Cum *Sylburgio* hoc nomen restitui ex Apollodoro II. 7. 7., ubi vide not. p. 476. Mendose vulgatum fuit Αἰγιμίτου, atque in Codd. hoc nomen varie corruptum deprehendi.

11) μάντευμα] Uterque Cod. μαντεύματα.

12) Ἀχαιὸς] Uterque Cod. Ἀχαιοῖο. Ceterum *Kuhn.* hunc ver-

τοῦτο οὖν οὐκ ἄν τινι ἀλογίαν παραστήσειεν, εἰ Πά-
λειαν, ἀλλὰ μὴ Δύμην τὸ ἐπίγραμμα καλεῖ τὴν
πόλιν. τὰ γὰρ ἀρχαιότερα ὀνόματα ἐς ποίησιν
ἐπάγεσθαι τῶν ὑστέρων, καθεστηκός ἐστιν Ἕλλησιν·
καὶ Ἀμφιάραόν [13]) τε καὶ Ἄδραστον Φορωνείδας [14]),
καὶ Ἐρεχθείδην ἐπονομάζουσι τὸν Θησέα. Ὀλίγον 4
δὲ πρὸ τοῦ ἄστεώς ἐστι τοῦ ἐν Δυμαίῳ [15]) ἐν δεξιᾷ τῆς
ὁδοῦ τάφος Σωστράτου· μειράκιον δὲ ἦν τῶν ἐπιχωρίων·
γενέσθαι δὲ Ἡρακλέους ἐρώμενόν φασιν αὐτὸν, καὶ
(ἀποθανεῖν γὰρ τὸν Σώστρατον Ἡρακλέους ἔτι ὄντος
μετὰ ἀνθρώπων) οὕτως οἱ τὸν Ἡρακλέα τότε μνῆμα
αὐτὸν [16]) εἶναι τὸν ποιήσαντα, καὶ ἀπαρχὰς ἀπὸ τῶν
ἐν τῇ κεφαλῇ τριχῶν δοῦναι. ἐπίθημα δὲ καὶ ἐς ἐμὲ
ἔτι στήλη τε ἦν ἐπὶ τοῦ χώματος, καὶ Ἡρακλῆς ἐπειργα-
σμένος· ἐλέγετο δὲ, ὡς οἱ ἐπιχώριοι καὶ ἐναγίζουσι τῷ
Σωστράτῳ. Δυμαίοις δὲ ἔστι μὲν Ἀθηνᾶς ναὸς καὶ 5
ἄγαλμα ἐς τὰ μάλιστα ἀρχαῖον· ἔστι δὲ καὶ ἄλλο
ἱερόν σφισι Δινδυμήνῃ μητρὶ καὶ Ἄττῃ [17]) πεποιημένον.



versum ita emendandum censet:

Ὤνατο Οἰβώτας στάδιον νικῶν· ὁ δ' Ἀχαιοῖς etc.

13) Ἀμφιάραόν] Ex Cod. Vind. et *Amas.* hoc nomen rescripsi pro vulgato Ἀμφίαρον.

14) Φορωνείδας] h. e. Argivos, a Phoroneo, Argi avo. Vide Heyne V. C. ad Apollodor. p. 240.

15) πρὸ τοῦ ἄστεώς ἐστι τοῦ ἐν Δυμαίῳ] Ex utroque Cod. reposui ἐστὶ pro vulgata ἔστη. Pro τοῦ ἄστεως Cod. Vind. dat τούτου. Verba τοῦ ἐν Δυμαίῳ, quae *Amas.* interpretatur *in suburbano Dymes agro*, corrupta esse judico cum *Sylburgio*, qui vel τοῦ Δυμαίων vel τοῦ Δυμαίου scribendum censet. Equidem potius τῶν Δυμαίων emendandum esse nullus dubito.

16) τότε μνῆμα αὐτὸν] *Sylb.* non temere mavult τό τε μνῆμα αὐτό.

17) Ἄττῃ] De Attine et varia hujus nominis scriptura vide not. ad Hesych. v. Ἄττης et Salmas. Exercit. p. 51. Conf. not. ad Paus. L. I. C. 4.

Ἄττης δὲ ὅστις ἦν, οὐδὲν οἷός τε ἦν ἀπόῤῥητον ἐς αὐτὸν ἐξευρεῖν [18]). ἀλλὰ Ἑρμησιάνακτι μὲν τῷ τὰ ἐλεγεῖα γράψαντι πεποιημένα ἐστὶν, ὡς υἱός τε ἦν Καλαοῦ Φρυγὸς, καὶ ὡς οὐ τεκνοποιὸς ὑπὸ τῆς μητρὸς τεχθείη. ἐπεὶ δὲ ηὔξητο, μετῴκησεν ἐς Λυδίαν τῷ Ἑρμησιάνακτος λόγῳ, καὶ Λυδοῖς ὄργια ἐτέλει μητρὸς, ἐς τοσοῦτο ἥκων παρ' αὐτῇ τιμῆς, ὡς Δία αὐτῇ νεμεσήσαντα ὗν ἐπὶ τὰ ἔργα ἐπιπέμψαι τῶν Λυδῶν. ἐνταῦθα ἄλλοι τε τῶν Λυδῶν καὶ αὐτὸς Ἄττης ἀπέθανεν ὑπὸ τοῦ ὑός· καί τι ἑπόμενον τούτοις Γαλατῶν δρῶσιν οἱ Πεσινοῦντα [19]) ἔχοντες, ὑῶν οὐχ ἁπτόμενοι. νομίζουσί γε μὴν οὐχ οὕτω τὰ ἐς τὸν Ἄττην, ἀλλὰ ἐπιχώριός ἐστιν ἄλλος σφίσιν ἐς αὐτὸν λόγος. Δία ὑπνωμένον ἀφιέναι σπέρμα ἐς γῆν, τὴν δὲ ἀνὰ χρόνον ἀνεῖναι δαίμονα διπλᾶ ἔχοντα αἰδοῖα, τὰ μὲν ἀνδρὸς, τὰ δὲ αὐτῷ γυναικός· ὄνομα δὲ Ἀγδίστιν [20]) αὐτῷ τίθενται. θεοὶ δὲ Ἀγδίστιν δείσαντες, τὰ αἰδοῖά οἱ τὰ ἀνδρὸς ἀποκόπτουσιν. ὡς δὲ ἀπ' αὐτῶν ἀναφῦσα ἀμυγδαλῆ εἶχεν ὡραῖον τὸν καρπὸν, θυγατέρα τοῦ Σαγγαρίου ποταμοῦ λαβεῖν φασι τοὺς καρπούς· ἐσθεμένης δὲ ἐς τὸν κόλπον, καρπὸς μὲν ἐκεῖνος ἦν ἀφανὴς αὐτίκα, αὐτὴ δὲ ἐκύει· τεκούσης δὲ, τράγος περιεῖπε τὸν παῖδα ἐκκείμενον. ὡς δὲ αὐξανομένῳ κάλλους οἱ μετῆν πλέω ἢ κατὰ εἶδος ἀνθρώπου, ἐνταῦθα τοῦ παιδὸς ἔρως ἔσχεν Ἀγδίστιν. αὐξηθέντα δὲ Ἄττην ἀποστέλλουσιν ἐς Πεσι-

18) ἀπόῤῥητον ἐς αὐτὸν ἐξευρ.] Stephanum Nigrum legiſſe ἀπόῤῥ. ὃν ἐς αὐτ. ἐξευρ., *Kuhn.* adnotavit et merito probavit.

19) Πεσινοῦντα] Ita et ſupra L. I. C. 4. cum ſimplici σ. In Strab., Steph. et aliis Πεσσιν. legitur. Codd. mendoſe exhibent Πεσυν.

20) Ἀγδίστιν] De eo vide ſupra L. I. C. 4. et ibi not. 12.

Πεσινοῦντα οἱ προσήκοντες συνοικήσοντα τῇ βασιλέως
θυγατρί. ὑμέναιος δὲ ᾔδετο, καὶ Ἀγδίστις ἐφίσταται,
καὶ τὰ αἰδοῖα ἀπέκοψε μανεὶς ὁ Ἄττης· ἀπέκοψε
δὲ καὶ ὁ τὴν θυγατέρα αὐτῷ διδούς. Ἀγδίστιν δὲ
μετάνοια ἔσχεν, οἷα Ἄττην ἔδρασε [21]). καί οἱ παρὰ
Διὸς εὕρετο, μήτε σήπεσθαί τι Ἄττῃ τοῦ σώματος,
μήτε τήκεσθαι. τάδε μὲν ἐς Ἄττην τὰ γνωριμώτα-
τα. Ἐν δὲ τῇ χώρᾳ τῇ Δυμαίᾳ ἐστὶ καὶ ἡ τοῦ δρο- 6
μέως Οἰβώτα νίκη. τούτῳ δ' ἐν Ὀλυμπίᾳ Ἀχαιῶν
πρώτῳ γέρας λαβόντι οὐδὲν [22]) ἐξαίρετον παρ' αὐτῶν
ἐγένετο εὕρασθαι· καὶ ἐπὶ τοῦτο [23]) κατάρας ὁ Οἰβώ-
τας ἐποιήσατο, μηδενὶ Ὀλυμπιακὴν νίκην ἔτι Ἀχαιῶν
γενέσθαι. καὶ (ἦν γάρ τις θεῶν, ᾧ τοῦ Οἰβώτα τε-
λεῖσθαι τὰς κατάρας οὐκ ἀμελὲς ἦν) διδάσκονταί
ποτε οἱ Ἀχαιοὶ, καθ' ἥντινα αἰτίαν στεφάνου τοῦ
Ὀλυμπιάσιν ἡμάρτανον, διδάσκονται δὲ ἀποστείλαν-
τες ἐς Δελφούς. οὕτω δὴ καὶ ἄλλα ἐς τιμὴν σφισι
τοῦ Οἰβώτα ποιήσασι, καὶ τὴν εἰκόνα ἀναθεῖσιν ἐς
Ὀλυμπίαν, Σώστρατος Πελληνεὺς σταδίου νίκην ἔσχεν
ἐν παισί. διαμένει δὲ ἐς ἐμὲ ἔτι Ἀχαιῶν τοῖς ἀγω-
νίζεσθαι μέλλουσι τὰ Ὀλύμπια, ἐναγίζειν τῷ Οἰβώ-
τᾳ, καὶ ἢν κρατήσωσιν [24]) ἐν Ὀλυμπίᾳ, στεφανοῦν
τοῦ Οἰβώτα τὴν εἰκόνα.

21) οἷα Ἄττην ἔδρασε] Cod. Moſc. οἷα ἔδρασε, omiſſo Ἄττην.

22) καὶ ἡ τοῦ δρ. Οἰβ. νίκη. τούτῳ — πρώτῳ γέρας λαβόντι οὐδὲν etc.] Hic νίκη prorſus inſolenter pro *victoriae monumento* poſitum, vel corruptum videri poſſit. Quare *Kuhn.* pro νίκη emendandum putavit εἰκὼν, cujus in iis, quae ſtatim ſequuntur, fit mentio. Attamen Νίκη potius ſcribendum, et *Victoriae ſignum* intelligendum puto, *quod in honorem Oebotae poſitum et* ἡ τοῦ Οἰβώτα Νίκη *dictum fuerit.* Codd. exhibent νικήσαντα, quod nullo modo locum habere poteſt.

23) ἐπὶ τοῦτο] *Sylb.* mavult ἐπὶ τούτῳ.

24) κρατήσωσιν] Ex Cod. Moſc. ſcripſi pro vulgata κρατήσουσιν.

CAPUT

## CAPUT XVIII.

De Piro amne et urbe Oleno — Patrensium urbe et Glauco amne — Patrensium de Baccho narratio — Patrei stemma — urbs Patrae relicta et ab Augusto imperatore restituta — de memorandis urbis Patrensium, templo et signo Dianae Laphriae — sacris anniversariis Dianae Laphriae.

Σταδίους δὲ [1]) ὅσον τεσσαράκοντα προελθόντι ἐκ Δύμης ποταμὸς Πεῖρος ἐς θάλατταν κάτεισι· καὶ Ἀχαιῶν πόλις ποτὲ Ὤλενος ᾠκεῖτο παρὰ τῷ Πείρῳ. ὁπόσοι δὲ ἐς Ἡρακλέα καὶ τὰ ἔργα αὐτοῦ πεποιήκασιν, ἔστιν οὐκ ἐλάχιστά σφισιν δείγματα τοῦ λόγου, τίς ὁ Δεξαμενὸς [2]) ἐν Ὠλένῳ βασιλεὺς, καὶ ὁποίων Ἡρακλῆς παρ᾽ αὐτῷ ξενίων ἔτυχε. καὶ ὅτι μὲν ἦν πόλισμα μικρὸν ἐξ ἀρχῆς ἡ Ὤλενος, μαρτυρεῖ τῷ λόγῳ μου καὶ ἐλεγεῖον ἐς Εὐρυτίωνα Κένταυρον ὑπὸ Ἑρμησιάνακτος πεποιημένον. ἀνὰ χρόνον δὲ τοὺς οἰκήτορας ἐκλιπεῖν ὑπὸ ἀσθενείας φασὶ τὴν Ὤλενον, καὶ ἐς Πειράς τε καὶ ἐς Εὐρυτειὰς [3]) ἀποχωρῆσαι.
2 Τοῦ δὲ Πείρου ποταμοῦ περὶ τοὺς ὀγδοήκοντα ἀφέστηκε σταδίους Πατρέων ἡ πόλις· οὐ πόῤῥω δὲ αὐτῆς ποταμὸς Γλαῦκος ἐκδίδωσιν ἐς θάλασσαν. Πατρέων δὲ οἱ τὰ ἀρχαιότατα μνημονεύοντές φασιν, Εὔμηλον αὐτόχθονα οἰκῆσαι πρῶτον ἐν τῇ χώρᾳ, βασιλεύοντα οὐ

1) δὲ] Pro τε reposui, orationis nexu et loquendi usu illud flagitante.

2) δείγματα τοῦ λόγου, τίς ὁ Δεξαμενὸς] Hic δείγμ. τ. λ. *carminis argumentum* denotent necesse est. Pro vulgata δεξάμενος cum Palmerio Exercit. p. 413. reddidi nomen proprium ex fine Capit. 19. et Apollodoro L. II. C. 5. p. 124. In Codice Mosc. desunt voces τίς ὁ.

3) Εὐρυτειὰς] Uterque Cod. Εὐρυτιάς.

οὐ πολλῶν αὐτὸν ἀνθρώπων. Τριπτολέμου δὲ ἐκ
τῆς Ἀττικῆς ἀφικομένου, τόν τε καρπὸν λαμβάνει
τὸν ἥμερον, καὶ οἰκίσαι[4]) διδαχθεὶς πόλιν, Ἀρόαν
ὠνόμασεν ἐπὶ τῇ ἐργασίᾳ τῆς γῆς. ὡς δὲ πρὸς ὕπνον
ἐτρέπετο ὁ Τριπτόλεμος, ἐνταῦθα Ἀνθείαν παῖδα
Εὐμήλου τοὺς δράκοντάς φασιν ὑπὸ τοῦ Τριπτολέμου
τὸ ἅρμα ζεύξαντα ἐθελῆσαι καὶ αὐτὸν σπεῖραι. καὶ
τὸν μὲν ἐπιλαμβάνει τὸ χρεὼν, ἐκπεσόντα τοῦ ἅρμα-
τος· Τριπτόλεμος δὲ καὶ Εὔμηλος Ἄνθειαν πόλιν
οἰκίζουσιν ἐν κοινῷ τοῦ Εὐμήλου παιδὸς ἐπώνυμον.
ᾠκίσθη δὲ καὶ τρίτη μεταξὺ Ἀνθείας καὶ Ἀρόης
Μεσάτις πόλις. Ὁπόσα δὲ οἱ Πατρεῖς περὶ Διονύ- 3
σου λέγουσι, τραφῆναί τε αὐτὸν ἐν τῇ Μεσάτει, καὶ
ἐνταῦθα ἐπιβουλευόμενον ὑπὸ Πανῶν, ἐς παντοῖον
ἀφικέσθαι κίνδυνον, οὐκ ἐναντιούμενος τοῖς Πατρεῦσι
τῆς Μεσάτεως τὸ ὄνομα, αὐτοῖς σφισιν ἐξηγεῖσθαι
παρίημι. Ἀχαιῶν δὲ ὕστερον ἐκβαλόντων Ἴωνας,
Πατρεὺς ὁ Πρευγένους τοῦ Ἀγήνορος ἐς μὲν Ἄνθειαν
καὶ ἐς Μεσάτιν μὴ ἐνοικίζεσθαι τοῖς Ἀχαιοῖς ἀπεῖ-
πε· περίβολον δὲ τείχους πρὸς τῇ Ἀρόῃ βαλόμενος
μείζονα, ἵνα ἐντὸς τοῦ περιβόλου καὶ ἡ Ἀρόη γένη-
ται, ὄνομα ἔθετο ἀφ' ἑαυτοῦ Πάτρας τῇ πόλει.
Ἀγήνωρ δὲ ὁ πατὴρ τοῦ Πρευγένους Ἀρέως παῖς ἦν 4
τοῦ Ἄμπυκος· ὁ δὲ Ἄμπυξ Πελίου τοῦ Αἰγινήτου
τοῦ Δηρείτου τοῦ Ἁρπάλου τοῦ Ἀμύκλα τοῦ Λακε-
δαίμονος. Πατρεῖ μὲν τοιαῦτα ἐς τοὺς προγόνους
ὑπάρχοντα ἦν. Ἰδίᾳ δὲ ἀνὰ χρόνον Πατρεῖς διέβη- 5
σαν ἐς Αἰτωλίαν Ἀχαιῶν μόνοι κατὰ φιλίαν τὴν Αἰτω-
λῶν, τὸν πόλεμόν σφισι τὸν πρὸς Γαλάτας συνδιοί-
σοντες.

4) οἰκίσαι] Cum *Sylburgio* rescripsi pro οἰκῆσαι, re ipsa ita postulante.

σαντες. προσπταίσαντες δ' ἐν ταῖς μάχαις λόγου μειζόνως, καὶ ὑπὸ πενίας ἅμα οἱ πολλοὶ πιεζόμενοι, Πάτρας μὲν πλὴν ὀλίγων τινῶν ἐκλείπουσιν· οἱ δὲ ἄλλοι κατὰ χώραν ὑπὸ Φιλεργίας ἐσκεδάσθησαν, καὶ πολίσματα παρὲξ αὐτὰς Πάτρας τοσάδε ἄλλα ᾤκησαν, Μεσάτιν, καὶ Ἄνθειαν, καὶ Βολίνην [5]), καὶ Ἀργυρᾶν τε καὶ Ἀρβᾶν [6]). Αὔγουστος δὲ ἢ τοῦ παράπλου νομίζων κεῖσθαι καλῶς τὰς Πάτρας, ἢ κατ' ἄλλην τινὰ αἰτίαν, ἐπανήγαγεν αὖθις ἐκ τῶν πολισμάτων τῶν ἄλλων τοὺς ἄνδρας ἐς τὰς Πάτρας· προσσυνῴκισε [7]) δέ σφισι καὶ Ἀχαιοὺς τοὺς ἐκ Ῥυπῶν, καταβαλὼν ἐς ἔδαφος Ῥύπας. καὶ ἔδωκε μὲν ἐλευθέροις Ἀχαιῶν μόνοις τοῖς Πατρεῦσιν εἶναι· ἔδωκε δὲ καὶ ἐς τὰ ἄλλα γέρας σφίσιν, ὁπόσα τοῖς ἀποίκοις
6 νέμειν οἱ Ῥωμαῖοι νομίζουσι. Πατρεῦσι δὲ ἐν ἄκρᾳ τῇ πόλει Λαφρίας ἱερόν ἐστιν Ἀρτέμιδος· ξενικὸν μὲν τῇ θεῷ τὸ ὄνομα, εἰσηγμένον δὲ ἑτέρωθεν καὶ τὸ ἄγαλμα. Καλυδῶνος γὰρ καὶ Αἰτωλίας τῆς ἄλλης ὑπὸ Αὐγούστου βασιλέως ἐρημωθείσης διὰ τὸ ἐς τὴν [8]) Νικόπολιν τὴν ὑπὲρ τοῦ Ἀκτίου συνοικίζεσθαι καὶ τὸ Αἰτωλικόν, οὕτω τὸ ἄγαλμα τῆς Λαφρίας οἱ Πατρεῖς ἔσχον, ὡσαύτως δὲ καὶ ὅσα ἄλλα ἀγάλματα ἔκ τε Αἰτωλίας καὶ παρὰ Ἀκαρνάνων. τὰ μὲν πολλὰ ἐς τὴν Νικόπολιν κομισθῆναι [9]), Πατρεῦσι δὲ ὁ Αὔγου-

στος

5) Βολίνην] Sic ſcripſi ex Cap. 23. init. et Stephano v. Βολίνη. Vulgatum fuit Βολίμην.

6) Ἀρβᾶν] Rectius Ἀρόαν ex antecedentibus ſcribendum eſſe, bene monet *Sylburg*.

7) προσσυνῴκισε] Cum *Sylb.* repoſui pro vulgata προσσυνῴκησε.

8) ἐς τὴν] His vocibus vulgo male transpoſitis (τὴν ἐς) locum ſuum reddidi. Rem ipſam ſupra jam tetigit Pauſan. L. V. C. 23.

9) κομισθῆναι] Hunc infinitivum a ſubſequenti ἔδωκε regi arbitror. *Sylb.* ἐκέλευσε vel ſimile verbum excidiſſe putavit.

ςος ἄλλα τε τῶν ἐκ Καλυδῶνος λαφύρων, καὶ δὴ καὶ τῆς Λαφρίας ἔδωκε τὸ ἄγαλμα, ὃ δὴ καὶ ἐς ἐμὲ[10]) ἔτι ἐν τῇ ἀκροπόλει τῇ Πατρέων εἶχε τιμάς. γενέσθαι δὲ ἐπίκλησιν τῇ θεῷ Λαφρίαν ἀπὸ ἀνδρὸς Φωκέως φασί· Λάφριον γὰρ τὸν Καςαλίου τοῦ ἀδελφοῦ[11]) Καλυδωνίοις ἱδρύσασθαι τὸ ἄγαλμα τῆς Ἀρτέμιδος τὸ ἀρχαῖον. οἱ δὲ τῆς Ἀρτέμιδος τὸ μήνιμα τὸ ἐς Οἰνέα[12]) ἀνὰ χρόνον τοῖς Καλυδωνίοις ἐλαφρότερον γενέσθαι λέγουσι, καὶ αἰτίαν τῇ θεῷ τῆς ἐπικλήσεως ἐθέλουσιν εἶναι ταύτην. τὸ μὲν δὴ σχῆμα τοῦ ἀγάλματος θηρεύουσά ἐςιν· ἐλέφαντος δὲ καὶ χρυσοῦ πεποίηται[13])· Ναυπάκτιοι δὲ Μέναιχμος καὶ Σοΐδας εἰργάσαντο· τεκμαίρονται σφᾶς Κανάχου τοῦ Σικυωνίου καὶ τοῦ Αἰγινήτου Κάλλωνος οὐ πολλῷ γενέσθαι τινὶ ἡλικίαν ὑςέρους. Ἄγουσι δὲ καὶ Λαφρία ἑορτὴν 7.
τῇ Ἀρτέμιδι οἱ Πατρεῖς ἀνὰ πᾶν ἔτος, ἐν ᾗ τρόπος ἐπιχώριος θυσίας ἐςὶν αὐτοῖς. περὶ μὲν τὸν βωμὸν ἐν κύκλῳ ξύλα ἱςᾶσιν ἔτι χλωρά, καὶ ἐς ἑκκαίδεκα ἕκαςο: πήχεις· ἐντὸς δὲ τοῦ βωμοῦ τὰ αὐότατά σφισι τῶν ξύλων κεῖται. μηχανῶνται δὲ ὑπὸ τὸν καιρὸν τῆς ἑορτῆς καὶ ἄνοδον ἐπὶ τὸν βωμόν, λειοτέραν ἐπιφέροντες γῆν ἐπὶ τοῦ βωμοῦ τοὺς ἀναβαθμούς. πρῶτα μὲν δὴ πομπὴν μεγαλοπρεπεςάτην τῇ Ἀρτέμιδι πομπεύουσι, καὶ ἱερουμένη παρθένος ὀχεῖται τελευταία τῆς πομπῆς ἐπὶ ἐλάφων ὑπὸ τὸ ἅρμα ἐζευγ-

10) ἐς ἐμὲ] Restitui ἐς ex Cod. Mosc. pro ἐπ'. Sic enim loqui amat Pausanias, et ἐπὶ hoc sensu locum habere nequit, nisi adjecto genitivo ἐμοῦ.

11) τοῦ ἀδελφοῦ] *Amas.* legisse videtur τὸν ἀδελφόν. Sed τοῦ Δελφοῦ potius scribendum esse, admodum probabile est. De Delpho et Castalio vide L. X. C. 6.

12) Ἀρτέμιδος — Οἰνέα] Vide Apollodor. L. I. C. 8. p. 33.

13) πεποίηται] Ex Cod. Mosc. dedi pro vulgata πεποιημένη.

ἐζευγμένων. ἐς δὲ τὴν ἐπιοῦσαν, τηνικαῦτα ἤδη δρᾷν τὰ ἐς τὴν θυσίαν νομίζουσι, δημοσίᾳ τε ἡ πόλις οὐχ ἧσσον ἐς τὴν ἑορτὴν ἢ οἱ ἰδιῶται φιλοτίμως ἔχουσιν. ἐσβάλλουσι γὰρ ζῶντας ἐς τὸν βωμὸν, ὄρνιθάς τε τοὺς ἐδωδίμους, καὶ ἱερεῖα ὁμοίως ἅπαντα, ἔτι δὲ ὗς ἀγρίους, καὶ ἐλάφους τε καὶ δορκάδας, οἱ δὲ καὶ λύκων καὶ ἄρκτων σκύμνους, οἱ δὲ καὶ τὰ τέλεια τῶν θηρίων· κατατιθέασι δὲ ἐπὶ τὸν βωμὸν καὶ δένδρων καρπὸν τῶν ἡμέρων. τὸ δὲ ἀπὸ τούτου πῦρ ἐνιᾶσιν ἐς τὰ ξύλα. ἐνταῦθά που καὶ ἄρκτον καὶ ἄλλο τι ἐθεασάμην τῶν ζώων, τὰ μὲν ὑπὸ τὴν πρώτην ὁρμὴν τοῦ πυρὸς βιαζόμενα ἐς τὸ ἐκτὸς, τὰ δὲ καὶ ἐκφεύγοντα ὑπὸ ἰσχύος· ταῦτα οἱ ἐμβαλόντες ἐπανάγουσιν αὖθις ἐς τὴν πυράν. τρωθῆναι δὲ οὐδένα ὑπὸ θηρίων μνημονεύουσιν.

## CAPUT XIX.

De Eurypyli monumento et Diana Triclaria — Comaetho et Melanippo — Eurypyli arca.

Ἔστι δὲ ἐν τῷ μεταξὺ τοῦ ναοῦ τε τῆς Λαφρίας καὶ τοῦ βωμοῦ πεποιημένον μνῆμα Εὐρυπύλου. τὰ δὲ, ὅστις τε ὢν καὶ καθ' ἥντινα αἰτίαν ἀφίκετο ἐς τὴν γῆν ταύτην, δηλώσει μοι καὶ ταῦτα ὁ λόγος προδιηγησαμένῳ [1]) πρότερον, ὁποῖα ὑπὸ τοῦ Εὐρυπύλου τὴν ἐπιδημίαν τοῖς ἐνταῦθα ἦν τὰ παρόντα ἀνθρώποις. Ἰώνων τοῖς Ἀρόην καὶ Ἄνθειαν καὶ Μεσάτιν οἰκοῦσιν ἦν ἐν κοινῷ [2]) τέμενος καὶ ναὸς Ἀρτέμιδος Τρικλαρίας ἐπίκλησιν,

1) προδιηγησαμένῳ] Ex utroque Codice restitui pro vulgato προηγησαμένῳ.

2) ἐν κοινῷ] Cum *Sylb.* et *Kuhn.* rescripsi κοινῷ pro voce οἴκῳ hic prorsus aliena. Mox pro Τρικλαρίας Cod. Vind. Τρικαλλίων et Mosc. Τρικλαρίων.

κλησιν, καὶ ἑορτὴν οἱ Ἴωνες αὐτῇ καὶ παννυχίδα ἦγον
ἀνὰ πᾶν ἔτος. ἱερωσύνη δὲ εἴχετο[3]) τῆς θεοῦ παρ-
θένος, ἐς ὃ ἀποστέλλεσθαι παρὰ ἄνδρα ἔμελλε.
Λέγουσιν οὖν συμβῆναί ποτε, ἱερᾶσθαι μὲν τῆς θεοῦ 2
Κομαιθὼ τὸ εἶδος καλλίστην παρθένον, τυγχάνειν δὲ
αὐτῆς ἐρῶντα Μελάνιππον, τά τε ἄλλα τοὺς ἡλικιώ-
τας καὶ ὄψεως εὐπρεπείᾳ μάλιστα ὑπερηρκότα. ὡς
δὲ ὁ Μελάνιππος ἐς τὸ ἴσον τοῦ ἔρωτος ὑπηγάγετο
τὴν παρθένον, ἐμνᾶτο αὐτὴν παρὰ τοῦ πατρός.
ἕπεται δέ πως τῷ γήρᾳ τά τε ἄλλα ὡς τὸ πολὺ ἐν-
αντιοῦσθαι νέοις, καὶ οὐχ ἥκιστα ἐς τοὺς ἐρῶντας τὸ
ἀνάλγητον· ὅπου καὶ Μελανίππῳ τότε ἐθέλοντι
ἐθέλουσαν ἀνάγεσθαι Κομαιθὼ, οὔτε παρὰ τῶν
ἑαυτοῦ γονέων, οὔτε παρὰ τῶν Κομαιθοῦς ἥμερον
ἀπήντησεν οὐδέν. ἐπέδειξε[4]) δὲ ἐπὶ πολλῶν τε δὴ
ἄλλων καὶ ἐν τοῖς Μελανίππου παθήμασιν, ὡς
μέτεστιν ἔρωτι καὶ ἀνθρώπων συγχέαι νόμιμα, καὶ
ἀναστρέψαι θεῶν τιμάς· ὅπου καὶ τότε ἐν τῷ τῆς
Ἀρτέμιδος ἱερῷ Κομαιθὼ καὶ Μελάνιππος ἐξέπλησαν
τοῦ ἔρωτος τὴν ὁρμήν. καὶ οἱ μὲν ἔμελλον τῷ ἱερῷ
καὶ ἐς τὸ ἔπειτα ἴσα καὶ θαλάμῳ χρήσεσθαι· τοὺς
δὲ ἀνθρώπους αὐτίκα ἐξ Ἀρτέμιδος μήνιμα ἔφθειρε,
τῆς τε γῆς καρπὸν οὐδὲν ἀποδιδούσης, καὶ νόσοι
σφίσιν οὐ κατὰ τὰ εἰωθότα, καὶ ἐπ᾽ αὐτῶν θάνατοι
πλέονες ἢ τὰ πρότερα ἐγίνοντο. καταφυγόντων δὲ
αὐτῶν ἐπὶ χρηστήριον τὸ ἐν Δελφοῖς, ἤλεγχεν ἡ Πυθία
Μελάνιππον καὶ Κομαιθώ· καὶ ἐκείνους τε αὐτοὺς
μάντευμα ἀφίκετο θῦσαι τῇ Ἀρτέμιδι, καὶ ἀνὰ πᾶν
ἔτος

3) εἴχετο] Uterque Cod. εἶχε, et mox ante ἱερᾶσθαι Cod. Vind. ὡς exhibet.

4) ἐπέδειξε] ſcil. ὁ ἔρως ex ſubſequentibus.

ἔτος παρθένον καὶ παῖδα, οἳ τὸ εἶδος εἶεν κάλλιστοι τῇ θεῷ θύειν. ταύτης μὲν δὴ τῆς θυσίας εἵνεκα ὁ ποταμὸς ὁ πρὸς τῷ ἱερῷ τῆς Τρικλαρίας[5]) Ἀμείλιχος ἐκλήθη· τέως δὲ ὄνομα εἶχεν οὐδέν. παίδων δὲ καὶ παρθένων ὁπόσοι μὲν ἐς τὴν θεὸν οὐδὲν εἰργασμένοι Μελανίππου καὶ Κομαιθοῦς εἵνεκα ἀπώλλυντο, αὐτοί τε οἰκτρότατα καὶ οἱ προσήκοντές σφισιν ἔπασχον. Μελάνιππον δὲ καὶ Κομαιθῶ συμφορᾶς ἐκτὸς γενέσθαι τίθεμαι. μόνῳ γὰρ δὴ ἀνθρώπῳ ψυχῆς ἐστιν ἀντάξιον κατορθῶσαί τινα ἐρασθέντα.

3 Παύσασθαι δὴ οὕτω λέγονται θύοντες τῇ Ἀρτέμιδι ἀνθρώπους. ἐκέχρητο γὰρ αὐτοῖς πρότερον ἔτι ἐκ Δελφῶν, ὡς βασιλεὺς ξένος παραγενόμενός σφισιν ἐπὶ τὴν γῆν, ξενικὸν ἅμα ἀγόμενος δαίμονα, τὰ ἐς τὴν θυσίαν τῆς Τρικλαρίας παύσει. Ἰλίου δὲ ἁλούσης, καὶ νεμομένων τὰ λάφυρα τῶν Ἑλλήνων, Εὐρύπυλος ὁ Εὐαίμονος λαμβάνει λάρνακα· Διονύσου δὲ ἄγαλμα ἦν ἐν τῇ λάρνακι, ἔργον μὲν (ὥς φασιν) Ἡφαίστου, δῶρον δὲ ὑπὸ Διὸς ἐδόθη Δαρδάνῳ. λέγονται δὲ καὶ ἄλλοι δύο λόγοι ἐς αὐτήν· ὡς, ὅτε ἔφυγεν Αἰνείας, ἀπολίποι ταύτην τὴν λάρνακα· οἱ δὲ ῥιφῆναί φασιν αὐτὴν ὑπὸ Κασάνδρας, συμφορὰν τῷ εὑρόντι Ἑλλήνων. ἤνοιξε δ' οὖν ὁ Εὐρύπυλος τὴν λάρνακα, καὶ εἶδεν τὸ[6]) ἄγαλμα, καὶ αὐτίκα ἦν ἔκφρων μετὰ τὴν θέαν· τὰ μὲν δὴ πλείονα ἐμαίνετο, ὀλιγάκις δὲ ἐγίνετο ἐν ἑαυτῷ. ἅτε δὲ οὕτω διακείμενος, οὐκ ἐς τὴν Θεσσαλίαν τὸν πλοῦν ἐποιεῖτο, ἀλλ' ἐπί τε Κίῤῥαν καὶ ἐς τὸν ταύτῃ[7]) κόλπον· ἀνα-

βὰς

5) Τρικλαρίας] Cod. Vind. Τρικαλλίας, et ita quoque constanter infra.

6) εἶδεν τὸ] ἐς in vulgatis ante τὸ infertum ex utroque Codice delevi.

7) ταύτῃ] Ex Codice Mosc. reposui pro mendoso ταύτην.

βὰς δὲ ἐς Δελφοὺς ἐχρᾶτο ὑπὲρ τῆς νόσου [8]). καὶ αὐτῷ γενέσθαι λέγουσι μάντευμα, ἔνθα ἂν ἐπιτύχῃ θύουσιν ἀνθρώποις θυσίαν ξένην, ἐνταῦθα ἱδρύσασθαί τε τὴν λάρνακα, καὶ αὐτὸν οἰκῆσαι. ὁ μὲν δὴ ἄνεμος τὰς ναῦς τοῦ Εὐρυπύλου κατήνεγκεν ἐπὶ τὴν πρὸς τῇ Ἀρόῃ θάλασσαν. ἐκβὰς δὲ ἐς τὴν γῆν, καταλαμβάνει παῖδα καὶ παρθένον ἐπὶ τὸν βωμὸν τῆς Τρικλαρίας ἠγμένους· καὶ ὁ μὲν ἔμελλεν οὐ χαλεπῶς συνήσειν τὰ ἐς τὴν θυσίαν. ἀφίκοντο δὲ ἐς μνήμην καὶ οἱ ἐπιχώριοι [9]) τοῦ χρησμοῦ, βασιλέα τε ἰδόντες, ὃν οὔπω πρότερον ἑωράκεσαν, καὶ ἐς τὴν λάρνακα ὑπενόησαν, ὡς εἴη τὶς ἐν αὐτῇ θεός. καὶ οὕτω τῷ Εὐρυπύλῳ τε ἡ νόσος καὶ τοῖς ἐνταῦθα ἀνθρώποις τὰ ἐς τὴν θυσίαν ἐπαύσθη, τό τε ὄνομα ἐτέθη τὸ νῦν τῷ ποταμῷ Μείλιχος. ἔγραψαν δὲ ἤδη τινὲς, οὐ τῷ Θεσσαλῷ συμβάντα Εὐρυπύλῳ τὰ εἰρημένα· ἀλλὰ Εὐρύπυλον Δεξαμενοῦ παῖδα τοῦ ἐν Ὠλένῳ βασιλεύσαντος ἐθέλουσιν ἅμα Ἡρακλεῖ στρατεύσαντα ἐς Ἴλιον, λαβεῖν παρὰ τοῦ Ἡρακλέους τὴν λάρνακα· τὰ δὲ ἄλλα κατὰ τὰ αὐτὰ εἰρήκασι καὶ οὗτοι. ἐγὼ δὲ οὔτε Ἡρακλέα ἀγνοῆσαι τὰ ἐς τὴν λάρνακα, εἰ δὴ τοιαῦτα ἦν, πείθομαι· οὔτε τὰ ἐς αὐτὴν ἐπιστάμενος δοκεῖ μοι ποτὲ ἂν δοῦναι δῶρον συμμαχήσοντι ἀνδρί· οὔτε μὲν οἱ Πατρεῖς ἄλλον τινὰ ἢ τὸν Εὐαίμονος ἔχουσιν Εὐρύπυλον ἐν μνήμῃ· οἷ καὶ [10]) ἐναγίζουσιν ἀνὰ πᾶν ἔτος, ἐπειδὰν τῷ Διονύσῳ τὴν ἑορτὴν ἄγωσι.

8) νόσου] scil. *insaniae*. Sed Cod. Mosc. dat νόστου. Quam lectionem ut praeferam, oraculi responso moveor, quod magis ad reditum pertinet, quam ad insaniae medelam.

9) οἱ ἐπιχ.] Reddidi οἱ ex Cod. Mosc.

10) οἳ καὶ] Uterque Cod. καὶ οἱ καί.

 CAPUT

## CAPUT XX.

De deo Aeſymneta dicto ejusque cultu — Minerva Panachaïde ac templis ſignisque deorum in urbe Patrenſium — odeo Patrenſium et Athenienſium — templo Dianae Limnatidis — aliis templis et ſignis.

Τῷ θεῷ δὲ τῷ ἐντὸς τῆς λάρνακος ἐπίκλησις μέν ἐστιν Αἰσυμνήτης [1]). οἱ δὲ αὐτὸν ἐς τὰ μάλιστα θεραπεύοντες, ἐννέα τέ εἰσιν ἄνδρες, οὓς ἂν ἐκ πάντων ὁ δῆμος προέληται κατ' ἀξίωμα, καὶ ἴσαι γυναῖκες τοῖς ἀνδράσι. μιᾷ δὲ ἐν τῇ ἑορτῇ νυκτὶ εἰς τὸ ἐντὸς φέρει τὴν λάρνακα ὁ ἱερεύς· αὕτη μὲν δὴ ἡ νὺξ γέρας τοῦτο εἴληφε. καταβαίνουσι δὲ καὶ ὁπόσοι δὴ τῶν ἐπιχωρίων παῖδες ἐπὶ τὸν Μείλιχον ἀστάχυσιν ἐστεφανωμένοι τὰς κεφαλάς· ἐκόσμουν δὲ οὕτω καὶ τὸ ἀρχαῖον, οὓς ἄγοιεν τῇ Ἀρτέμιδι θύοντες [2]). τὰ δὲ ἐφ' ἡμῶν στεφάνους μὲν τῶν ἀσταχύων ἀποτίθενται παρὰ τῷ θεῷ· λουσάμενοι δὲ τῷ ποταμῷ, καὶ αὖθις στεφάνους ἐπιθέμενοι κισσοῦ, πρὸς τὸ ἱερὸν ἴασι τοῦ Αἰσυμνήτου. ταῦτα μέν σφισιν οὕτω δρᾷν καθέστηκε.

2 Τοῦ περιβόλου δέ ἐστιν ἐντὸς τῆς Λαφρίας καὶ Ἀθηνᾶς ναὸς ἐπίκλησιν Παναχαΐδος· ἐλέφαντος τὸ ἄγαλμα καὶ χρυσοῦ. ἐρχομένῳ δὲ ἐς τὴν κάτω πόλιν μητρὸς Δινδυμήνης ἐστὶν ἱερὸν, ἐν δὲ αὐτῷ καὶ Ἄττης ἔχει τιμάς. τούτου μὲν δὴ τὸ ἄγαλμα οὐδὲν ἀποφαίνου-

1) Αἰσυμνήτης] h. e. *rex*, *dominus*. Ariſtot. Politic. L. III. C. 10. p. 196. edit. Conring. δύο μὲν οὖν εἴδη ταῦτα μοναρχίας· ἕτερον δὲ, ὅπερ ἦν τοῖς ἀρχαίοις Ἕλλησιν, οὓς καλοῦσιν αἰσυμνήτας· et L. III. C. 11. in fine. Heſych. αἰσυμνᾷ, βασιλεύει, ἄρχει, et v. αἰσυμνῆται, ubi vide not. Conf. etiam Suid. v. τύραννος ac Begeri Theſaur. Brandenb. T. I. p. 90.

2) οὓς — θύοντες] Vide ſupra C. 19.

φαίνουσι· τὸ δὲ τῆς μητέρος λίθου πεποίηται. ἔστι δὲ ἐν τῇ ἀγορᾷ Διὸς ναὸς Ὀλυμπίου, αὐτός τε ἐπὶ θρόνου, καὶ ἑστῶσα Ἀθηνᾶ παρὰ τὸν θρόνον. τῆς τε Ἥρας ἄγαλμα τοῦ Ὀλυμπίου πέραν, ἱερόν τε Ἀπόλλωνος πεποίηται, καὶ Ἀπόλλων χαλκοῦς γυμνὸς ἐσθῆτος· ὑποδήματα δὲ ὑπὸ τοῖς ποσίν ἐστιν αὐτῷ, καὶ ἑτέρῳ ποδὶ ἐπὶ κρανίου βέβηκε βοός. βουσὶ γὰρ χαίρειν μάλιστα Ἀπόλλωνα Ἀλκαῖός τε ἐδήλωσεν ἐν ὕμνῳ τῷ ἐς Ἑρμῆν γράψας, ὡς ὁ Ἑρμῆς βοῦς ὑφέλοιτο τοῦ Ἀπόλλωνος· καὶ ἔτι πρότερον, ἢ Ἀλκαῖον γενέσθαι, πεποιημένα ἦν Ὁμήρῳ, βοῦς Ἀπόλλωνα Λαομέδοντος ἐπὶ μισθῷ νέμειν, καὶ Ποσειδῶνι περιέθηκεν ἐν Ἰλιάδι τὰ ἔπη·

Ἤτοι ἐγὼ[3]) Τρώεσσι πόλιν πέρι τεῖχος ἔδειμα
Εὐρύ τε καὶ μάλα καλὸν, ἵν' ἄῤῥηκτος πόλις εἴη·
Φοῖβε σὺ δ' εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες.

τὰ μὲν δὴ ἐς τὸ κρανίον τοῦ βοὸς ἐπὶ τοιῷδε ἄν τις εἰκάσειε πεποιῆσθαι. ἔστι δ' ἐν ὑπαίθρῳ τῆς ἀγορᾶς ἄγαλμά τε Ἀθηνᾶς, καὶ πρὸ αὐτοῦ Πατρέως τάφος. Ἔχεται δὲ τῆς ἀγορᾶς τὸ ᾠδεῖον, καὶ Ἀπόλλων ἐν- 3
ταῦθα ἀνάκειται θέας ἄξιος· ἐποιήθη δὲ ἀπὸ λαφύρων, ἡνίκα ἐπὶ τὸν στρατὸν τῶν Γαλατῶν οἱ Πατρεῖς ἤμυναν Αἰτωλοῖς Ἀχαιῶν μόνοι. κεκόσμηται δὲ καὶ ἐς ἄλλα τὸ ᾠδεῖον ἀξιολογώτατα τῶν ἐν Ἕλλησι, πλήν γε δὴ τοῦ Ἀθήνησι· τοῦτο γὰρ μεγέθει τε καὶ ἐς τὴν πᾶσαν ὑπερῆρκε κατασκευήν· ἀνὴρ δὲ Ἀθηναῖος ἐποίησεν Ἡρώδης ἐς μνήμην ἀποθανούσης γυναικός [4]). ἐμοὶ δὲ ἐν τῇ Ἀτθίδι συγγραφῇ τὸ ἐς



3) Ἤτοι ἐγὼ etc.] Vide Iliad. Φ. v. 446.

4) ἀνὴρ — γυναικός] Nomen uxoris Herodis Regilla fuit. Vide Philostrat. Vit. Sophist. L. II. 1. §. 5. et 8.

τοῦτο παρείθη τὸ ᾠδεῖον, ὅτι πρότερον ἔτι ἐξείργαστό μοι τὰ ἐς Ἀθηναίους, ἢ ὑπῆρκτο Ἡρώδης τοῦ οἰκοδομήματος. ἐν Πάτραις δὲ ἰόντι ἐκ τῆς ἀγορᾶς ᾗ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος, πύλη κατὰ τὴν ἔξοδόν ἐστι ταύτην, καὶ ἐπιθήματα ἐπὶ τῆς πύλης ἀνδριάντες εἰσὶν ἐπίχρυσοι, Πατρεύς τε καὶ Πρευγένης καὶ Ἀθερίων, οἱ Πατρέως ἡλικίαν παιδὸς ἔχοντες⁵) καὶ αὐτοὶ
4 παῖδές εἰσι. Τῆς δὲ ἀγορᾶς ἄντικρυς κατὰ ταύτην τὴν ἔξοδον τέμενός ἐστιν Ἀρτέμιδος καὶ ναὸς Λιμνάτιδος. ἐχόντων δὲ ἤδη Λακεδαίμονα καὶ Ἄργος Δωριέων, ὑφελέσθαι Πρευγένην τῆς Λιμνάτιδος τὸ ἄγαλμα κατὰ ὄψιν ὀνείρατος ἐκ Σπάρτης λέγουσι, κοινωνῆσαι δὲ αὐτῷ τοῦ ἐγχειρήματος τῶν δούλων τὸν εὐνούστατον. τὸ δὲ ἄγαλμα τὸ ἐκ τῆς Λακεδαίμονος τὸν μὲν ἄλλον χρόνον ἔχουσιν ἐν Μεσόᾳ⁶), ὅτι καὶ ἐξ ἀρχῆς ὑπὸ τοῦ Πρευγένους ἐς τοῦτο ἐκομίσθη τὸ χωρίον· ἐπειδὰν δὲ τῇ Λιμνάτιδι τὴν ἑορτὴν ἄγουσι, τῆς θεοῦ τῶν τις οἰκετῶν ἐκ Μεσόας ἔρχεται τὸ ξόανον κομίζων τὸ ἀρχαῖον ἐς τὸ τέμενος τὸ ἐν τῇ πόλει.
5 Τούτου δὲ τοῦ τεμένους ἐστὶ καὶ ἄλλα τοῖς Πατρεῦσιν ἱερά· πεποίηται δὲ ταῦτα οὐκ ἐν ὑπαίθρῳ, ἀλλὰ ἔσοδος ἐς αὐτὰ διὰ τῶν στοῶν ἐστι. τὸ μὲν δὴ ἄγαλμα τοῦ Ἀσκληπιοῦ, πλὴν ἐσθῆτος, λίθου τὰ ἄλλα· Ἀθηνᾶ δὲ ἐλέφαντος εἴργασται καὶ χρυσοῦ. πρὸ δὲ τῆς Ἀθηνᾶς τοῦ ἱεροῦ Πρευγένους μνῆμά ἐστιν. ἐναγίζουσι δὲ καὶ τῷ Πρευγένει κατὰ ἔτος, ὡσαύτως δὲ καὶ πρὸς τὴν ἑορτὴν τῇ Λιμνάτιδι ἄγοντες⁷). τοῦ θεά-

5) ἔχοντες] Cod. Mosc. ἔχοντος.

6) ἐν Μεσόᾳ] Vide supra L. III. C. 16. p. 402. et ibi not. 18.

7) πρὸς τ. ἑ. τῇ Λ. ἄγοντες] Non suo loco hic esse praepositionem πρὸς, nemini non liquere puto; nec tamen illa sublata melius sese habet ver-

θεάτρου δὲ οὐ πόῤῥω Νεμέσεως ναὸς, καὶ ἕτερός ἐςιν Ἀφροδίτης· μεγέθει μεγάλα λίθου λευκοῦ τὰ ἀγάλματα.

## CAPUT XXI.

De Baccho Calydonio ac Corefi erga Calirrhoen amore — tribus Bacchi fignis eorumque nominibus — Neptuni cognominibus — templa et figna in urbe Patrenfium porro recenfentur — de miro Patrenfium oraculo prope fontem — oraculo Apollinis Thyrxei in Cyaneis et Sarapidis templis Patris — feminis Patrenfium.

Καὶ Διονύσου κατὰ τοῦτο τῆς πόλεως ἱερόν ἐςιν ἐπίκλησιν Καλυδωνίου· μετεκομίσθη γὰρ καὶ τοῦ Διονύσου τὸ ἄγαλμα ἐκ Καλυδῶνος. ὅτε δὲ ᾠκεῖτο ἔτι Καλυδὼν, καὶ ἄλλοι τε Καλυδωνίων ἐγένοντο ἱερεῖς τῷ θεῷ, καὶ δὴ καὶ Κόρεσος, ὃν ἀνθρώπων μάλιςα ἐπέλαβεν ἄδικα ἐξ ἔρωτος παθεῖν. ἤρα μὲν Καλλιρόης παρθένου· ὁπόσον δὲ ἐς Καλλιρόην ἔρωτος Κορέσῳ μετῆν, τοσοῦτον εἶχεν ἀπεχθείας ἐς αὐτὸν ἡ παρθένος. ὡς δὲ τοῦ Κορέσου δεήσεις τε ποιουμένου πάσας καὶ δώρων ὑποσχέσεις παντοίας οὐκ ἐνετρέπετο ἡ γνώμη τῆς παρθένου, κομίζεται ἱκέτης ἤδη παρὰ τοῦ Διονύσου τὸ ἄγαλμα. ὁ δὲ ἤκουσέ τε εὐχομένου τοῦ ἱερέως, καὶ οἱ Καλυδώνιοι τοπαραυτίκα ὥςπερ ὑπὸ

 μέθης

borum nexus. Cod. Mofc. mendofe exhibet πρὸς εἰς πρὸσ. Equidem pro πρὸς fcribendum effe cenfeo Πατρεῖ, quem hujus nominis dativum fimiliter fere corruptum in Codd. deprehendimus L. III. C. 2., ubi vide not. 2. Non patri autem folum, fed et filio, urbis conditori, parentatum effe, admodum eft credibile.

μέθης ἐγίνοντο ἔκφρονες, καὶ ἡ τελευτὴ σφᾶς παραπλῆγας ἐπελάμβανε. καταφεύγουσιν οὖν ἐπὶ τὸ χρηστήριον τὸ ἐν Δωδώνῃ· τοῖς γὰρ τὴν ἤπειρον ταύτην οἰκοῦσι, τοῖς τε Αἰτωλοῖς καὶ τοῖς προσχώροις αὐτῶν Ἀκαρνᾶσι καὶ Ἠπειρώταις, αἱ πέλειαι καὶ τὰ ἐκ τῆς δρυὸς μαντεύματα μετέχειν μάλιστα ἐφαίνετο ἀληθείας. τότε δὴ τὰ χρησθέντα ἐκ Δωδώνης Διονύσου μὲν ἔλεγεν εἶναι τὸ μήνιμα, ἔσεσθαι δὲ οὐ πρότερον λύσιν, πρὶν ἢ θύσῃ τῷ Διονύσῳ Κόρεσος ἢ αὐτὴν Καλλιρόην, ἢ τὸν ἀποθανεῖν ἀντ' ἐκείνης τολμήσαντα. ὡς δὲ οὐδὲν ἐς σωτηρίαν εὑρίσκετο ἡ παρθένος, δεύτερα ἐπὶ τοὺς θρεψαμένους καταφεύγει· ἁμαρτάνουσα δὲ καὶ τούτων, ἐλείπετο οὐδὲν ἔτι αὐτὴν[1]) φονεύεσθαι. προεξειργασθέντων δέ, ὁπόσα ἐς τὴν θυσίαν ἄλλα ἐκ Δωδώνης μεμαντευμένα ἦν, ἡ μὲν ἱερείου τρόπον ἦκτο ἐπὶ τὸν βωμόν· Κόρεσος δὲ ἐφεστήκει μὲν τῇ θυσίᾳ, τῷ δὲ ἔρωτι εἴξας καὶ οὐ τῷ θυμῷ, ἑαυτὸν ἀντὶ Καλλιρόης διεργάζεται. ὁ μὲν δὴ ἀπέδειξεν ἔργον[2]) ἀνθρώπων, ὧν ἴσμεν, διατεθεὶς ἐς ἔρωτα ἀπλαστότατα. καὶ Καλλιρόῃ τε, ὡς Κόρεσον τεθνεῶτα εἶδεν, μετέπεσε τῇ παιδὶ ἡ γνώμη· καὶ (ἐσῄει γὰρ αὐτὴν Κορέσου τε ἔλεος καὶ ὅσα ἐς αὐτὴν εἴργασται[3]) αἰδὼς) ἀπέσφαξεν αὐτὴν ἐς τὴν πηγήν, τοῦ λιμένος ἣ ἐν Καλυδῶνί ἐστιν οὐ πόρρω· καὶ ἀπ' ἐκείνης οἱ ἔπειτα
2 ἄνθρωποι Καλλιρόην τὴν πηγὴν καλοῦσι. Τοῦ θεάτρου δὲ ἐγγὺς πεποίηται Πατρεῦσι γυναικὸς ἐπιχωρίας τέμε-

1) οὐδὲν ἔτι αὐτὴν] Post ἔτι excidisse ἢ, recte monuit *Kuhn.*

2) ἀπέδειξεν ἔργον] *Sylb.* mavult ἔργῳ.

3) καὶ ὅσα ἐς αὐτὴν εἰργ.] *quae Coresus patravit, quod ad ipsam attinet etc.* Sed *Sylb.* scribendum censet ἐς αὐτόν.

τέμενος. Διονύσου δέ ἐςιν ἐνταῦθα ἀγάλματα, ἶσοί
τε [4]) τοῖς Ἀχαιοῖς πολίσμασι καὶ ὁμώνυμοι· Μεσα-
δεὺς [5]) γὰρ καὶ Ἀνθεύς τε καὶ Ἄρευς ἐςὶν αὐτοῖς
τὰ ὀνόματα. ταῦτα τὰ ἀγάλματα ἐν τῇ Διονύσου
ἑορτῇ κομίζουσιν ἐς τὸ ἱερὸν τοῦ Αἰσυμνήτου· τὸ δὲ
ἱερὸν τοῦτο ἐς τὰ ἐπὶ θαλάσσῃ τῆς πόλεώς ἐςιν,
ἐρχομένοις ἔτι ἐκ τῆς ἀγορᾶς ἐν δεξιᾷ τῆς ὁδοῦ.
ἀπὸ δὲ τοῦ Αἰσυμνήτου κατωτέρω ἰόντι ἄλλο ἱερὸν
καὶ ἄγαλμα λίθου· καλεῖται μὲν Σωτηρίας, ἱδρύ-
σασθαι δὲ αὐτὸ ἐξ ἀρχῆς ἀποφυγόντα φασὶ τὴν
μανίαν Εὐρύπυλον. Πρὸς δὲ τῷ λιμένι Ποσειδῶνός 3
τε ναὸς καὶ ἄγαλμά ἐςιν ὀρθὸν λίθου. Ποσειδῶνι δὲ
παρὲξ ὁπόσα ὀνόματα ποιηταῖς πεποιημένα ἐςὶν ἐς
ἐπῶν κόσμον, καὶ ἰδίᾳ σφίσιν ἐπιχώρια ὄντα ἕκαςοι
τίθενται. τόσαι δὲ ἐς ἅπαντας γεγόνασιν ἐπικλήσεις
αὐτῷ· Πελαγαῖος [6]), καὶ Ἀσφαλιαῖός [7]) τε καὶ
Ἵππιος. ὠνομάσθαι δὲ Ἵππιον τὸν θεὸν πείθοιτο μὲν
ἄν τις καὶ ἐπ' αἰτίαις ἄλλαις· ἐγὼ δὲ εὑρετὴν ἱππι-
κῆς ὄντα ἀπὸ τούτου σχεῖν καὶ τὸ ὄνομα εἰκάζω.
Ὅμηρος [8]) μέν γε ἐν ἵππων ἄθλοις Μενελάῳ κατὰ
τοῦ θεοῦ τούτου πρόκλησιν περιέθηκεν ὅρκου [9])·

Ἵππων ἁψάμενος γαιήοχον ἐννοσίγαιον
Ὄμνυθι μηδὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι.



4) ἶσοί τε] Scil. οἱ Διόνυσοι. Mox pro τοῖς Ἀχαιοῖς mallem τοῖς Ἀχαιῶν.

5) Μεσαδεὺς] Rectius forte Μεσατεὺς ab urbe Μεσάτις.

6) Πελαγαῖος] Genuina scriptura forte fuerit Πελαγεῖος vel Πελάγιος.

7) Ἀσφαλιαῖός] Cod. Mosc. Ἀσφάλιος, et ita legendum esse jam supra docuimus ad L. III. C. 11. not. 12.

8) Ὅμηρος] Vide Iliad. ψ. v. 584., ubi in vulgato Homeri textu legitur μὴ μὲν pro μηδέν,

9) ὅρκου] Restitui ex Cod. Mosc. pro ὅρκον, *Kuhnio* jam illud conjiciente.

Πάμφως δὲ, ὃς Ἀθηναίοις τοὺς ἀρχαιοτάτους ὕμνων ἐποίησεν, εἶναί φησι τὸν Ποσειδῶνα

Ἵππων τε δοτῆρα νεῶν τ' ἰθυκρηδέμνων.

οὕτω διὰ τὴν ἱππικὴν καὶ οὐκ ἀπὸ ἑτέρας προφάσεως
4 τὸ ὄνομα ἔσχηκεν. Ἐν Πάτραις δὲ οὐ πολὺ ἀπωτέρω τοῦ Ποσειδῶνος ἱερά ἐϛιν Ἀφροδίτης· τὸ δὲ ἕτερον τῶν ἀγαλμάτων [10]) γενεᾷ πρότερον ἢ κατ' ἐμὲ ἁλιεῖς ἄνδρες ἀνείλκυσαν ἐν δικτύῳ. ἔϛι δὲ καὶ ἀγάλματα τοῦ λιμένος ἐγγυτάτω χαλκοῦ πεποιημένα Ἄρεως, τὸ δὲ Ἀπόλλωνος. καὶ Ἀφροδίτης πρὸς τῷ λιμένι δέ ἐϛι τέμενος [11])· λίθου μὲν πρόσωπον καὶ ἄκραι χεῖρες καὶ πόδες, ξύλου δὲ τὰ λοιπὰ εἴργαϛαι. ἔϛι δέ σφισι [12]) καὶ ἄλσος ἐπὶ θαλάσσῃ, δρόμους τε ἐπιτηδειοτάτους καὶ ἐς τὰ ἄλλα δίαιταν ἡδεῖαν ὥρᾳ παρεχόμενον θερινῇ. ἐν τούτῳ τῷ ἄλσει καὶ ναοὶ θεῶν Ἀπόλλωνος, ὁ δὲ Ἀφροδίτης πεποίηνται [13])· λίθου καὶ τούτοις τὰ ἀγάλματα. τοῦ δὲ ἄλσους ἱερὸν ἔχεται Δήμητρος· αὕτη μὲν καὶ ἡ παῖς ἑϛᾶσι, τὸ δὲ
5 ἄγαλμα τῆς Γῆς ἐϛι καθήμενον. Πρὸ δὲ τοῦ ἱεροῦ τῆς Δήμητρός ἐϛι πηγή. ταύτης τὰ μὲν πρὸ τοῦ ναοῦ λίθων ἀνέϛηκεν αἱμασιά· κατὰ δὲ τὸ ἐκτὸς κάθοδος ἐς αὐτὴν πεποίηται. μαντεῖον δὲ ἐνταῦθά ἐϛιν ἀψευδὲς, οὐ μὴν ἐπὶ παντί γε πράγματι, ἀλλὰ ἐπὶ τῶν καμνόντων. κάτοπτρον καλωδίῳ τῶν λεπτῶν δήσαντες καθιᾶσι, ϛαθμώμενοι μὴ πρόσω καθικέσθαι τῆς πηγῆς, ἀλλ' ὅσον ἐπιψαῦσαι τοῦ ὕδατος

10) τὸ δὲ ἕτερον τ. ἀγ.] ſcilicet Ἀφροδίτης.

11) τέμενος] Hic verba καὶ ἄγαλμα vel, uti *Kuhn.* putat, excidiſſe, vel potius ſupplenda eſſe, quae mox ſubſequuntur, docent.

12) σφισι] ſcil. Patrenſibus.

13) ὁ δὲ Ἀφρ. πεποίηνται] Cod. Moſc. ὁ δὲ Ἀφρ. πεποίηται.

τος τῷ κύκλῳ τοῦ κατόπτρου. τὸ δὲ ἐντεῦθεν εὐξάμενοι τῇ θεῷ καὶ θυμιάσαντες ἐς τὸ κάτοπτρον [14]) βλέπουσι· τὸ δέ σφισι τὸν νοσοῦντα ἤτοι ζῶντα ἢ καὶ τεθνεῶτα ἐπιδείκνυσι. τούτῳ μὲν τῷ ὕδατι ἐς τοσοῦτο μέτεστιν ἀληθείας. Κυανέων [15]) δὲ τῶν πρὸς Λυκίαν πλη- 6
σιαίτατα χρηστήριον Ἀπόλλωνός ἐστι Θυρξέως. παρέχεται δὲ ὕδωρ τὸ πρὸς ταῖς Κυανέαις, εἰς ὃ ἐνιδόντα ἐς τὴν πηγὴν, ὁμοίως πάντα ὁρᾷ ὁπόσα θέλει θεάσασθαι [16]). ἐν Πάτραις δὲ πρὸς τῷ ἄλσει καὶ ἱερὰ δύο ἐστὶ Σαράπιδος· ἐν δὲ τῷ ἑτέρῳ πεποίηται μνῆμα Αἰγύπτου τοῦ Βήλου. φυγεῖν δὲ ἐς τὴν Ἀρόην οἱ Πατρεῖς φασιν αὐτὸν, τοῖς τε ἐς τοὺς παῖδας παθήμασι καὶ τὸ ὄνομα αὐτὸ πεφρικότα τοῦ Ἄργους, καὶ ἐς πλέον τοῦ Δαναοῦ δείματι. ἔστι δὲ καὶ ἱερὸν Πατρεῦσιν Ἀσκληπιοῦ· τοῦτο τὸ ἱερὸν ὑπὲρ τὴν ἀκρόπολιν τῶν πυλῶν ἐστιν ἐγγὺς, αἳ ἐπὶ Μεσάτιν ἄγουσιν.
Αἱ δὲ γυναῖκές εἰσιν ἐν ταῖς Πάτραις ἀριθμὸν μὲν 7
καὶ ἐς δὶς τῶν ἀνδρῶν· Ἀφροδίτης δὲ, εἴπερ ἄλλαις γυναιξὶ, μέτεστι καὶ ταύταις· βίος δὲ αὐτῶν ταῖς πολλαῖς ἐστιν ὑπὸ τῆς βύσσου [17]) τῆς ἐν τῇ Ἤλιδι φυομέ-

14) ἐς τὸ κάτ.] Reddidi ἐς ex Codice Vind.

15) Κυανέων] De his insulis vide, quos laudavit Heyne V. C. ad Apollodor. I. 9. 22., et Plin. H. N. L. IV. C. 13. init.

16) εἰς ὃ ἐνιδόντα — ὁρᾷ — θεάσασθαι] Locus, si verborum constructionem spectes, admodum turbatus. Si ὁρᾷ non aliunde intrusum est, ita scribendum esse arbitror: παρέχεται δὲ ὕδ. τὸ π. τ. Κυανέαις (scil. χρηστήριον), εἰς ὃ ἐνιδὼν (κατὰ) τὰ ἐς τ. π. ὁμοίως πάντα ὁρᾷ etc. Sed in Codice Mosc. ὁρᾷ deest, quo verbo sublato sententia fit expeditior, dummodo ita legas: παρέχεται δὲ (τὸ) ὕδωρ τὸ π. τ. Κ. εἴσω ἐνιδόντα ἐς τ. π. ὁμ. πάντα, ὁπόσα θέλει, θεάσασθαι.

17) ὑπὸ τῆς βύσσου] *Wesseling.* ad Diodor. p. 289. pro ὑπὸ emendat ἀπό.

φυομένης· κεκρυφάλους τε γὰρ ἀπ' αὐτῆς καὶ ἐσθῆτα ὑφαίνουσι τὴν ἄλλην.

## CAPUT XXII.

De Pharis urbe, fluvio Piero et platanis mirae magnitudinis — Mercurio Agoraeo ejusque oraculo — lapidibus quadrangulis a Pharenſibus cultis et Phararum conditore — Tritaea urbe et monumento picturis Niciae exornato — Tritaeae conditore — ſummorum deorum templo — itinere Aegium verſus — mira amnis Charadri vi.

Φαραὶ δ', Ἀχαιῶν πόλις [1]), τελοῦσι μὲν ἐς Πάτρας
δόντος Αὐγούστου. ὁδὸς δὲ ἐς Φαρὰς Πατρέων μὲν
ἐκ τοῦ ἄστεος στάδιοι πεντήκοντά εἰσι καὶ ἑκατὸν, ἀπὸ
θαλάσσης δὲ ἄνω πρὸς ἤπειρον περὶ ἑβδομήκοντα.
ποταμὸς δὲ ῥεῖ πλησίον Φαρῶν Πίερος, ὁ αὐτὸς, (ἐμοὶ
δοκεῖν) ὃς καὶ τὰ Ὠλένου παρέξεισιν ἐρείπια, ὑπὸ
ἀνθρώπων τῶν πρὸς θαλάσσῃ καλούμενος Πεῖρος [2]).
πρὸς δὲ τῷ ποταμῷ πλατάνων ἐστὶν ἄλσος, κοῖλαί τε
ὑπὸ παλαιότητος αἱ πολλαὶ καὶ ἥκουσαι μεγέθους
ἐς τοσοῦτον, ὥστε καὶ ἑστιῶνται τῶν χηραμῶν ἐντὸς,
καὶ ὁπόσοις ἂν κατὰ γνώμην ᾖ, καὶ ἐγκαθεύδουσι.
2 Περίβολος δὲ ἀγορᾶς μέγας κατὰ τρόπον τὸν ἀρχαιότερόν ἐστιν ἐν Φαραῖς, Ἑρμῆς τε [3]) ἐν μέσῃ τῇ ἀγορᾷ,
λίθου

1) Φαραὶ δ', Ἀχ. πόλις] Scripſi πόλις pro mendoſe vulgata πόλεις. In Strab. L. VIII. p. 594. C. ſingulari numero Φαρὰ legitur, in Stephano Byz. Φαραί Mox pro ἄστεως Cod. Moſc. ſcripturam conſtantem ἄστεος praetuli.

2) ὃς καὶ — Πεῖρος] Vide ſupra C. 18. init.

3) Ἑρμῆς τε] Cod. Moſc. Ἑρμοῦ τε. Sic vero, quod ſequitur, ἔχων mutandum eſſet cum ἔχον.

λίθου πεποιημένον ἄγαλμα, ἔχων καὶ γένεια· ἑστη-
κὼς δὲ πρὸς αὐτῇ τῇ γῇ [4]), παρέχεται μὲν τὸ τετρά-
γωνον σχῆμα, μεγέθει δέ ἐστιν οὐ μέγας. καὶ αὐτῷ
καὶ ἐπίγραμμα ἔπεστιν, ἀναθεῖναι αὐτὸ Μεσσήνιον
Σίμυλον. καλεῖται μὲν δὴ Ἀγοραῖος· παρὰ δὲ αὐ-
τῷ καὶ χρηστήριον καθέστηκε. κεῖται δὲ πρὸ τοῦ
ἀγάλματος ἑστία λίθου καὶ αὐτή· μολίβδῳ δὲ πρὸς
τὴν ἑστίαν προσέχοντες λύχνοι χαλκοῖ. ἀφικόμενος
οὖν περὶ ἑσπέραν ὁ τῷ θεῷ χρώμενος, λιβανωτόν τε
ἐπὶ τῆς ἑστίας θυμιᾷ, καὶ ἐμπλήσας τοὺς λύχνους
ἐλαίου καὶ ἐξάψας, τίθησιν ἐπὶ τὸν βωμὸν τοῦ ἀγάλ-
ματος ἐν δεξιᾷ νόμισμα ἐπιχώριον, (καλεῖται δὲ
χαλκοῦς τὸ νόμισμα) καὶ ἐρωτᾷ πρὸς τὸ οὖς τὸν θεὸν,
ὁποῖόν τι καὶ ἑκάστῳ τὸ ἐρώτημά ἐστι. τὸ ἀπὸ τούτου
δὲ ἄπεισιν ἐκ τῆς ἀγορᾶς ἐπιφραξάμενος τὰ ὦτα.
προελθὼν δὲ ἐς τὸ ἐκτὸς, τὰς χεῖρας ἀπέσχεν ἀπὸ
τῶν ὤτων, καὶ ἥστινος ἂν ἐπακούσῃ φωνῆς, μάντευμα
ἡγεῖται. τοιαύτη καὶ Αἰγυπτίοις ἑτέρα περὶ τοῦ
Ἄπιδος τὸ ἱερὸν μαντεία καθέστηκεν. ἐν Φαραῖς δὲ
καὶ ὕδωρ ἱερόν ἐστι τοῦ Ἑρμοῦ· Ἄμα [5]) μὲν τῇ πηγῇ
τὸ ὄνομα· τοὺς δὲ ἰχθῦς οὐχ αἱροῦσιν ἐξ αὐτῆς,
ἀνάθημα εἶναι τοῦ θεοῦ νομίζοντες. Ἑστήκασι δὲ 3
ἐγγύτατα τοῦ ἀγάλματος τετράγωνοι λίθοι τριά-
κοντα μάλιστα ἀριθμόν. τούτους σέβουσιν οἱ Φαρεῖς,
ἑκάστου [6]) θεοῦ τινος ὄνομα ἐπιλέγοντες. τὰ δὲ ἔτι
παλαι-

4) αὐτῇ τῇ γῇ] τῇ inserui ex utroque Codice ac cum *Sylb.* et *Kuhn.*, et γῇ scripsi pro Γῇ. Pausanias enim declarare vult, simulacrum non basi, sed ipsi terrae seu solo insistere.

5) Ἑρμοῦ· Ἄμα etc.] *Valkenar.* Diatrib. p. 289. C. ita legendun esse conjectat: Ἑρμοῦ· Ἑρμοῦ νᾶμα etc.

6) Φαρεῖς, ἑκάστου] Ad lapides illos referendum esse ἑκάστου, liquet; quare cum *Sylburgio*

παλαιότερα καὶ τοῖς πᾶσιν Ἕλλησι, τιμὰς θεῶν
ἀντὶ ἀγαλμάτων εἶχον ἀργοὶ λίθοι. Φαρεῦσι δὲ
ὅσον πέντε σταδίους καὶ δέκα ἀπωτέρω τῆς πόλεώς
ἐστιν ἄλσος Διοσκούρων. δάφναι μάλιστα ἐν αὐτῷ
πεφύκασι, ναὸς δὲ οὐκ ἦν ἐν αὐτῷ, οὔτε ἀγάλματα·
κομισθῆναι δὲ οἱ ἐπιχώριοί φασιν ἐς Ῥώμην τὰ ἀγάλ-
ματα· ἐν Φαραῖς δὲ ἐν τῷ ἄλσει βωμὸς λίθων λο-
γάδων ἐστί. πυθέσθαι δὲ οὐκ εἶχον, εἰ ὁ Φάρης ὁ
Φιλοδαμείας[7]) τῆς Δαναοῦ Φαρῶν ἢ ὁμώνυμος ἐκείνῳ
4 τὶς ἐγένετο οἰκιστής. Τριταία[8]) δὲ Ἀχαιῶν αὕτη
πόλις ἐν μεσογαίῳ μὲν ᾤκισται, τελοῦσι δὲ ἐς Πάτρας
καὶ αὐτοὶ, βασιλέως δόντος. στάδιοι δὲ ἐς Τριταίαν
εἴκοσί τε καὶ ἑκατόν εἰσιν ἐκ Φαρῶν. πρὶν δὲ ἢ ἐς τὴν
πόλιν εἰσελθεῖν, μνῆμά ἐστι λευκοῦ λίθου θέας καὶ
ἐς τὰ ἄλλα ἄξιον, καὶ οὐχ ἥκιστα ἐπὶ ταῖς γραφαῖς,
αἵ εἰσιν ἐπὶ τοῦ τάφου, τέχνη Νικίου· θρόνος τε ἐλέ-
φαντος, καὶ γυνὴ νέα καὶ εἴδους εὖ ἔχουσα ἐπὶ τῷ
θρόνῳ, θεράπαινα δὲ αὐτῇ προέστηκε[9]) σκιάδιον φέ-
ρουσα· καὶ νεανίσκος ὀρθὸς οὐκ ἔχων πω γένειά ἐστι
χιτῶνα ἐνδεδυκὼς καὶ χλαμύδα ἐπὶ τῷ χιτῶνι φοι-
νικῆν, παρὰ δὲ αὐτὸν οἰκέτης ἀκόντια ἔχων ἐστὶ, καὶ
ἄγει κύνας ἐπιτηδείας θηρεύουσιν ἀνθρώποις. πυθέ-
σθαι μὲν ἤδη τὰ ὀνόματα αὐτῶν οὐκ εἴχομεν· ταφῆ-
ναι δὲ ἄνδρα καὶ γυναῖκα ἐν κοινῷ παρίστατο ἅπασιν
εἰκά-

gio scribere mallem ἑκάστῳ. Gentile Φαρεῖς in aliis scriptoribus variat. Strabo L. VIII. p. 594. C. Φαριεῖς dici affirmat, et Steph. Φαραιεῖς.

7) Φάρης ὁ Φ.] Supra L. IV. C. 30. §. 2. scribitur Φάρις. Uterque Cod. Φιλοδαμίας.

8) Τριταία] Constans scriptura hic perperam fuit Τριτία, pro qua Τριταία rescribere non dubitavi ex ipso Pausania supra C. 6., nec non ex Strabone, Polybio, Stephano Byz. Firmat scripturae veritatem gentile Τριταιεῖς.

9) προέστηκε] *Sylb.* mavult προσέστηκε.

εἰκάζειν. Τριταίας δὲ οἰκιστὴν οἱ μὲν Κελβίδαν γενέ- 5
σθαι λέγουσιν, ἀφικόμενον δὲ ἐκ Κύμης τῆς ἐν
Ὀπικοῖς [10])· οἱ δὲ, ὡς Ἄρης συγγένοιτο Τριταίᾳ θυ-
γατρὶ Τρίτωνος· ἱερᾶσθαι δὲ τῇ Ἀθηνᾷ τὴν παρθέ-
νον· Μελάνιππον δὲ παῖδα Ἄρεως καὶ Τριταίας
οἰκίσαι τε καὶ αὐξῆσαι τὴν πόλιν, καὶ θέσθαι τὸ
ὄνομα ἀπὸ τῆς μητέρος. Ἐν Τριταίᾳ δὲ ἐστι μὲν 6
ἱερὸν καλουμένων μεγίστων θεῶν· ἀγάλματα δέ σφισι
πηλοῦ θεῶν [11]) πεποιημένα. τούτοις ἑορτὴν ἄγουσι
κατὰ ἔτος, οὐδέν τι ἀλλοίως [12]) ἢ καὶ τῷ Διονύσῳ
δρῶσιν Ἕλληνες. ἔστι δὲ καὶ Ἀθηνᾶς ναός· τὸ δὲ
ἄγαλμα λίθου τὸ ἐφ' ἡμῶν· τὸ δὲ ἀρχαῖον ἐς Ῥώμην,
καθὰ οἱ Τριταιεῖς λέγουσιν, ἐκομίσθη. θύειν δὲ οἱ
ἐνταῦθα καὶ Ἄρει καὶ τῇ Τριταίᾳ νομίζουσιν. αἵδε
μὲν οὖν θαλάσσης τέ εἰσιν ἀπωτέρω πόλεις, καὶ
ἠπειρώτιδες βεβαίως. Πλέοντι δὲ ἐς Αἴγιον ἐκ Πατρῶν, 7
ἄκρα πρῶτόν ἐστιν ὀνομαζομένη Ῥίον, σταδίους δὲ Πα-
τρῶν πεντήκοντα [13]) ἀπέχουσα· λιμὴν δὲ ὁ Πάνορμος
σταδίοις πέντε καὶ δέκα ἀπωτέρω τῆς ἄκρας. τοσού-
τους δὲ ἀφέστηκεν ἑτέρους ἀπὸ Πανόρμου τὸ Ἀθηνᾶς
καλούμενον τεῖχος. ἐς δὲ λιμένα Ἐρινεὸν ἐξ Ἀθηνᾶς
τείχους παράπλους ἐννενήκοντά εἰσι στάδιοι· ἑξή-
κοντα δὲ ἐς Αἴγιον ἀπὸ τοῦ Ἐρινεοῦ. ὁδὸς δὲ ἡ πεζὴ
σταδίους τεσσαράκοντα μάλιστα ἐς τὸν ἀριθμὸν ἀπο-
δεῖ

10) ἐν Ὀπικοῖς] Ex utroque Codice Ὀπικοῖς reposui pro vulgata Ὀπικῇ. Sic etiam in Strab. L. V. p. 371. 381. Ὀπικοὶ et ἡ τῶν Ὀπικῶν, ac in Stephano Ὀπικοί.

11) θεῶν] Cum *Sylb.* ita scripsi pro vulgata θεοῦ, re ipsa illud suadente. *Kuhn.* pro θεοῦ scribere mavult του, *ex luto quodam facta.*

12) ἀλλοίως] Reposui ex utroque Codice pro ἀλλοίαν, adverbio magis cum δρῶσιν congruente.

13) πεντήκοντα] Strabo L. VIII. p. 594. A. quadraginta abesse refert.

θεῖ τὸν εἰρημένον. οὐ πόῤῥω δὲ τοῦ Πατρέων ἄςεος[14])
ποταμός τε ὁ Μείλιχος καὶ τὸ ἱερὸν τῆς Τρικλαρίας
ἐςὶν, ἄγαλμα οὐδὲν ἔτι ἔχον· τοῦτο μὲν δή ἐςιν ἐν
3 δεξιᾷ. Προελθόντι δὲ ἀπὸ τοῦ Μειλίχου, ποταμός
ἐςιν ἄλλος· ὄνομα μὲν τῷ ποταμῷ Χάραδρος. ὥρᾳ
δὲ ἦρος πίνοντα ἐξ αὐτοῦ τὰ βοσκήματα ὀφείλει
τίκτειν ἄῤῥενα, ὡς τὰ πλείω συμβαίνει· καὶ τοῦδε
εἵνεκα οἱ νομεῖς ἑτέρωσε αὐτὰ τῆς χώρας μεθιςᾶσι,
πλήν γε δὴ τὰς βοῦς. ταύτας δὲ αὐτοῦ καταλεί-
πουσιν ἐπὶ τῷ ποταμῷ, διότι καὶ πρὸς θυσίας οἱ
ταῦροί σφισι καὶ ἐς τὰ ἔργα ἐπιτηδειότεροι θηλειῶν
βοῶν εἰσιν· ἐπὶ δὲ τοῖς ἄλλοις κτήνεσι τὸ θῆλυ ἐπι-
πλέον τετίμηται.

## CAPUT XXIII.

Reliquiae urbis Argyrae — de Selemno amne et Argyra fonte narratio — de Bolinaeo amne et urbe Bolina — promontorio Drepano et reliquiis urbis Rhypum — Aegio urbe, Lucinae (Ilithyiae) templo ac signo — de Aesculapio disputatio — Aegii urbis memoranda.

Μετὰ δὲ τὸν Χάραδρον ἐρείπια οὐκ ἐπιφανῆ πόλεώς
ἐςιν Ἀργυρᾶς, καὶ πηγή τε Ἀργυρᾶ ἐν δεξιᾷ τῆς
λεωφόρου, καὶ Σέλεμνος ποταμὸς κατιὼν ἐς θάλασ-
2 σαν. Λόγος δὲ τῶν ἐπιχωρίων ἐς αὐτόν ἐςι, Σέλεμνον
μειράκιον ὡραῖον ποιμαίνειν ἐνταῦθα, Ἀργυρᾶν δὲ
εἶναι μὲν τῶν ἐν θαλάσσῃ νυμφῶν, ἐρασθεῖσαν δὲ
αὐτὴν

14) οὐ πόῤῥω δὲ τοῦ Π. ἄςεος etc.] Ex Cod. Mosc. ἄςεος pro ἄςεως. Ceterum haec ad iter ex Patris Aegium versus describendum ex superioribus a Pausania sunt repetita. Vide supra C. 19.

αὐτὴν Σελέμνου φοιτᾶν τε ὡς αὐτόν φασιν ἐκ θαλάσσης ἀνιοῦσαν, καὶ καθεύδειν παρὰ τῷ ποταμῷ. μετὰ δὲ οὐ πολὺν χρόνον οὔτε ὡραῖος ἔτι ἐφαίνετο Σέλεμνος, οὔτε ὡς αὐτὸν φοιτήσειν ἔμελλεν ἡ νύμφη. Σέλεμνον δὲ μονωθέντα Ἀργυρᾶς, καὶ τελευτήσαντα ὑπὸ τοῦ ἔρωτος, ἐποίησεν Ἀφροδίτη ποταμόν. λέγω δὲ τὰ ὑπὸ Πατρέων λεγόμενα. καὶ ἤρα γὰρ καὶ ὕδωρ γενόμενος Ἀργυρᾶς, καθότι ἔχει καὶ ἐπὶ τῷ Ἀλφειῷ λόγος, Ἀρεθούσης ἔτι ἐρᾶν αὐτόν· δωρεῖται καὶ τῷδε Ἀφροδίτη Σέλεμνον, ἐς λήθην ἄγει τὸν ποταμὸν Ἀργυρᾶς. ἤκουσα δὲ καὶ ἄλλον ἐπ' αὐτῷ λόγον· τὸ ὕδωρ τὸ Σελέμνου σύμφορον καὶ ἀνδράσιν εἶναι καὶ γυναιξὶν ἐς ἔρωτος ἴαμα, λουομένοις ἐν τῷ ποταμῷ λήθην ἔρωτος γίνεσθαι. εἰ δὲ μέτεστιν ἀληθείας τῷ λόγῳ, τιμιώτερον χρημάτων πολλῶν ἐστιν ἀνθρώποις τὸ ὕδωρ τοῦ Σελέμνου. Ἀπωτέρω δὲ Ἀρ- 3
γυρᾶς ποταμός ἐστιν ὀνομαζόμενος Βολιναῖος, καὶ πόλις ποτὲ ᾤκητο [1]) πρὸς αὐτῷ Βολίνα. παρθένου δὲ ἐρασθῆναι Βολίνης Ἀπόλλωνα, τὴν δὲ φυγοῦσαν ἐς τὴν ταύτῃ φασὶν ἀφεῖναι θάλατταν, καὶ αὐτὴν ἀθάνατον γενέσθαι χάριτι τοῦ Ἀπόλλωνος. Ἐφεξῆς 4
δὲ ἄκρα τε ἐς αὐτὴν ἔχει τὴν θάλασσαν, καὶ ἐπ' αὐτῇ λέγεται λόγος, ὡς Κρόνος τῆς θαλάσσης ἐνταῦθα ἔρριψε τὸ δρέπανον, ᾧ τὸν πατέρα Οὐρανὸν ἐλυμήνατο· ἐπὶ τούτῳ δὲ καὶ τὴν ἄκραν Δρέπανον ὀνομάζουσιν [2]). ὀλίγον δὲ ὑπὲρ τὴν λεωφόρον Ῥυπῶν ἐστι τὰ ἐρείπια. Σταδίους δὲ Αἰγίου περὶ τοὺς τριάκοντα [3]) ἀπέχει 5
Ῥυπῶν.

1) ᾤκητο] Cod. Mosc. ᾤκεῖτο.

2) ἐπὶ τούτῳ — Δρέπανον ὀν.] Aliam denominationis rationem affert Strabo L. VIII. p. 517. B.

3) περὶ τοὺς τρ.] *Kuhn.* mavult περί που τρ. Paullo infra pro

Ῥυπῶν. Αἰγίου δὲ τὴν χώραν διέξεισι μὲν ποταμὸς Φοίνιξ, διέξεισι δὲ καὶ ἕτερος Μεγανίτας, ἐς θάλασσαν ῥέοντες. στοὰ δὲ τῆς πόλεως πλησίον ἐποιήθη Στράτωνι ἀθλητῇ, Ὀλυμπιάσιν ἐπὶ ἡμέρας τῆς αὐτῆς παγκρατίου καὶ πάλης ἀνελομένῳ νίκας· αὕτη μὲν ἐγγυμνάζεσθαι τούτῳ τῷ ἀνδρὶ ἐποιήθη. Αἰγιεῦσι δὲ Εἰλειθυίας ἱερόν ἐστιν ἀρχαῖον, καὶ ἡ Εἰλείθυια ἐς ἄκρους ἐκ κεφαλῆς τοὺς πόδας ὑφάσματι κεκάλυπται λεπτῷ, ξοάνου[4]) πλὴν προσώπου τε καὶ χειρῶν ἄκρων καὶ ποδῶν· ταῦτα δὲ τοῦ Πεντελησίου λίθου πεποίηται· καὶ ταῖς χερσὶ τῇ μὲν ἐς εὐθὺ ἐκτέταται, τῇ δὲ ἀνέχει δᾷδα. Εἰλειθυίᾳ δὲ εἰκάσαι τὶς ἂν εἶναι δᾷδας, ὅτι γυναιξὶν ἐν ἴσῳ καὶ πῦρ εἰσιν αἱ ὠδῖνες. ἔχοιεν δ' ἂν λόγον καὶ ἐπὶ τοιῷδε αἱ δᾷδες, ὅτι Εἰλείθυιά ἐστιν ἡ ἐς φῶς ἄγουσα τοὺς παῖδας. ἔργον δὲ τοῦ Μεσσηνίου Δαμοφῶντός ἐστι τὸ ἄγαλμα. τῆς Εἰλειθυίας οὐ μακρὰν Ἀσκληπιοῦ τέ ἐστι τέμενος, καὶ ἀγάλματα Ὑγείας καὶ Ἀσκληπιοῦ. ἰαμβεῖον δὲ ἐπὶ τῷ βάθρῳ τὸν Μεσσήνιον Δαμοφῶντα εἶναι
6 τὸν εἰργασμένον φησίν. Ἐν τούτῳ τοῦ Ἀσκληπιοῦ τῷ ἱερῷ ἐς ἀντιλογίαν ἀφίκετο ἀνήρ μοι Σιδόνιος, ὃς ἐγνωκέναι τὰ ἐς τὸ θεῖον ἔφασκε Φοίνικας καὶ τά τε ἄλλα Ἑλλήνων βέλτιον, καὶ δὴ καὶ Ἀσκληπιῷ πατέρα μὲν σφᾶς Ἀπόλλωνα ἐπιφημίζειν, θνητὴν δὲ γυναῖκα οὐδεμίαν μητέρα· Ἀσκληπιὸν μὲν γὰρ ἀέρα γένει τε ἀνθρώπων εἶναι καὶ πᾶσιν ὁμοίως ζώοις ἐπιτήδειον πρὸς ὑγίειαν, Ἀπόλλωνα δὲ ἥλιον, καὶ αὐτὸν ὀρθότατα Ἀσκληπιῷ πατέρα ἐπονομάζεσθαι, ὅτι ἐς

τὸ

pro Μεγανίτας Cod. Mosc. dat Μειγανίτας.

4) ξοάνου] Rectius ξόανον scribendum esse, *Sylb.* bene monuit.

τὸ ἁρμόζον ταῖς ὥραις ποιούμενος ὁ ἥλιος τὸν δρόμον
μεταδίδωσι τῷ ἀέρι ὑγιείας. ἐγὼ δὲ ἀποδέχεσθαι
μὲν τὰ εἰρημένα, οὐδὲν δέ τι Φοινίκων μᾶλλον ἢ καὶ
Ἑλλήνων εἶναι τὸν λόγον ἔφην· ἐπεὶ καὶ ἐν Τιτάνῃ [5])
τῆς Σικυωνίων τὸ αὐτὸ ἄγαλμα Ὑγείας τε ὀνομά-
ζεσθαι, καὶ παιδὶ εἶναι δῆλα, ὡς τὸν ἡλιακὸν δρόμον
ἐπὶ γῆς ὑγείαν ποιοῦντα ἀνθρώποις. Αἰγιεῦσι δὲ 7
Ἀθηνᾶς τε ναὸς, καὶ Ἥρας ἐςὶν ἄλσος. Ἀθηνᾶς μὲν
δὴ δύο ἀγάλματα λευκοῦ λίθου· τῆς δὲ Ἥρας τὸ
ἄγαλμα, ὅτι μὴ γυναιξὶν, ἢ ἂν τὴν ἱερωσύνην ἔχει,
ἄλλῳ τινί τε οὐδενί ἐςι θεάσασθαι. Διονύσου δὲ
πρὸς τῷ θεάτρῳ πεποίηταί σφισιν ἱερὸν, καὶ ἄγαλμα
οὐκ ἔχον πω γένεια. ἔςι δὲ καὶ Διὸς ἐπίκλησιν Σω-
τῆρος ἐν τῇ ἀγορᾷ τέμενος, καὶ ἀγάλματα ἐςελθόντων
ἐν ἀριςερᾷ χαλκοῦ μὲν ἀμφότερα· τὸ δὲ οὐκ ἔχον πω
γένεια ἐφαίνετο ἀρχαιότερον εἶναί μοι. ἐν δὲ οἰκή-
ματι κατευθὺ τῆς ὁδοῦ χαλκοῦ καὶ ταῦτα ἔςι μὲν
Ποσειδῶν καὶ Ἡρακλῆς, ἔςι δὲ Ζεὺς καὶ Ἀθηνᾶ.
θεοὺς δὲ σφᾶς καλοῦσιν ἐς αὐτοὺς [6]), ὡς μὲν ὁ
Ἀργείων ἔχει λόγος, ὅτι ἐποιήθησαν ἐν τῇ πόλει τῇ
Ἀργείων· ὡς δὲ αὐτοὶ λέγουσιν οἱ Αἰγιεῖς, παρα-
καταθήκη σφίσιν ὑπὸ Ἀργείων ἐδόθη ἀγάλματα [7])·
καὶ αὐτοῖς καὶ τάδε ἔτι προσταχθῆναί φασιν, ἑκάςῃ
τοῖς ἀγάλμασιν ἡμέρᾳ θύειν· αὐτοὶ δὲ σόφισμα

 εὑρόντες,

5) Τιτάνῃ] Ex Cod. Mosc. dedi pro mendoso Τιτᾶνι. De Titane ac de eo, quod hic tangitur, vide supra L. II. C. 11. §. 6. Mox pro Ὑγείας Cod. Mosc. haud male Ὑγείαν, et pro εἶναι exhibet ἦν.

6) ἐς αὐτοὺς] Haec verba huc non pertinere et vitiosa esse, luce clarius patet. *Amas.* legit Ἀργείους, cujus lectionis veritatem subsequentia declarant. *Kuhn.* ingeniose emendavit εἰσακτοὺς, *introductos*, h. e. peregrinos.

7) ἐδόθη ἀγάλματα] ἐδόθη τὰ ἀγάλματα rectius scribendum esse, jam *Sylb.* notavit.

εὑρόντες, θύειν μὲν πλεῖστα ὅσα, κατευωχουμένοις δὲ τὰ ἱερεῖα ἐν κοινῷ, ἀνάλωμα οὐδὲν ἐς αὐτὰ γίγνεσθαι· τέλος δὲ ἀπαιτεῖσθαι ὑπὸ τῶν Ἀργείων, καὶ αὐτοὶ τὰ ἐς τὰς θυσίας ἀναλούμενα ἀπαιτεῖν· τοὺς δὲ (οὐ γὰρ ἔχειν ἐκτίσαι) καταλιπεῖν σφισιν αὐτοὺς τὰ ἀγάλματα. Αἰγιεῦσι δὲ ἔστι μὲν πρὸς τῇ ἀγορᾷ ναὸς Ἀπόλλωνι καὶ Ἀρτέμιδι ἐν κοινῷ· ἔστι δὲ ἐν τῇ ἀγορᾷ ἱερὸν Ἀρτέμιδος· τοξευούσῃ δὲ εἴκασται. καὶ Ταλθυβίου τοῦ κήρυκος τάφος· κέχωσται δὲ τῷ Ταλθυβίῳ καὶ ἄλλο μνῆμα ἐν Σπάρτῃ [8]), καὶ αὐτῷ αἱ πόλεις ἐναγίζουσιν ἀμφότεραι.

## CAPUT XXIV.

Aegii urbis memoranda porro enumerantur — Jovis Homagyrii ſignum et Cereris Panachaeae — ſynedrium Achaeorum in urbe Aegio — de Helice urbe et Neptuno Heliconio — Helice terrae motu funditus everſa — de variis ſignis, quae terrae motus praecedunt, et horum varia ratione — Sipyli everſio.

Πρὸς θαλάσσῃ δὲ Ἀφροδίτης ἱερὸν ἐν Αἰγίῳ, καὶ μετ' αὐτὸ [1]) Ποσειδῶνος, Κόρῃ τε πεποίηται τῇ Δήμητρος, καὶ τέταρτον Ὁμαγυρίῳ Διΐ. ἐνταῦθα Διὸς καὶ
2 Ἀφροδίτης ἐστὶ καὶ Ἀθηνᾶς ἀγάλματα. Ὁμαγύριος δὲ ἐγένετο τῷ Διῒ ἐπίκλησις, ὅτι Ἀγαμέμνων ἤθροισεν ἐς τοῦτο τὸ χωρίον τοὺς λόγου μάλιστα ἐν τῇ Ἑλλάδι ἀξίους, μεθέξοντας ἐν κοινῷ βουλῆς, καθ' ὅντινα χρὴ

8) κέχωσται — ἐν Σπάρτῃ] Vide ſupra L. III. C. 12. §. 6.

1) μετ' αὐτὸ] Scripſi αὐτὸ cum *Sylb.* pro perperam vulgato αὐτῷ.

χρὴ τρόπον ἐπὶ ἀρχὴν τὴν Πριάμου στρατεύεσθαι.
Ἀγαμέμνονι δὲ καὶ ἄλλα ἐστὶν ἐς ἔπαινον, καὶ
ὅτι τοῖς ἐξ ἀρχῆς ἀκολουθήσασι [2]), καὶ οὐδεμιᾶς
ἐπελθούσης ὕστερον στρατιᾶς, τήν τε Ἴλιον ἐπόρθησε,
καὶ ὅσαι περίοικοι πόλεις ἦσαν. ἐφεξῆς δὲ τῷ Ὁμα-
γυρίῳ Διὶ Παναχαιᾶς ἐστι Δήμητρος. παρέχεται δὲ
ὁ αἰγιαλὸς, ἐν ᾧ καὶ τὰ ἱερὰ Αἰγιεῦσίν ἐστι τὰ εἰρη-
μένα, ὕδωρ ἄφθονον, θεάσασθαί τε καὶ πιεῖν ἐκ
πηγῆς ἡδύ. ἔστι δέ σφισι καὶ Σωτηρίας ἱερόν· ἰδεῖν
μὲν δὴ τὸ ἄγαλμα οὐδενὶ πλὴν τῶν ἱερουμένων ἐστί·
δρῶσι δὲ ἄλλα τε καὶ τοιαῦτα· λαμβάνοντες παρὰ
τῆς θεοῦ πέμματα ἐπιχώρια, ἀφιᾶσιν ἐς θάλασσαν,
πέμπειν δὲ τῇ ἐν Συρακούσαις Ἀρεθούσῃ φασὶν αὐτά.
ἔστι δὲ καὶ ἄλλα Αἰγιεῦσιν ἀγάλματα χαλκοῦ πε-
ποιημένα, Ζεύς τε ἡλικίαν παῖς, καὶ Ἡρακλῆς, οὐδὲ
οὗτος ἔχων πω γένεια, Ἀγελάδα τέχνη τοῦ Ἀργείου.
τούτοις κατὰ ἔτος ἱερεῖς αἱρετοὶ γίνονται, καὶ ἑκάτερα
τῶν ἀγαλμάτων ἐπὶ ταῖς οἰκίαις μένει τοῦ ἱερωμένου [3]).
τὰ δὲ ἔτι παλαιότερα προεκέκριτο ἐκ τῶν παίδων
ἱερᾶσθαι τῷ Διὶ ὁ νικῶν κάλλει· ἀρχομένων δὲ αὐτῷ
γενείων, ἐς ἄλλον παῖδα ἡ ἐπὶ τῷ κάλλει μετῄει τιμή.
ταῦτα μὲν οὕτως ἐνομίζετο. Ἐς δὲ Αἴγιον καὶ ἐφ’ 3
ἡμῶν ἔτι συνέδριον τῶν Ἀχαιῶν ἀθροίζεται, καθότι
ἐς Θερμοπύλας τε καὶ ἐς Δελφοὺς οἱ Ἀμφικτύονες.
ἰόντι δὲ ἐς τὸ πρόσω, Σέλινός τε ποταμὸς [4]), καὶ
ἀπωτέρω τεσσαράκοντα Αἰγίου σταδίοις ἐπὶ θαλάσσῃ



2) ὅτι τοῖς ἐξ ἀ. ἀκολουθήσασι] Excidisse videtur σὺν ante τοῖς, quod *Amas.* expressit. Mox post Δήμητρος ex antecedentibus ἄγαλμα revocandum.

3) ἱερωμένου] Cod. Mosc. ἱερουμένου.

4) Σέλινός τε ποτ.] *Sylb.* Σελινοῦς scribendum esse censet ex Strab. L. VIII. p. 593. B.

4 χωρίον ἐςὶν Ἑλίκη. Ἐνταῦθα ᾤκητο Ἑλίκη πόλις, καὶ Ἴωσιν ἱερὸν ἁγιώτατον Ποσειδῶνος ἦν Ἑλικωνίου. διαμεμενηκέναι δέ σφισι [5]), καὶ ὡς ὑπὸ Ἀχαιῶν ἐκπεσόντες ἐς Ἀθήνας, καὶ ὕςερον ἐξ Ἀθηνῶν ἐς τὰ παραθαλάσσια ἀφίκοντο τῆς Ἀσίας, σέβεσθαι Ποσειδῶνα Ἑλικώνιον. καὶ Μιλησίοις τε ἰόντι ἐπὶ τὴν πηγὴν τὴν Βιβλιάδα [6]), Ποσειδῶνος πρὸ τῆς πόλεώς ἐςιν Ἑλικωνίου βωμός· καὶ ὡσαύτως ἐν Τέῳ περίβολός τε καὶ βωμός ἐςι τῷ Ἑλικωνίῳ θέας ἄξιος. ἔςι δὲ καὶ Ὁμήρῳ πεποιημένα ἐς Ἑλίκην καὶ τὸν Ἑλικώνιον
5 Ποσειδῶνα [7]). Χρόνῳ δὲ ὕςερον Ἀχαιοῖς τοῖς ἐνταῦθα, ἱκέτας ἄνδρας ἀποςήσασιν [8]) ἐκ τοῦ ἱεροῦ καὶ ἀποκτείνασιν, οὐκ ἐμέλλησε τὸ μήνιμα ἐκ τοῦ Ποσειδῶνος, ἀλλὰ σεισμὸς ἐς τὴν χώραν σφίσιν αὐτίκα κατασκήψας, τῶν τε οἰκοδομημάτων τὴν κατασκευὴν, καὶ ὁμοῦ τῇ κατασκευῇ καὶ αὐτὸ τῆς πόλεως τὸ ἔδαφος ἀφανὲς ἐς τοὺς ἔπειτα ἐποίησε.

6 Τὰ μὲν οὖν ἄλλα ἐπὶ τοῖς σεισμοῖς, ὅσοι μεγέθει τε ὑπερήρκασι καὶ ἐπὶ μήκιςον διϊκνοῦνται τῆς γῆς, προσημαίνειν ὁ θεὸς κατὰ τὰ αὐτὰ ὡς ἐπίπαν εἴωθεν. ἢ γὰρ ἐπομβρίαι συνεχεῖς ἢ αὐχμοὶ πρὸ τῶν σεισμῶν συμ-

5) διαμεμενηκέναι δέ σφισι] Nec antecedit, nec ſubſequitur verbum, unde infinitivus διαμ. pendere poſſit; illud vero in σφίσι latere, ſtatim liquet. Scilicet pro σφίσι ſcribendum eſt φασὶ, quod *Amaſ.* quoque expreſſit, vertens *memorant.* Conf. ſupra not. 2. ad C. 11.

6) Βιβλιάδα] Supra C. 6. fuit Βιβλίδα.

7) Ὁμήρῳ — Ποσειδῶνα] De Helice locus eſt Iliad. β. v. 575. et Il. ϑ. v. 203., de Heliconio Il. υ. v. 403.

8) ἀποςήσασιν] *Kuhn.* emendat ἀναςήσασιν, quam vocem de ſupplicibus peculiariter uſurpari ſatis conſtat. Sed vulgata quoque ferri et verti poteſt: *cum abduxiſſent etc.* De Helices exitio vide etiam Strab. L. VIII. p. 589. 590.

συμβαίνουσιν ἐπὶ χρόνον πλείονα· καὶ ὁ ἀὴρ παρὰ τὴν ἑκάστοτε τοῦ ἔτους ὥραν χειμῶνός τε γίνεται καυματωδέστερος, καὶ ἐν θέρει μετὰ ἀχλύος μᾶλλον ὁ κύκλος παρέχεται τοῦ ἡλίου τὴν χρόαν παρὰ τὸ εἰωθὸς, ἤτοι ἐς τὸ ἐρυθρότερον, ἢ καὶ ἡσυχῇ τρέπουσαν ἐς τὸ μελάντερον· τῶν τε ὑδάτων ὡς τὸ πολὺ ἐπιλείπουσιν αἱ πηγαὶ, καὶ ἀνέμων ἐστὶν οἷς [9]) ἐνέπεσον ἐς τὴν χώραν ἐμβολαὶ, περιτρέπουσαι τὰ δένδρα· καί που καὶ ἐν τῷ οὐρανῷ διαδρομαὶ σὺν πολλῇ τῇ φλογί· τὰ δὲ καὶ ἀστέρων ὤφθη σχήματα, οὔτε ἐγνωσμένα ὑπὸ τῶν πρότερον, καὶ μεγάλην τοῖς ὁρῶσιν ἐμποιοῦντα ἔκπληξιν· ἔστι δὲ καὶ ἐκ τῆς γῆς κάτω πνευμάτων ὑφήγησις [10]) ἰσχυρά· ἄλλα τε πολλὰ ὁ θεὸς ἐπὶ τοῖς βιαίοις τῶν σεισμῶν ἐθέλει προδείκνυσθαι. Τῆς δὲ κινήσεως αὐτῆς καθέστηκεν οὐχ εἷς τρόπος· ἀλλ' οἱ φροντίσαντες τὰ τοιαῦτα ἐξαρχῆς καὶ οἱ παρ' ἐκείνων διδαχθέντες, ἰδέας καταμαθεῖν ἐδυνήθησαν τοσάσδε ἐπὶ τοῖς σεισμοῖς. ἠπιώτατος μέν ἐστιν αὐτῶν, (ἣν δὴ ἐν κακῷ γε τοσούτῳ ῥαστώνην ἐνεῖναί τινα ἡγησαίμεθα [11])) ἐπειδὰν ὁμοῦ τῇ κινήσει τῇ ἀρξαμένῃ τὸ πρῶτον καὶ τῇ ἐς τὸ ἔδαφος τροπῇ τῶν οἰκοδομημάτων ἀντιστᾶσα ἐναντία κίνησις ἐξεγείρῃ τὰ ἤδη τραπέντα· καὶ ἐν τῇ τοιᾷδε ἰδέᾳ τοῦ σεισμοῦ κίονας ὁρᾶν ἐστιν ἀνορθουμένους, οἳ ὀλίγον ἐδέησαν ἐς ἅπαν ἐκριφῆναι, καὶ ὁπόσα διέστη τοίχων, συνερχόμενα ἐς τὸ ἐξαρχῆς· δοκοὶ δὲ, ὅσας ἐκτὸς ὀλισθεῖν ἐποίησεν ἡ κίνησις, ἐπανίασιν αὖθις ἐς τὰς ἕδρας·

X 4 ὡσαύ-

9) ἐστὶν οἷς] *Amas.* legisse videtur ἐστὶν οὗ vel ἐστὶν οἳ, quod sane vulgatae praeferendum est.

10) ὑφήγησις] Vix ex hac voce sensus sententiae aptus elici potest. Quare *Kuhn.* ingeniose et docte emendat ὑφήχησις, *sonitus*, *mugitus*.

11) ἡγησαίμεθα] Cod. Mosc. ἡγησόμεθα.

ὡσαύτως δὲ καὶ ὀχετῶν κατασκευῆς, καὶ εἰ δή τι ἄλλο ἐπὶ ὕδατος ῥοαῖς προάγει [12]), καὶ τούτων συνδεῖται τὰ διεσπασμένα μᾶλλον ἢ ἀνθρώπων τεκτόνων. ὁ δὲ δὴ δεύτερος τῶν σεισμῶν ἀπώλειάν τε τῶν ἑτοιμοτέρων [13]) Φέρει, καὶ, ἐφ' ὅ τι ἂν βάλῃ τὴν ὁρμὴν, ἀνέκλινεν αὐτίκα τοῖς ἐς πολιορκίαν μηχανήμασιν ὁμοίως. τὸν δὲ αὐτῶν ὀλεθριώτατον τοιᾶδέ τινι ἐθέλουσιν εἰκάζειν, τὸ ἐντὸς τοῦ ἀνθρώπου πνεῦμα εἰ συνεχεῖ πυρετῷ πυκνότερόν τε καὶ ὑπὸ πολλῆς ἄνω τῆς βίας [14]) ὠθοῖτο· τοῦτο δὲ ἀλλαχοῦ τε τοῦ σώματος ἐπισημαίνει, καὶ ἐν ταῖς χερσὶν ὑπὸ ἑκάτερον μάλιστα τὸν καρπόν· κατὰ ταυτὰ οὖν καὶ τὸν σεισμὸν, εἴτ' εὐθὺς [15]) ὑποδύεσθαι τῶν οἰκοδομημάτων καὶ θεμέλια ἀναπάλλειν Φασὶν αὐτὸν, καθότι καὶ τὰ ἔργα τῶν ἀσπαλάκων [16]) ἐκ μυχοῦ τῆς γῆς ἀναπέμπεται. μόνη τε ἡ τοιαύτη κίνησις οὐδὲ τοῦ οἰκισθῆναί ποτε ὑπολείπει σημεῖα ἐν τῇ γῇ. τότε ἰδέαν μὲν ταύτην ἐπὶ τῇ Ἑλίκῃ τοῦ σεισμοῦ τὴν ἐς τὸ ἔδαφος ἀνακινοῦσαν, σὺν δὲ αὐτῇ καὶ ἄλλο πῆμα τοιόνδε ἐπιγενέσθαι Φασὶν ὥρᾳ χειμῶνος. ἐπῆλθε

12) καὶ εἰ δή τι ἄλλο — προάγει etc.] *et si qua alia re deducuntur aquae fluenta.* Paullo durius haec dicta pro καὶ εἰ δή τι ἄλλο ὕδατος ῥοὰς προάγει. Mox verba ἢ ἀνθρώπων τεκτόνων justo brevius enunciata sunt pro ἢ ὑπ' ἀνθρ. τεκτ., scil. συνδεῖται vel συνδεδεμένα.

13) τῶν ἑτοιμοτέρων] *eorum, quae proniora sunt in ruinam.* Sed *Amas.* ἐχυροτέρων vel βεβαιοτέρων legisse videtur.

14) πολλῆς ἄνω τῆς βίας] Suspectum mihi est ἄνω. Mallem scribere π. ἐντὸς βίας, vel π. ἔσω τῆς βίας.

15) εἴτ' εὐθὺς] Corruptam esse vocem εἴτ', interpretes recte viderunt, et *Sylb.* emendavit εἰς, *Kuhn.* vero nimis ingeniose οἵδ', *illi*, scilicet, *qui de terrae motu* φυσιολογοῦσι. Equidem potius scribendum censeo ἤδη εὐθὺς, *recta statim.*

16) ἀσπαλάκων] *talparum.* Cod. Mosc. et Ald. σφαλάκων.

ἐπῆλθε γάρ σφισιν ἐπὶ πολὺ τῆς χώρας ἡ θάλασσα,
καὶ τὴν Ἑλίκην περιέλαβεν ἐν κύκλῳ πᾶσαν· καὶ δὴ
καὶ τὸ ἄλσος τοῦ Ποσειδῶνος ἐπὶ τοσοῦτον ἐπέσχεν ὁ
κλύδων, ὡς τὰ ἄκρα τῶν δένδρων σύνοπτα εἶναι μόνον.
σείσαντος δὲ ἐξαίφνης τοῦ θεοῦ, καὶ ὁμοῦ τῷ σεισμῷ
τῆς θαλάσσης ἀναδραμούσης, καθείλκυσεν αὔταν-
δρον τὸ κῦμα τὴν Ἑλίκην. Τοιοῦτό γε δὴ κατέλαβεν 7
καὶ ἕτερον τὴν Ἰδέαν ἐν Σιπύλῳ πόλιν [17]) ἐς χάσμα
ἀφανισθῆναι· ἐξότου δὲ ἡ Ἰδέα κατεάγη, τοῦ ὄρους
ὕδωρ αὐτόθεν ἐῤῥύη, καὶ λίμνη τε ὀνομαζομένη Σαλόη
τὸ χάσμα ἐγένετο· καὶ ἐρείπια πόλεως δῆλα ἦν ἐν
τῇ λίμνῃ, πρὶν ἢ τὸ ὕδωρ ἀπέκρυψεν αὐτὰ τοῦ χει-
μάῤῥου. σύνοπτα δὲ καὶ Ἑλίκη ἐστὶ τὰ ἐρείπια,
οὐ μὴν ἔτι γε ὁμοίως, ἅτε ὑπὸ τῆς ἅλμης λελυ-
μασμένα.

17) Τοιοῦτό — καὶ ἕτερον τὴν Ἰδέαν ἐν Σ. π.] Nec urbem Ideam in Sipylo, nec alibi memorant veteres; contra Magnesiam sub Sipylo monte sitam terrae motu haustam esse, Strabo et alii referunt. Quare *Kuhn.* vocem Ἰδέαν mendosam esse recte judicans sic emendavit: καὶ τὴν Μίδειαν (vide Strab. L. I. p. 102. et L. IX. p. 633.) κατέλαβε καὶ ἑτέραν ἐν Σ. π. Sed leviori medela locum constituendum esse in promtu est. Ἰδέαν scilicet appellative sumendum, uti paullo supra aliquoties denotavit *speciem, modum*, ideoque cum minusculo ι est scribendum: Τοιοῦτό γε δὴ κατέλαβεν καὶ ἕτερον (κατὰ) τὴν ἰδέαν (vel κατ' ἑτέραν τὴν ἰδέαν) ἐν Σ. π. etc., *hujuscemodi et alius generis casus etc.* Inde mox pro ἡ Ἰδέα cum *Kuhnio* emendandum ἥδε, scil. πόλις.

## CAPUT XXV.

Pietatis in ſupplices exhibitae et laeſae exempla memorantur — de tempore Helices excidii — oppido Cerynea — memorandis Ceryneae — oppido Bura — Herculis Buraïci oraculo, quod talis editur — amne Crathide et Aegis oppido — Gaeo, Telluris templo.

Τὸ δὲ τοῦ Ἱκεσίου μήνιμα, πάρεστι μὲν τοῖς ἐς τὴν Ἑλίκην, πάρεστι δὲ καὶ ἄλλοις διδαχθῆναι πολλοῖς, ὥς ἐστιν ἀπαραίτητον. Φαίνεται δὲ καὶ ὁ θεὸς παραινῶν ὁ ἐν Δωδώνῃ, νέμειν ἐς ἱκέτας αἰδῶ. Ἀθηναίοις γὰρ ἐπὶ ἡλικίᾳ μάλιστα τῇ Ἀφείδαντος ἀφίκετο παρὰ τοῦ ἐν Δωδώνῃ Διὸς τὰ ἔπη τάδε·

Φράζεο δ' Ἄρειόν τε πάγον, βωμούς τε θυώδεις
Εὐμενίδων, ὅτι [1]) χρὴ Λακεδαιμονίους σ' ἱκετεῦσαι
Δουρὶ πιεζομένους· τοὺς μὴ σὺ κτεῖνε σιδήρῳ,
Μηδ' ἱκέτας ἀδικεῖν· ἱκέται δ' ἱεροί τε καὶ ἁγνοί.

ταῦτα Ἕλλησιν ἦλθεν ἐς μνήμην, ὅτε ἀφίκοντο ἐπὶ Ἀθήνας Πελοποννήσιοι, τότε Κόδρου τοῖς Ἀθηναίοις τοῦ Μελάνθου βασιλεύοντος. ὁ μὲν δὴ ἄλλος στρατὸς τῶν Πελοποννησίων ἀπεχώρησεν ἐκ τῆς Ἀττικῆς, ἐπειδὴ ἐπύθοντο τοῦ Κόδρου τὴν τελευτὴν, καὶ ὅντινα ἐγένετο αὐτῷ τρόπον· οὐ γὰρ εἶναι νίκην ἔτι σφίσι κατὰ τὸ ἐκ Δελφῶν μάντευμα ἤλπιζον. Λακεδαιμονίων δὲ ἄνδρες γενόμενοι μὲν ἐντὸς τείχους λανθάνουσιν ἐν τῇ νυκτὶ, ἅμα δὲ ἡμέρᾳ τούς τε ἑαυτῶν ἀπεληλυθότας αἰσθάνονται, καὶ ἀθροιζομένων ἐπ' αὐτοὺς τῶν Ἀθηναίων καταφεύγουσιν ἐς τὸν

Ἄρειον

1) ὅτι] Valkenar. ad Euripidis Hippolyt. v. 125. ἔθι, *ubi*, ſcribendum eſſe conjecit.

Ἄρειον πάγον καὶ ἐπὶ τῶν θεῶν, αἳ Σεμναὶ καλοῦνται, τοὺς βωμούς. Ἀθηναῖοι δὲ τότε μὲν διδόασι τοῖς ἱκέταις ἀπελθεῖν ἀζημίοις. χρόνῳ δὲ ὕστερον αὐτοὶ οἱ ἔχοντες τὰς ἀρχὰς διέφθειραν τῆς Ἀθηνᾶς ἱκέτας τῶν Κύλωνι ὁμοῦ τὴν ἀκρόπολιν κατειληφότων [2]· καὶ αὐτοί τε οἱ ἀποκτείναντες ἐνομίσθησαν καὶ οἱ ἐξ ἐκείνων ἐναγεῖς τῆς θεοῦ. Λακεδαιμονίοις δὲ ἀποκτείνασι καὶ τούτοις ἄνδρας εἰς τὸ ἱερὸν καταπεφευγότας τὸ ἐπὶ Ταινάρῳ τοῦ Ποσειδῶνος, οὐ μετὰ πολὺ ἐσείσθη σφίσιν ἡ πόλις συνεχεῖ τε ὁμοῦ καὶ ἰσχυρῷ τῷ σεισμῷ, ὥστε οἰκίαν μηδεμίαν τῶν ἐν Λακεδαίμονι ἀντισχεῖν [3]). Ἐγένετο δὲ τῆς Ἑλίκης ἀπώλεια 2
Ἀστείου μὲν Ἀθήνησιν ἔτι ἄρχοντος [4]), τετάρτῳ δὲ ἔτει τῆς πρώτης ὀλυμπιάδος ἐπὶ ταῖς ἑκατὸν, ἣν Δάμων Θούριος ἐνίκα τὸ πρῶτον. Ἑλικαίων δὲ οὐκ ἔτι ὄντων νέμονται τὴν χώραν οἱ Αἰγιεῖς.

Μετὰ δὲ Ἑλίκην ἀποτραπήσῃ τε ἀπὸ θαλάσσης 3
ἐς δεξιὰν, καὶ ἥξεις ἐς πόλισμα Κερύνειαν· ᾤκισται δὲ ὑπὲρ τὴν λεωφόρον ἐν ὄρει, καί οἱ τὸ ὄνομα ἢ δυνάστης ἐπιχώριος, ἢ ὁ Κερυνίτης ποταμὸς πεποίηκεν, ὃς ἐξ Ἀρκαδίας καὶ ὄρους Κερυνείας ῥέων Ἀχαιοὺς τοὺς ταύτῃ παρέξεισι. παρὰ τούτους σύνοικοι Μυκηναῖοι κατὰ συμφορὰν ἀφίκοντο ἐκ τῆς Ἀργολίδος. Μυκηναίοις μὲν γὰρ τὸ μὲν τεῖχος ἁλῶναι κατὰ τὸ ἰσχυρὸν οὐκ ἐδύνατο ὑπὸ Ἀργείων, (ἐτετείχιστο γὰρ κατὰ ταυτὰ τῷ ἐν Τίρυνθι ὑπὸ τῶν Κυκλώπων καλουμένων) κατὰ

2) τῶν Κύλωνι — κατειληφότων] De hoc vide Herodot. L. V. f. 71. et ibi not.

3) Λακεδαιμονίοις — ἀντισχεῖν] Haec supra leguntur L. IV. C. 34. p. 542. et in Thucyd. L. I. f. 128.

4) Ἀστείου — ἄρχοντος] Anno IV. Olymp. CI. Vide Diodor. Sic. L. XV. f. 48. et ibi Wesseling.

κατὰ ἀνάγκην δὲ ἐκλείπουσι Μυκηναῖοι τὴν πόλιν, ἐπιλειπόντων σφᾶς τῶν σιτίων· καὶ ἄλλοι μέν τινες ἐς Κλεωνὰς ἀποχωροῦσιν ἐξ αὐτῶν· τοῦ δήμου δὲ πλέον μὲν ἢ ἥμισυ ἐς Μακεδονίαν καταφεύγουσι παρ' Ἀλέξανδρον, ᾧ Μαρδόνιος ὁ Γωβρύου τὴν ἀγγελίαν ἐπίστευσεν ἐς Ἀθηναίους ἀπαγγεῖλαι [5])· ὁ δὲ ἄλλος δῆμος ἀφίκοντο ἐς τὴν Κερύνειαν. καὶ δυνατωτέρα τε ἡ Κερύνεια οἰκητόρων πλήθει καὶ ἐς τὸ ἔπειτα ἐγένετο ἐπιφανεστέρα διὰ τὴν συνοίκησιν τῶν
4 Μυκηναίων. Ἐν Κερυνείᾳ δέ ἐστιν ἱερὸν Εὐμενίδων· ἱδρύσασθαι δὲ αὐτὸ Ὀρέστην λέγουσιν. ὃς δ' ἂν ἐνταῦθα ἢ αἵματι ἢ ἄλλῳ τῳ μιάσματι ἔνοχος, ἢ καὶ ἀσεβὴς, ἐσέλθῃ θέλων θεάσασθαι, αὐτίκα λέγεται δείμασιν ἐκτὸς τῶν φρενῶν [6]) γίνεσθαι· καὶ τοῦδε εἵνεκα οὐ τοῖς πᾶσιν ἡ ἔσοδος, οὔτε ἐξ ἐπιδρομῆς ἐστι. τοῖς μὲν δὴ ἀγάλμασι ξύλων εἰργασμένοις, μέγεθός εἰσιν οὐ μεγάλαι [7]), κατὰ δὲ τὴν ἔσοδον ἐς τὸ ἱερὸν γυναικῶν εἰκόνες λίθου τέ εἰσιν εἰργασμέναι, καὶ ἔχουσαι τέχνης εὖ· ἐλέγοντο δὲ ὑπὸ τῶν ἐπιχωρίων
5 ἱέρειαι ταῖς Εὐμενίσιν αἱ γυναῖκες γενέσθαι. Ἐκ Κερυνείας δὲ ἐπανελθόντι ἐς τὴν λεωφόρον καὶ ὁδεύσαντι οὐκ ἐπὶ πολὺ, δεύτερά ἐστιν ἐς Βοῦραν ἀποτραπέσθαι· θαλάσσης δὲ ἐν δεξιᾷ καὶ ἡ Βοῦρα ἐν ὄρει κεῖται. τεθῆναι δέ φασι τῇ πόλει τὸ ὄνομα ἀπὸ γυναικὸς Βούρας, θυγατέρα δὲ αὐτὴν Ἴωνος τοῦ Ξούθου

καὶ

5) Ἀλέξανδρον, ᾧ — ἀπαγγεῖλαι] Vide Herodot. L. VIII. f. 136. et 140.

6) ἐκτὸς τῶν φρ.] Cod. Mosc. ἐκ τῶν φρ. Mox ἐξ ἐπιδρομῆς est *temere*, *non dedita opera*, et opponitur κατὰ σπουδήν.

7) τοῖς μὲν — μεγάλαι] scilicet εἰκόνες, quae vox mox subsequitur. Verborum constructio paullo durius est immutata pro τὰ μὲν ἀγάλματα ξ. εἰργασμένα, εἰκόνες εἰσὶ μέγεθος οὐ μεγάλαι.

καὶ Ἑλίκης εἶναι. ὅτε δὲ Ἑλίκην ἐποίησεν ἄδηλον ἐξ
ἀνθρώπων ὁ θεὸς, τότε καὶ τὴν Βοῦραν σεισμὸς ἐπέ-
λαβεν ἰσχυρὸς, ὡς μηδὲ τὰ ἀγάλματα ἐν τοῖς ἱεροῖς
ὑπολειφθῆναι τὰ ἀρχαῖα. ὁπόσοι δὲ τηνικαῦτα ἀπο-
δημοῦντες ἢ στρατείας ἕνεκα ἔτυχον, ἢ κατὰ πρόφασιν
ἀλλοίαν, μόνοι τε οὗτοι Βουραίων ἐλείφθησαν, καὶ
αὐτοὶ τῆς Βούρας ἐγένοντο οἰκισταί. ναὸς δὲ ἐνταῦθα
Δήμητρος· ὁ δὲ Ἀφροδίτης Διονύσου τέ ἐστι, καὶ ἄλλος
Εἰλειθυίας. λίθου τοῦ Πεντελησίου τὰ ἀγάλματα,
Ἀθηναίου δὲ ἔργα Εὐκλείδου· καὶ τῇ Δήμητρί ἐστιν
ἐσθής. πεποίηται δὲ καὶ Ἴσιδι ἱερόν. Καταβάντων 6
δὲ ἐκ Βούρας ὡς ἐπὶ θάλασσαν, ποταμός τε Βουραϊ-
κὸς ὀνομαζόμενος, καὶ Ἡρακλῆς οὐ μέγας ἐστὶν ἐν
σπηλαίῳ· ἐπίκλησις μὲν καὶ τούτου Βουραϊκός.
μαντείας δὲ ὑπὸ πίνακί [8]) τε καὶ ἀστραγάλοις ἐστὶ
λαβεῖν. εὔχεται μὲν γὰρ πρὸ τοῦ ἀγάλματος ὁ
τῷ θεῷ χρώμενος, ἐπὶ δὲ τῇ εὐχῇ λαβὼν ἀστρα-
γάλους (οἱ δὲ ἄφθονοι παρὰ τῷ Ἡρακλεῖ κεῖνται)
τέσσαρας ἀφίησιν ἐπὶ τῆς τραπέζης. ἐπὶ δὲ παντὶ
ἀστραγάλῳ σχήματα γεγραμμένα ἐν πίνακι ἐπίτηδες
ἐξήγησιν ἔχει τοῦ σχήματος. σταδίων δὲ ἐπὶ τὸν
Ἡρακλέα ὡς τριάκοντα ἐξ Ἑλίκης ὁδὸς ἡ εὐθεῖά ἐστιν.
Προελθόντι δὲ ἀπὸ τοῦ Ἡρακλεους, ποταμὸς ἐς 7
θάλασσαν ἐκδίδωσιν ἀένναος, ἐξ ὄρους Ἀρκαδικοῦ
κατερχόμενος· ὄνομα δὲ αὐτῷ καὶ τῷ ποταμῷ Κράθις,
ἔνθα αἱ πηγαὶ τοῦ ποταμοῦ τῷ ὄρει [9])· ἀπὸ ταύτης
τῆς

8) ὑπὸ πίνακί etc.] Mallem ἐπὶ πίνακί etc.

9) ὄνομα — Κράθις, ἔνθα — τῷ ὄρει] Sic ſententia eſſet: *monti nomen Crathidem eſſe et fluvio eo in loco, ubi ejus fontes ex monte procedant.* Id quod quodammodo firmari poſſit ex Strabone l. VIII. p. 592. C. ὁ Κράθις ῥεῖ ποταμὸς, ἐκ δυεῖν ποταμῶν αὐξόμενος, ἀπὸ τοῦ κίρνασθαι

τῆς Κράθιδος καὶ πρὸς Κρότωνι τῇ ἐν Ἰταλίᾳ ποταμὸς ὄνομα [10]) ἔσχηκε. πρὸς δὲ τῇ Ἀχαϊκῇ Κράθιδι Ἀχαιῶν ποτε ᾤκητο Αἰγαὶ πόλις· ἐκλειφθῆναι δὲ αὐτὴν ἀνὰ χρόνον ὑπὸ ἀσθενείας λέγουσι. τούτων δὲ καὶ Ὅμηρος [11]) τῶν Αἰγῶν ἐν Ἥρας λόγοις ἐποιήσατο μνήμην·

Οἱ δέ τοι εἰς Ἑλίκην τε καὶ Αἰγὰς δῶρ' ἀνάγουσι.

δῆλον ὡς γέρα τοῦ Ποσειδῶνος ἐπίσης ἔν τε Ἑλίκῃ καὶ ἐν ταῖς Αἰγαῖς ἔχοντος. οὐ πολὺ δὲ ἀπωτέρω Κράθιδος σῆμά τε ἐν δεξιᾷ τῆς ὁδοῦ, καὶ ἄνδρα εὑρήσεις ἐπὶ τῷ μνήματι, ἵππῳ παρεστῶτα, ἀμυδρὰν γραφήν.
8 Ὁδὸς δὲ ἀπὸ τοῦ τάφου σταδίων ὅσον τριάκοντα ἐπὶ τὸν καλούμενον Γαῖον· γῆς δὲ ἱερόν ἐστιν ὁ Γαῖος ἐπίκλησιν Εὐρυστέρνου· ξόανον δὲ ἐν τοῖς μάλιστα ὁμοίως ἐστὶν ἀρχαῖον. γυνὴ δὲ ἡ ἀεὶ τὴν ἱερωσύνην λαμβάνουσα ἁγιστεύει μὲν τὸ ἀπὸ τούτου, οὐ μὴν οὐδὲ τὰ πρότερά ἐστι πλέον ἢ ἑνὸς ἀνδρὸς ἐς πεῖραν ἀφιγμένη. πίνουσαι δὲ αἷμα ταύρου δοκιμάζονται· ἣ δ' ἂν αὐτῶν τύχῃ μὴ ἀληθεύουσα, αὐτίκα ἐκ τούτου τὴν δίκην ἔχει [12]). ἢν δὲ ὑπὲρ τῆς ἱερωσύνης ἀφίκωνται γυναῖκες εἰς ἀμφισβήτησιν πλέονες, ἡ τῷ κλήρῳ λαχοῦσα προτετίμηται.

κίρνασθαι τὴν ὀνομασίαν ἔχων. Sed *Sylb.* iſta male tranſpoſita et ita diſponenda eſſe cenſet: ὄν. δὲ αὐτ. τῷ ὄρει, ἔνθα αἱ πηγαὶ τοῦ ποταμοῦ, καὶ τῷ ποταμῷ Κρᾶθις. Et ſic *Amaſ.* interpretatus eſt. Conf. Pauſ. L. VIII. C. 15. in fine, ubi ὁ et ἡ Κρᾶθις, in Strabone autem et aliis conſtanter ſcribitur ὁ Κρᾶθις.

10) ὄνομα] Hanc vocem, quae perperam exciderat, reddidi ex Codice Moſc.

11) Ὅμηρος] Vid. Iliad. ϑ. v. 203.

12) ἔχει] Cod. Moſc. ἔσχεν.

CAPUT

## CAPUT XXVI.

De urbe Aegyra ejusque navali — prifco urbis nomine Hyperefia et recentioris origine — templis et fignis Aegyrae memorandis — Phelloë oppido ejusque memorandis — Pellene urbe — Donufa (Gonufa) oppido — Ariftonautis, Pelleneorum navali.

Ἐς δὲ τὸ ἐπίνειον τὸ Αἰγειρατῶν, (ὄνομα τὸ αὐτὸ ἥ τε
πόλις καὶ τὸ ἐπίνειον ἔχει) ἐς οὖν τὸ ἐπίνειον Αἰγειρῶν[1])
δύο καὶ ἑβδομήκοντα ἀπὸ τοῦ κατὰ τὴν ὁδὸν τὴν Βου-
ραϊκὴν εἰσιν Ἡρακλέους ςάδιοι. ἐπὶ θαλάσσῃ μὲν
δὴ Αἰγειράταις οὐδέν ἐςιν ἐς μνήμην· ὁδὸς δ' ἐκ τοῦ
ἐπινείου δύο ςαδίων καὶ δέκα ἐς τὴν ἄνω πόλιν.
Ὁμήρου [2]) δὲ ἐν τοῖς ἔπεσιν Ὑπερησία ὠνόμαςαι· 2
τὸ δὲ ὄνομα τὸ νῦν ἐγένετο Ἰώνων ἐποικούντων, ἐγένετο
δὲ ἐπ' αἰτίᾳ τοιᾷδε. Σικυωνίων ἀφίξεσθαι ςρατὸς
ἔμελλεν αὐτοῖς πολέμιος ἐς τὴν γῆν. οἱ δὲ (οὐ γὰρ
ἐδόκουν ἀξιόμαχοι τοῖς Σικυωνίοις εἶναι) ἀθροίζουσιν
αἶγας, ὁπόσαι σφίσιν ἦσαν ἐν τῇ χώρᾳ. συλλέξαντες
δὲ ἔδησαν πρὸς τοῖς κέρασιν αὐτῶν δᾷδας, καὶ, ὡς
πρόσω νυκτὸς ἦν, ἐξάπτουσι τὰς δᾷδας. Σικυώνιοι
δὲ (ἰέναι γὰρ συμμάχους τοῖς Ὑπερησιεῦσιν ἤλπιζον
καὶ εἶναι τὴν φλόγα ἐκ τοῦ ἐπικουρικοῦ πυρὸς) οἱ μὲν
οἴκαδε ἐπανήρχοντο, Ὑπερησίας δὲ τῇ πόλει τὸ ὄνομα
τὸ νῦν μετέθεντο [3]) ἀπὸ τῶν αἰγῶν· καὶ καθότι
αὐτῶν ἡ καλλίςη καὶ ἡγουμένη τῶν ἄλλων ὤκλασεν,
Ἀρτέμι-

1) Αἰγειρῶν] Scribendum effe Αἰγειρατῶν, recte monet *Sylburg*. Nam urbis nomen Αἴγειρα in omnibus fcriptoribus fingulari numero deprehenditur.

2) Ὁμήρου] Vide Iliad. β. v. 573.

3) μετέθεντο] Praeftat fcribere μετέθετο, ficuti fupra C. 17.

Ἀρτέμιδος Ἀγροτέρας ἐποιήσαντο ἱερὸν, τὸ σόφισμα ἐς τοὺς Σικυωνίους οὐκ ἄνευ τῆς Ἀρτέμιδός σφισιν ἐπελθεῖν νομίζοντες. οὐ μὴν καὶ αὐτίκα ἐξενίκησεν[4]) Αἴγειραν ἀντὶ Ὑπερησίας καλεῖσθαι· ἐπεὶ κατ' ἐμὲ ἦσαν ἔτι, οἱ Ὠρεὸν τὴν ἐν Εὐβοίᾳ τῷ ὀνόματι Ἑστιαίαν ἐκάλουν τῷ ἀρχαίῳ[5]).
3 Παρείχετο δὲ ἡ Αἴγειρα ἐς συγγραφὴν ἱερὸν Διὸς καὶ ἄγαλμα καθήμενον, λίθου μὲν Πεντελησίου, Ἀθηναίου δὲ ἔργον Εὐκλείδου. ἐν τούτῳ τῷ ἱερῷ καὶ Ἀθηνᾶς ἄγαλμα ἕστηκε· πρόσωπόν τε καὶ ἄκραι χεῖρες ἐλέφαντος καὶ οἱ πόδες, τὸ δὲ ἄλλο ξόανον χρυσοῦ τε ἐπιπολῆς διηνθισμένον ἐστὶ καὶ φαρμάκοις. Ἀρτέμιδός τε ναὸς καὶ ἄγαλμα τέχνης τῆς ἐφ' ἡμῶν· ἱερᾶται δὲ παρθένος, ἔστ' ἂν ἐς ὥραν ἀφίκηται γάμου. ἕστηκε δὲ καὶ ἄγαλμα ἐνταῦθα ἀρχαῖον, Ἰφιγένεια ἡ Ἀγαμέμνονος, ὡς οἱ Αἰγειρᾶταί φασιν· εἰ δὲ ἀληθῆ λέγουσιν οὗτοι, δῆλός ἐστιν ἐξ ἀρχῆς Ἰφιγενείᾳ ποιηθεὶς ὁ ναός. ἔστι καὶ Ἀπόλλωνος ἱερὸν ἐς τὰ μάλιστα ἀρχαῖον, τό τε ἱερὸν αὐτὸ καὶ ὁπόσα ἐν τοῖς ἀετοῖς· ἀρχαῖον δὲ καὶ τοῦ θεοῦ τὸ ξόανον, γυμνὸς, μεγέθει μέγας[6])· τὸν ποιήσαντα δὲ εἶχεν οὐδεὶς τῶν ἐπιχωρίων εἰπεῖν· ὅστις δὲ ἤδη τὸν Ἡρακλέα τὸν ἐν Σικυῶνι[7]) ἐθεάσατο, τεκμαίροιτο ἂν καὶ ἐν Αἰγείρᾳ τὸν Ἀπόλλωνα ἔργον εἶναι τοῦ αὐτοῦ Φλιασίου Λαφάους. Ἀσκληπιοῦ δὲ ἀγάλ-

4) ἐξενίκησεν] Cum *Sylburgio* ita ſcripſi pro mendoſe vulgato ἐξενίκησαν. Illud ſaepius in Pauſania.

5) Ὠρεὸν — ἀρχαίῳ] Vide Strab. L. X. p. 683. B.

6) γυμνὸς, μ. μέγας] Ad vocem θεὸς vel Ἀπόλλων haec relata, non ad praecedens ξόανον. In his enunciandis interdum non tam accuratus eſſe ſolet Pauſanias, commentarios in itinere feſtinanter conſcribenti ſimilis. Sic mox ἄγαλμα — τύχης, — φέρουσα. Conf. paullo ſupra not. 6. ad C. 25.

7) τὸν Ἡρακλέα τὸν ἐν Σικυῶνι] Vid. L. II. C. 10. init.

ἀγάλματα ὀρθά ἐστιν ἐν ναῷ, καὶ Σαράπιδος ἑτέρωθι καὶ Ἴσιδος, λίθου καὶ ταῦτα Πεντελησίου. τὴν δὲ Οὐρανίαν σέβουσι μὲν τὰ μάλιστα· ἐσελθεῖν δὲ ἐς τὸ ἱερὸν οὐκ ἔστιν ἀνθρώποις. Θεοῦ δὲ, ἣν Συρίαν ἐπονομάζουσιν, ἐς ταύτης τὸ ἱερὸν εἰσίασιν ἐν ἡμέραις ῥηταῖς, ἄλλα τε [8]), ὅσα νομίζουσι, προκαθαρεύσαντες καὶ ἐς τὴν δίαιταν. οἶδα καὶ οἴκημα ἐν Αἰγείρᾳ θεασάμενος· ἄγαλμα ἦν ἐν τῷ οἰκήματι Τύχης, τὸ κέρας φέρουσα τὸ Ἀμαλθείας· παρὰ δὲ αὐτὴν Ἔρως πτερὰ ἔχων ἐστίν· ἐθέλει δὲ σημαίνειν, ὅτι ἀνθρώποις καὶ τὰ ἐς ἔρωτα τύχῃ μᾶλλον ἢ ὑπὸ κάλλους κατορθοῦται. ἐγὼ μὲν οὖν Πινδάρου τά τε ἄλλα πείθομαι τῇ ᾠδῇ καὶ μοιρῶν τε εἶναι μίαν τὴν Τύχην, καὶ ὑπὲρ τὰς ἀδελφάς τι ἰσχύειν [9]). ἐν Αἰγείρᾳ δὲ, ἐν τούτῳ τῷ οἰκήματι, ἀνήρ τε ἤδη γέρων [10]) ἴσα καὶ ὀδυρόμενος, καὶ γυναῖκες αἱ τρεῖς ἀφαιρούμεναι ψέλλιά εἰσι, καὶ ἴσοι νεανίσκοι ταῖς γυναιξὶν, ὁ δὲ ἐνδεδυκὼς θώρακα. εἰς τοῦτόν [11]) φασιν Ἀχαιοὶ, γενομένου πολέμου μαχεσάμενον ἀνδρειότατα Αἰγειρατῶν τελευτῆσαι, καὶ αὐτοῦ τὸν θάνατον οἱ λοιποὶ τῶν ἀδελφῶν οἴκαδε ἀπήγγειλαν· καὶ τοῦδε εἵνεκα αἵ τε ἀδελφαὶ διὰ τὸ ἐπ' αὐτῷ πένθος ἀποκοσμοῦνται, καὶ τὸν πατέρα ἐπονομάζουσιν οἱ ἐπιχώριοι Συμπαθῆ, ἅτε ἐλεεινὸν καὶ

ἐν

8) ῥηταῖς, ἄλλα τε] Mallem ῥηταῖς, ἐς ἄλλα τε.

9) Πινδάρου — ἰσχύειν] Vid. *Schneideri* V. G. Carmin. Pindaric. Fragm. p. 82.

10) ἀνήρ τε ἤδη γέρων etc.] Num hae imagines opera artis in plano elevata an pictura expressa fuerint, non diserte indicavit Pausanias. Quae mox subsequuntur, ἅτε ἐλεεινὸν καὶ ἐν τῇ εἰκόνι, illa τύπους fuisse declarare videntur, non tabulas pictas. De simili ambiguitate conf. supra not. 2. ad L. I. C. 25.

11) εἰς τοῦτόν] *quod hunc attinet*. Mox pro Ἀχαιοὶ Cod. Mosc. exhibet Ἀχαιοῖς.

4 ἐν τῇ εἰκόνι. Ὁδὸς δὲ ἐξ Αἰγείρας εὐθεῖα ἀπὸ τοῦ ἱεροῦ τοῦ Διὸς διά τε ὀρῶν καὶ ἀνάντης ἐςῶσά ἐςι [12]· μῆκος μὲν οὖν τῆς ὁδοῦ τεσσαράκοντά εἰσι ςάδιοι, ἄγει δὲ ἐς Φελλόην, πόλισμα οὐκ ἐπιφανές· οὐδὲ ἀεὶ ᾠκεῖτο καὶ Ἰώνων ἔτι ἐχόντων τὴν γῆν. τὰ δὲ περὶ τὴν Φελλόην ἐς φυτείαν ἀμπέλων ἐςὶν ἐπιτήδεια· καὶ ὅσα πετρώδη τῆς χώρας, δρῦς τέ εἰσι καὶ θηρία, ἔλαφοι καὶ ὗς ἄγριοι. εἰ δέ τι [13]) τῶν ἐν Ἕλλησι πολισματίων ἀφθόνῳ καταῤῥεῖται τῷ ὕδατι, ἀριθμεῖν καὶ τὴν Φελλόην ἐςὶν ἐν τούτοις. Θεῶν δὲ ἱερὰ Διονύσου καὶ Ἀρτέμιδός ἐςιν· ἡ μὲν χαλκοῦ πεποίηται, βέλος δὲ ἐκ φαρέτρας λαμβάνουσα· τῷ Διονύσῳ δὲ ὑπὸ κινναβάρεως τὸ ἄγαλμά ἐςιν ἐπηνθισμένον. ἐς δὲ τὸ ἐπίνειον καταβᾶσιν ἐξ Αἰγείρας, καὶ αὖθις ἐς τὰ πρόσω βαδίζουσιν, ἔςιν ἐν δεξιᾷ τῆς ὁδοῦ τὸ ἱερὸν τῆς
5 Ἀγροτέρας, ἔνθα τὴν αἶγα ὀκλάσαι λέγουσι. Τῆς δὲ Αἰγειρατῶν ἔχονται Πελληνεῖς· πρὸς Σικυῶνος δὲ οὗτοι καὶ μοίρας τῆς Ἀργολίδος Ἀχαιῶν οἰκοῦσιν ἔσχατοι. τὸ δὲ ὄνομα ἐγένετο τῇ πόλει, λόγῳ μὲν τῷ Πελλήνων [14]), ἀπὸ Πάλλαντος, (τῶν Τιτάνων δὲ καὶ Πάλλαντα εἶναι λέγουσι) δόξῃ δὲ τῇ Ἀργείων, ἀπὸ ἀνδρὸς Ἀργείου Πέλληνος· Φόρβαντος δὲ εἶναι τοῦ Τριόπα
6 παῖδα αὐτὸν λέγουσιν. Αἰγείρας δὲ ἐν τῷ μεταξὺ καὶ Πελλήνης πόλισμα ὑπήκοον Σικυωνίων Δονοῦσα [15])

καλου-

12) ἐςῶσά ἐςι] ἐςῶσα de via dici nequit, unde mendum subesse patet. *Kuhn.* bene emendavit ἐςὶ, ὅσα ἐςὶ, *quanta quanta est.* Mallem tamen ἀνάντης, ὅσα ἐςί.

13) τι] Reposui τι ex Cod. Mosc. pro vulgato τινα.

14) Πελλήνων] Forte scribendum Πελληνέων vel Πελληνίων. Stephan. enim agnoscit alterum quoque gentile Πελλήνιος. Supra L. II. C. 12. fuit Πελληνίων pro Πελληνέων vel — ίων.

15) Δονοῦσα] Nec hic, nec in Homeri versiculo pro Δ reponendum est Γ, uti *Sylburg.* vult. Pausanias enim, sicuti

ὡς

καλουμένη, ἐγένετο μὲν ὑπὸ τῶν Σικυωνίων ἀνάστατος· μνημονεύειν δὲ καὶ Ὅμηρον ἐν καταλόγῳ τῶν σὺν Ἀγαμέμνονί φασιν αὐτῆς ποιήσαντα ἔπος·

Οἵ θ' Ὑπερησίην τε καὶ αἰπεινὴν Δονόεσσαν.

Πεισίστρατον δὲ, ἡνίκα 16) ἔπη τὰ Ὁμήρου διεσπασμένα
τε καὶ ἀλλαχοῦ μνημονευόμενα ἠθροίζετο, ἢ αὐτὸν
Πεισίστρατον, ἢ τῶν τινα 17) ἑταίρων μεταποιῆσαι τὸ
ὄνομα ὑπὸ ἀγνοίας. Ἔστι δὲ Ἀριστοναῦται Πελληνεῦ- 7
σιν ἐπίνειον. ἐς τοῦτο ἐξ Αἰγείρας τῆς ἐπὶ θαλάσσῃ
σταδίων ἐστὶν εἴκοσιν ὁδὸς καὶ ἑκατόν· ταύτης δὲ ἡμίσεια
ἐς Πελλήνην ἀπὸ τοῦ ἐπινείου. ὄνομα δὲ Ἀριστοναύτας
γενέσθαι τῷ ἐπινείῳ λέγουσιν, ὅτι καὶ ἐς τοῦτον τὸν
λιμένα ὡρμίσαντο οἱ πλεύσαντες ἐπὶ τῆς Ἀργοῦς.
Πελληνεῦσι δὲ ἡ πόλις ἐστὶν ἐπὶ λόφου κατὰ ἄκραν τὴν
κορυφὴν ἐς ὀξὺ ἀνεστηκότος. τοῦτο μὲν δὴ ἀπότομον,
καὶ δι' αὐτό ἐστιν ἀοίκητον· τῷ δὲ χθαμαλωτέρῳ πεπόλισταί σφισιν οὐ συνεχὴς ἡ πόλις, ἐς δὲ μοίρας νενεμημένη δύο ὑπὸ τῆς ἄκρας μεταξὺ ἀνεχούσης.

ea, quae mox subjiciuntur, docent, illud refert, quod homines istius regionis memorabant, scilicet priscam et veram Homeri scripturam fuisse Δον., illam vero a Pisistrato vel alio hujus rei ignaro mutatam esse cum Γον. Locus Homeri est Iliad. β. v. 573.

16) Πεισίστρατον δὲ, ἡνίκα etc.] De hac re vide Aelian. Var. Hist. L. XIII. C. 14 in fine et ibi not. Schefferi, et conf. Perizon. ad L. VIII. C. 2.

17) τῶν τινα] Cum *Sylburg.* τῶν rescripsi pro mendose vulgato τόν.

## CAPUT XXVII.

Memoranda in via Pellenen verſus, Mercurius Dolius — templum et feſtum Bacchi Lampteris et Apollinis Theoxenii — de Pellenaeorum gymnaſio et de Fromacho — Poſidio, Neptuni templo, et Myſaeo, templo Cereris Myſiae — Cyro, templo Aeſculapii.

Ἰόντων δὲ ἐς Πελλήνην, ἄγαλμά ἐϛιν Ἑρμοῦ κατὰ τὴν ὁδόν· ἐπίκλησιν μὲν Δόλιος, εὐχὰς δὲ ἀνθρώπων ἕτοιμος τελέσαι· σχῆμα δὲ αὐτῷ τετράγωνον· γένειά τε ἔχει, καὶ ἐπὶ τῇ κεφαλῇ πῖλον εἰργασμένον. κατὰ δὲ τὴν ὁδὸν ἐς αὐτὴν τὴν πόλιν ἐϛὶν Ἀθηνᾶς, λίθου μὲν ἐπιχωρίου, ναὸς, ἐλέφαντος δὲ τὸ ἄγαλμα καὶ χρυσοῦ· Φειδίαν δὲ εἶναι τὸν εἰργασμένον φασὶ, πρότερον ἔτι ἢ ἐν τῇ ἀκροπόλει τε αὐτὸν τῇ Ἀθηναίων, καὶ ἐν Πλαταιαῖς ποιῆσαι τῆς Ἀθηνᾶς τὰ ἀγάλματα[1]). λέγουσι δὲ οἱ Πελληνεῖς καὶ ἄδυτον τῆς Ἀθηνᾶς καθήκειν ἐς βάθος τῆς γῆς, εἶναι δὲ τὸ ἄδυτον τοῦτο ὑπὸ τοῦ ἀγάλματος τῷ βάθρῳ, καὶ τὸν ἀέρα ἐκ τοῦ ἀδύτου νότιόν τε εἶναι, καὶ δι' αὐτὸ τῷ ἐλέφαντι ἐπιτήδειον. ὑπὲρ δὲ τὸν ναὸν τῆς Ἀθηνᾶς ἐϛιν ἄλσος. περιῳκοδομημένον τείχει Σωτείρας ἐπίκλησιν Ἀρτέμιδος, καὶ ὀμνύουσιν ἐπὶ μεγίϛοις αὐτήν· ἔσοδός τε [2]) πλὴν τοῖς ἱερεῦσιν, ἄλλῳ

1) πρότερον ἔτι — τὰ ἀγάλματα] De hac Athenienſium Minerva vide ſupra L. I. C. 28. §. 2. et de Minerva Plataeënſium L. IX. C. 4. init.

2) ἔσοδός τε] Mallem ἔσοδος δέ.

ἄλλῳ δὲ οὐδενί ἐςιν ἀνθρώπων. ἱερεῖς δὲ ἄνδρες τῶν ἐπιχωρίων εἰσὶ κατὰ δόξαν γένους μάλιςα αἱρούμενοι. τοῦ δὲ ἄλσους τῆς Σωτείρας ἱερὸν ἀπαντικρὺ Διονύσου Λαμπτῆρός ἐςιν ἐπίκλησιν, τούτῳ καὶ Λαμπτηρίαν ἑορτὴν ἄγουσι, καὶ δᾳδάς τε ἐς τὸ ἱερὸν κομίζουσιν ἐν νυκτὶ, καὶ οἴνου κρατῆρας ἱςᾶσιν ἀνὰ τὴν πόλιν πᾶσαν. ἔςι καὶ Ἀπόλλωνος Θεοξενίου Πελληνεῦσιν ἱερόν· τὸ δὲ ἄγαλμα χαλκοῦ πεποίηται· καὶ ἀγῶνα ἐπιτελοῦσι Θεοξένια [3]) τῷ Ἀπόλλωνι, τιθέντες ἀργύριον ἆθλα τῆς νίκης· καὶ ἄνδρες ἀγωνίζονται τῶν ἐπιχωρίων. πλησίον δὲ τοῦ Ἀπόλλωνος ναός ἐςιν Ἀρτέμιδος· τοξευούσης δὲ ἡ θεὸς παρέχεται σχῆμα. ᾠκοδόμηται δὲ καὶ ἔλυτρον κρήνης ἐν τῇ ἀγορᾷ, καὶ λουτρά ἐςιν αὐτοῖς τὸ ὕδωρ τὸ ἐκ τοῦ θεοῦ, ἐπεί τοι πίνειν πηγαί σφισιν ὑπὸ τὴν πόλιν εἰσὶν οὐ πολλαί· τὸ δὲ χωρίον, ἔνθα αἱ πηγαὶ, Γλυκείας ὀνομάζουσι. Γυμνάσιον δὲ ἀρχαῖον ἐς ἐφήβων μάλιςα τελεῖται μελέτην· οὐδὲ ἐς τὴν πολιτείαν ἐγγραφῆναι πρότερον καθέςηκεν οὐδενὶ, πρὶν ἂν ἐφηβεύσωσιν. ἐνταῦθα ἀνὴρ Πελληνεὺς ἕςηκε Πρόμαχος ὁ Δρύωνος, ἀνελόμενος παγκρατίου νίκας, τὴν μὲν Ὀλυμπιάσι, τρεῖς δ' Ἰσθμίων, καὶ Νέμεα δύο· καὶ αὐτοῦ καὶ εἰκόνα ποιήσαντες οἱ Πελληνεῖς, τὴν μὲν ἐς Ὀλυμπίαν ἀνέθεσαν, τὴν δὲ ἐν γυμνασίῳ, λίθου ταύτην καὶ οὐ χαλκοῦ. λέγεται δὲ καὶ ὡς, Κορινθίου συνεςῶτος πολέμου Πελληνεῦσιν, ἀποκτείνειεν ὁ Πρόμαχος πλείςους τῶν ἀντιτεταγμέ-



3) Θεοξένια] Vide Hesych. v. Θευξένια et ibi not.

ταγμένων. λέγεται δὲ καὶ ὡς Πουλυδάμαντος [4]) τοῦ Σκοτουσσαίου κρατήσειεν Ὀλυμπίᾳ· τὸν δὲ Πουλυδάμαντα δεύτερα τότε ἐς ἀγῶνα ἀφῖχθαι τὸν Ὀλυμπικὸν] παρὰ βασιλέως τοῦ Περσῶν ἀνασωθέντα οἴκαδε. Θεσσαλοὶ δὲ, ἡσσηθῆναι Πουλυδάμαντα οὐχ ὁμολογοῦντες, παρέχονται καὶ ἄλλα ἐς πίστιν, καὶ ἐλεγεῖον ἐπὶ τῷ Πουλυδάμαντι·

Ὦ τροφὲ Πουλυδάμαντος ἀνικάτου Σκοτόεσσα.

Πελληνεῖς δ' οὖν Πρόμαχον τὰ μάλιστα ἄγουσιν ἐν τιμῇ, ἐν Χαιρωνείᾳ δύο ἀνελόμενον πάλης νίκας καὶ ἐν Ὀλυμπίᾳ τέσσαρας, οὐδὲ ἀρχὴν ἐθέλουσιν ὀνομάζειν, ὅτι κατέλυσε πολιτείαν (ἐμοὶ δοκεῖν) τὴν ἐν Πελλήνῃ, δῶρον τὸ ἐπιφθονώτατον παρὰ Ἀλεξάνδρου τοῦ Φιλίππου λαβὼν, τύραννος πατρίδος τῆς αὐτοῦ καταστῆναι [5]). ἔστι δὲ καὶ Εἰλειθυίας Πελληνεῦσιν ἱερόν· τοῦτο ἐν μοίρᾳ
4 τῆς πόλεως τῇ ἐλάσσονί ἐστιν ἱδρυμένον. Τὸ δὴ ὀνομαζόμενον Ποσείδιον τὰ μὲν ἀρχαιότερα ἦν δῆμος, ἔρημον δὲ ἐφ' ἡμῶν. ἔστι μὲν δὴ τὸ Ποσείδιον τοῦτο ὑπὸ τὸ γυμνάσιον· διαμεμένηκε δὲ καὶ ἐς τόδε ἔτι αὐτῷ Ποσειδῶνος ἱερὸν νομίζεσθαι. Πελ-

4) Πουλυδάμαντος] De hoc plura legimus supra L. VI. C. 5.

5) Πελλ. —, ἐν Χαιρωνείᾳ — καταστῆναι] Non illud solum, quod luctae certamen insolenter ad Chaeroneam initum memoratur, sed aetas quoque Promachi, quem diu ante Alexandri M. regnum vixisse constat, voces ἐν Χαιρωνείᾳ merito reddit suspectas. Quare inprimis probanda est Palmerii emendatio, qui Exercitat. p. 415. bene corrigit τὸν δὲ Χαίρωνα ex Athen. L. XI. p. 509. B. et ex Demosthenis orat. de foederibus cum Alexandro, quorum uterque Chaeronis, luctatoris et Pellenes tyranni, mentionem facit.

Πελλήνης δὲ ὅσον στάδια ἑξήκοντα ἀπέχει τὸ Μυσαῖον, ἱερὸν Δήμητρος Μυσίας· ἱδρύσασθαι δὲ αὐτὸ Μύσιόν φασιν ἄνδρα Ἀργεῖον· ἐδέξατο δὲ οἴκῳ Δήμητρα καὶ ὁ Μύσιος λόγῳ τῷ Ἀργείων. ἔστι δὲ ἄλσος ἐν τῷ Μυσαίῳ, δένδρα ὁμοίως τὰ πάντα [6]), καὶ ὕδωρ ἄφθονον ἄνεισιν ἐκ πηγῶν· ἄγουσι δὲ καὶ ἑορτὴν τῇ Δήμητρι ἐνταῦθα ἡμερῶν ἑπτά· τρίτη δὲ ἡμέρα τῆς ἑορτῆς ὑπεξίασιν οἱ ἄνδρες ἐκ τοῦ ἱεροῦ, καταλειπόμεναι δὲ αἱ γυναῖκες δρῶσιν ἐν τῇ νυκτὶ, ὁπόσα νόμος ἐστὶν αὐταῖς· ἀπελαύνονται δὲ οὐχ οἱ ἄνδρες μόνον, ἀλλὰ καὶ τῶν κυνῶν τὸ ἄῤῥεν. ἐς δὲ τὴν ἐπιοῦσαν ἀφικομένων ἐς τὸ ἱερὸν τῶν ἀνδρῶν, αἱ γυναῖκές τε ἐς αὐτοὺς, καὶ ἀνὰ μέρος ἐς τὰς γυναῖκας οἱ ἄνδρες γέλωτί τε ἐς ἀλλήλους χρῶνται καὶ σκώμμασιν. Ἀπωτέρω 5
δὲ οὐ πολὺ ἀπὸ τοῦ Μυσαίου ἱερόν ἐστιν Ἀσκληπιοῦ καλούμενον Κῦρος, καὶ ἰάματα ἀνθρώποις παρὰ τοῦ θεοῦ γίνεται. ὕδωρ δὲ καὶ ἐνταῦθα ἀνέδην ἐστὶ, καὶ ἐπὶ τῇ μεγίστῃ τῶν πηγῶν τοῦ Ἀσκληπιοῦ τὸ ἄγαλμα ἵδρυται. Ποταμοὶ δὲ ἐκ τῶν ὀρῶν κατέρχονται ὑπὲρ τὴν Πελλήνην, πρὸς μὲν Αἰγείρας καλούμενος Κριός· ἔχειν δὲ αὐτὸν τὸ ὄνομα ἀπὸ Τιτᾶνος Κριοῦ· καὶ Ἄλσος ὠνόμασται ποταμὸς, ὃς ἀρχόμενος ἐκ Σιπύλου τοῦ ὄρους ἐς τὸν Ἕρμον κάτεισι [7]). καθότι δὲ Πελληνεῦσιν



6) δένδρα ὁμοίως τὰ πάντα] scilicet ἄφθονα; quod ex subsequentibus ὕδωρ ἄφθονον huc revocandum est.

7) καὶ Ἄλσος ὠν. ποτ., ὃς — κάτεισι] Hunc quoque locum jure suspectum, quod amnis, qui Lydiam et Phrygiam perlabitur, in Peloponnesum transfertur, Palmer. Exercitat. p. 416. recte emendasse mihi videtur, pro καὶ Ἄλσος scribens ὡς καὶ ἄλλος ex Plinio H. N. L. V. C. 29.

ὅροι τῆς χώρας πρὸς Σικυωνίους [8]) εἰσὶ, κατὰ τοῦτο ποταμός σφίσι τις [9]) ἔσχατος ποταμῶν τῶν Ἀχαϊκῶν ἐς τὴν Σικυωνίαν ἐκδίδωσι θάλασσαν.

C. 29. in fine, ubi tamen Cryus legitur.

8) πρὸς Σικυωνίους] Ex Cod. Mosc. scripsi Σικυωνίους pro vulgata Σικυωνίας.

9) ποταμός σφ. τις] Vel τὶς nomen fluvii, vel illud in voce τις latere mihi videtur. *Kuhn.* forte fluvium Σῦν innui conjicit ex Ptolem. Geogr. L. III.

ΠΑΤΣΑ-

# ΠΑΥΣΑΝΙΟΥ

## ΕΛΛΑΔΟΣ ΠΕΡΙΗΓΗΣΕΩΣ

### ΑΡΚΑΔΙΚΑ.

# ARCADICA

SEU

# LIB. VIII.

## CAPUT I.

Arcadas mediterraneam Peloponnesi partem tenere, ex reliquarum civitatum finium summa breviter repetita ostenditur — de Pelasgo.

Ἀρκάδων δὲ τὰ πρὸ τῆς Ἀργείας [1]) Τεγεᾶται τε ἔχουσι καὶ Μαντινεῖς. νέμονται δὲ οὗτοί τε καὶ τὸ ἄλλο Ἀρκαδικὸν τὸ μεσόγαιον τῆς Πελοποννήσου. Κορίνθιοι γὰρ οἰκοῦσιν ἐπὶ τῷ Ἰσθμῷ πρῶτοι· Κορινθίοις δὲ τὰ πρὸς θαλάσσης εἰσὶν Ἐπιδαύριοι γείτονες. τὰ δὲ ἐς Ἐπίδαυρον καὶ Τροιζῆνά τε καὶ Ἑρμιόνα, ὁ κόλπος ἐστὶν ὁ Ἀργολικὸς καὶ ὅσα ἐπιθαλάσσια τῆς Ἀργείας. ταύτης δὲ ἔχονται τῆς χώρας Λακεδαιμονίων περίοικοι. τούτοις δὲ ὅμορος ἡ Μεσσηνία· καταβαίνει γὰρ μέχρι θαλάσσης ἐς Μεθώνην [2]) καὶ Πύλον καὶ ἐπὶ Κυπαρισσιάς. τὰ

1) πρὸ τῆς Ἀργείας] Recte *Kuhn.* emendat πρὸς τῆς Ἀργ. Sic mox τὰ πρὸς θαλάσσης, πρὸς Λεχαίου. Conf. not. 7. ad L. II. C. 24.

2) Μεθώνην] Vide supra not. 15. ad L. IV. C. 4.

τὰ δὲ πρὸς Λεχαίου Κορινθίοις Σικυώνιοι προσοικοῦσιν ἔσχατοι ταύτῃ μοίρας τῆς Ἀργολίδος. μετὰ Σικυῶνα Ἀχαιοὶ τὰ ἐντεῦθέν εἰσιν οἱ παρὰ τὸν αἰγιαλὸν οἰκοῦντες. τὸ δὲ ἕτερον Πελοποννήσου πέρας τὸ ἀπαντικρὺ τῶν Ἐχινάδων οἰκοῦσιν Ἠλεῖοι. τῆς δὲ γῆς τῆς Ἠλείας κατὰ μὲν Ὀλυμπίαν καὶ τοῦ Ἀλφειοῦ τὰς ἐκβολὰς πρὸς τὴν Μεσσηνίαν εἰσὶν ὅροι, τὰ δὲ πρὸς Ἀχαΐαν Δυμαίων εἰσὶν ὅροι. τούτων τῶν κατειλεγμένων καθηκόντων ἐπὶ θάλασσαν, Ἀρκάδες τὸ ἐντὸς οἰκοῦσιν ἀποκλειόμενοι θαλάσσῃ [3]) πανταχόθεν· ὅθεν σφᾶς καὶ Ὅμηρος [4]) ἀφικέσθαι φησὶν ἐς Τροίαν παρ' Ἀγαμέμνονος πλοῖα εἰληφότας, καὶ οὐχὶ
2 ναυσὶν οἰκείαις. Φασὶ δὲ Ἀρκάδες, ὡς Πελασγὸς γένοιτο ἐν τῇ γῇ ταύτῃ πρῶτος. εἰκὸς δὲ ἔχει τοῦ λόγου, καὶ ἄλλους ὁμοῦ τῷ Πελασγῷ, μηδὲ αὐτὸν Πελασγὸν γενέσθαι μόνον· ποίων γὰρ ἂν καὶ ἦρχεν ὁ Πελασγὸς ἀνθρώπων; μεγέθει μέν τοι καὶ κατὰ ἀλκὴν καὶ κάλλος προεῖχεν ὁ Πελασγὸς, καὶ γνώμην ὑπὲρ τοὺς ἄλλους ἦν, καὶ τούτων ἕνεκα αἱρεθῆναί μοι δοκεῖ βασιλεύειν ὑπ' αὐτῶν. Πεποίηται δὲ καὶ Ἀσίῳ τοιάδε ἐς αὐτόν·

Ἀντίθεον δὲ Πελασγὸν ἐν ὑψικόμοισιν ὄρεσσι
Γαῖα μέλαιν' ἀνέδωκεν, ἵνα θνητῶν γένος εἴη [5]).

Πελασ-

3) ἀποκλειόμενοι θαλάσσῃ] *mari interclusi.* Ita vero secundum constantem vocis ἀποκλειόμ. constructionem scribendum esse θαλάσσης, recte monuit *Kuhn.*

4) Ὅμηρος] Vide Iliad. β. v. 612.

5) ἵνα θνητῶν γένος εἴη] *ut mortalium genus existeret.* Quae sententia cum ceteris non repugnet, emendationem *Kuhnii* probare nequeo, qui θνητῶν ab emendantis manu profectum et ex Aldina θητῶν, *mercenariorum*, scribendum esse contendit, quod Pelasgi inter servos et servorum nomina referantur, coll. Suida Ἀρκάδας μιμούμενοι.

Πελασγὸς δὲ βασιλεύσας, τοῦτο μὲν ποιήσασθαι καλύβας ἐπενόησεν, ὡς μὴ ῥιγοῦν τε καὶ ὕεσθαι τοὺς ἀνθρώπους, μηδὲ ὑπὸ τοῦ καύματος ταλαιπωρεῖν· τοῦτο δὲ τοὺς χιτῶνας τοὺς ἐκ τῶν δερμάτων τῶν ὑῶν, οἷς καὶ νῦν περί τε Εὔβοιαν ἔτι χρῶνται καὶ ἐν τῇ Φωκίδι, ὁπόσοι βίου σπανίζουσιν, οὗτός ἐστιν ὁ ἐξευρών. καὶ δὴ καὶ τῶν φύλλων τὰ ἔτι χλωρὰ καὶ πόας τε καὶ ῥίζας οὐδὲ ἐδωδίμους, ἀλλὰ ὀλεθρίους ἐνίας, σιτουμένους τοὺς ἀνθρώπους, τούτων μὲν ἔπαυσεν ὁ Πελασγός· ὁ δὲ τῶν καρπῶν [6]) τῶν δρυῶν οὔτι που πασῶν, ἀλλὰ τὰς βαλάνους τῆς φηγοῦ τροφὴν ἐξεῦρεν εἶναι. παρέμεινέν τε ἐνίοις ἐς τοσοῦτον ἀπὸ Πελασγοῦ τούτου ἡ δίαιτα, ὡς καὶ τὴν Πυθίαν [7]), ἡνίκα Λακεδαιμονίοις γῆς τῆς Ἀρκάδων ἀπηγόρευεν ἅπτεσθαι, καὶ τάδε εἰπεῖν τὰ ἔπη·

Πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν,
Οἵ σ' ἀποκωλύσουσιν. ἐγὼ δέ τοι οὔ τι μεγαίρω.

Πελασγοῦ δὲ βασιλεύοντος γενέσθαι καὶ τῇ χώρᾳ Πελασγίαν [8]) φασὶν ὄνομα.

6) τῶν καρπῶν] Recte *Sylb.* emendat τὸν καρπόν.

7) ἀπὸ Πελασγοῦ —, ὡς καὶ τ. Πυθίαν etc.] Cod. Mosc. ἐπὶ Πελασγοῦ. Plenius memorat hoc oraculum Herodot. L. I. f. 66.

8) Πελασγίαν] Cod. Mosc. Πελασγίας.

CAPUT

## CAPUT II.

De Lycaone, Jove Lycaeo, ludis Lycaeis et Panathenaeis — hominibus deorum hospitibus et convivis — hominibus in deos relatis — fabulis vero superstructis.

Λυκάων δὲ ὁ Πελασγοῦ τοσάδε εὗρεν ἢ ὁ πατήρ οἱ [1]) σοφώτερα. Λυκοσούραν τε γὰρ πόλιν ᾤκισεν ἐν τῷ ὄρει τῷ Λυκαίῳ, καὶ Δία ὠνόμασε Λυκαῖον, καὶ ἀγῶνα ἔθηκε Λύκαια. οὐχὶ ἔτι [2]) δὲ τὰ παρ' Ἀθηναίοις Παναθήναια τεθῆναι πρότερα ἀποφαίνομαι· τούτῳ γὰρ τῷ ἀγῶνι Ἀθήναια ὄνομα ἦν, Παναθήναια δὲ κληθῆναί φασιν ἐπὶ Θησέως, ὅτι ὑπὸ Ἀθηναίων ἐτέθη συνειλεγμένων εἰς μίαν ἁπάντων πόλιν. ὁ δὲ ἀγὼν ὁ Ὀλυμπικὸς (ἐπανάγουσι γὰρ δὴ αὐτὸν ἐς τὰ ἀνωτέρω τοῦ ἀνθρώπων γένους, Κρόνον καὶ Δία αὐτόθι παλαῖσαι λέγοντες, καὶ ὡς Κούρητες δράμοιεν πρῶτοι) τούτων εἵνεκα ἐκτὸς ἔστω μοι τοῦ παρόντος λόγου. δοκῶ δὲ ἔγωγε, Κέκροπι ἡλικίαν τῷ βασιλεύσαντι Ἀθηναίων καὶ Λυκάονι εἶναι τὴν αὐτήν, σοφίᾳ δὲ οὐχ ὁμοίως σφᾶς ἐς τὸ θεῖον χρήσασθαι. ὁ μὲν γὰρ Δία τε ὠνόμασεν Ὕπατον πρῶτος, καὶ ὁπόσα ἔχει ψυχήν, τούτων μὲν ἠξίωσεν οὐδὲν θῦσαι, πέμματα δὲ ἐπιχώρια ἐπὶ τοῦ βωμοῦ καθήγισεν, ἃ πελάνους καλοῦσιν ἔτι καὶ ἐς ἡμᾶς Ἀθηναῖοι. Λυκάων δὲ ἐπὶ τὸν βωμὸν τοῦ Λυκαίου Διὸς βρέφος ἤνεγκεν ἀνθρώπου, καὶ ἔθυσε τὸ βρέφος, καὶ ἔσπεισεν ἐπὶ τοῦ βωμοῦ τὸ αἷμα· καὶ αὐτὸν αὐτίκα ἐπὶ τῇ θυσίᾳ γενέσθαι λύκον φασὶν ἀντὶ ἀνθρώπου·

καὶ

1) *πατήρ οἱ*] *pater ipsius.* Forte tamen *οἱ* delendum est.

2) *οὐχὶ ἔτι*] Cod. Mosc. *οὐκ ἔτι*, quod praefero.

καὶ ἐμέ γε ὁ λόγος οὗτος πείθει, λέγεται δὲ ὑπὸ Ἀρκάδων ἐκ παλαιοῦ, καὶ τὸ εἰκὸς αὐτῷ πρόσεστιν. Οἱ γὰρ δὴ τότε ἄνθρωποι ξένοι καὶ ὁμοτράπεζοι θεοῖς 2 ἦσαν ὑπὸ δικαιοσύνης καὶ εὐσεβείας· καί σφισιν ἐναργῶς ἀπήντα παρὰ τῶν θεῶν τιμή τε οὖσιν ἀγαθοῖς, καὶ ἀδικήσασιν ὡσαύτως ὀργή. ἐπεί τοι καὶ θεοὶ τότε ἐγίνοντο ἐξ ἀνθρώπων, οἳ γέρα καὶ ἐς τόδε ἔτι ἔχουσιν, ὡς Ἀρισταῖος [3]), καὶ Βριτόμαρτις ἡ Κρητική [4]), καὶ Ἡρακλῆς ὁ Ἀλκμήνης, καὶ Ἀμφιάραος ὁ Οἰκλέους [5]), ἐπὶ δὲ αὐτοῖς Πολυδεύκης τε καὶ Κάστωρ. οὕτω πείθοιτο [6]) ἄν τις, καὶ Λυκάονα θηρίον, καὶ τὴν Ταντάλου Νιόβην γενέσθαι λίθον. ἐπ' ἐμοῦ δὲ (κακία γὰρ δὴ ἐπὶ πλεῖστον ηὔξετο καὶ γῆν τε ἐπενέμετο πᾶσαν καὶ πόλεις πάσας) οὔτε θεὸς ἐγίνετο οὐδεὶς ἔτι ἐξ ἀνθρώπου, πλὴν ὅσον λόγῳ καὶ κολακείᾳ πρὸς τὸ ὑπερέχον· καὶ ἀδίκοις μὲν τὸ μήνιμα τὸ ἐκ τῶν θεῶν ὀψέ τε [7]) καὶ ἀπελθοῦσιν ἐντεῦθεν ἀπόκειται. Ἐν δὲ τῷ παντὶ αἰῶνι πολλὰ μὲν πάλαι 3 συμβάντα, καὶ ἔτι [8]) δὲ γινόμενα, ἄπιστα εἶναι πεποιήκασιν ἐς τοὺς πολλοὺς οἱ τοῖς ἀληθέσιν ἐποικοδομοῦντες ἐψευσμένα. λέγουσι γὰρ δὴ, ὡς Λυκάονος ὕστερον δή τις ἐξ ἀνθρώπου λύκος γένοιτο ἐπὶ τῇ θυσίᾳ τοῦ Λυκαίου Διὸς, γίγνοιτο δὲ οὐκ εἰς ἅπαντα τὸν βίον· ὁπότε δὲ εἴη λύκος, εἰ μὲν κρεῶν ἀπόσχοιτο ἀνθρω-

3) Ἀρισταῖος] De hoc vid. L. X. C. 17.

4) Βριτόμαρτις ἡ Κρ.] De ea vide supra L. II. C. 30. §. 3. et ibi not.

5) ὁ Οἰκλέους] Ald. et Cod. Mosc. male Ἰοκλέους. Vide supra not. ad L. VI. C. 17.

6) πείθοιτο] Sic scribere non haesitavi pro vulgata πύθοιτο. Similiter C. 7. πείθοιτο ἄν τις, et alibi saepius.

7) ὀψέ τε] Mallem ὀψὲ δὲ, ut respondeat antecedenti μέν.

8) καὶ ἔτι] Reposui καὶ ἔτι pro vulgatis μηκέτι ex Codice Vind. et Mosc.

ἀνθρωπίνων, ὕστερον ἔτει δεκάτῳ φασὶν αὐτὸν αὖθις ἄνθρωπον ἐκ λύκου γενέσθαι, γευσάμενον δὲ, ἐσαεὶ μένειν θηρίον. ὡσαύτως δὲ καὶ Νιόβην λέγουσιν ἐν Σιπύλῳ τῷ ὄρει θέρους ὥρᾳ κλαίειν. ἤδη δὲ καὶ ἄλλα ἤκουσα, τοῖς γρυψὶ στίγματα ὁποῖα καὶ τοῖς παρδάλεσιν εἶναι, καὶ ὡς οἱ Τρίτωνες ἀνθρώπου φωνῇ φθέγγοιντο· οἱ δὲ καὶ φυσᾶν διὰ κόχλου τετρυπημένης φασὶν αὐτούς. ὁπόσοι δὲ μυθολογήμασιν ἀκούοντες ἥδονται, πεφύκασι καὶ αὐτοί τι ἐπιτερατεύεσθαι· καὶ οὕτω τοῖς ἀληθέσιν ἐλυμήναντο συγκεραννύντες αὐτὰ ἐψευσμένοις.

## CAPUT III.

De Nyctimo ac reliquis Lycaonis filiis, urbibusque ab iis conditis — Oenotrus natu minimus in Italiam trajicit — de Callisto, Lycaonis filia.

Τρίτῃ δὲ ὕστερον γενεᾷ μετὰ Πελασγὸν ἔς τε πόλεων καὶ ἐς ἀνθρώπων πλῆθος ἐπέδωκεν ἡ χώρα. Νύκτιμος μὲν γὰρ πρεσβύτατός τε ἦν καὶ εἶχε τὸ πᾶν κράτος· οἱ δὲ ἄλλοι παῖδες τοῦ Λυκάονος πόλεις ἐνταῦθα ἔκτιζον, ἔνθα ἑκάστῳ ἦν μάλιστα κατὰ γνώμην. Πάλλας μὲν καὶ Ὀρεσθεὺς καὶ Φίγαλος Παλλάντιον [1]), Ὀρεσθεὺς δὲ Ὀρεσθάσιον, Φιγαλίαν δὲ οἰκίζει Φίγαλος. Παλλαντίου μὲν δὴ καὶ Στησίχορος ὁ Ἱμεραῖος ἐν Γηρυονίδι [2]) ἐποιήσατο μνήμην. Φιγαλία δὲ καὶ

1) Φίγαλος Παλλάντιον] Φίγαλος cum aliis a Pausania enumeratis desideratur in Apollodori recensione L filiorum Lycaonis, L. III. C. 8. §. 1. De scriptura nominis Παλλάντιον cum λ et λλ vide Wesseling. ad Diodor. L. XV. f. 59.

2) Γηρυονίδι] Mendose vulgatam Γηρυόνῃ Δι' denuo vulgare non sustinui, sed rectiorem reposui, quam jam proposuit Such-

καὶ Ὀρεσθάσιον [3]) χρόνῳ μεταβάλλουσι τὰ ὀνόματα, Ὀρέστειόν τε ἀπὸ Ὀρέστου κληθεῖσα τοῦ Ἀγαμέμνονος, καὶ Φιγαλία ἀπὸ τοῦ Βουκολίωνος παιδὸς Φιγάλου [4]). Τραπεζεὺς δὲ καὶ Ἐλεάτας, καὶ Μακαρεὺς, καὶ Ἑλισσὼν, καὶ Ἄκακός τε καὶ Θωκὸς, Θωκίαν [5]) πόλιν, ὁ δὲ Ἀκακήσιον ἔκτισεν. ἀπὸ τούτου δὲ τοῦ Ἀκάκου καὶ Ὅμηρος λόγῳ τῷ Ἀρκάδων ἐς Ἑρμῆν ἐποίησεν ἐπίκλησιν [6]). ἀπὸ δὲ Ἑλισσόντος ἥ τε πόλις καὶ ὁ ποταμὸς Ἑλίσσων τὰ ὀνόματα ἐσχήκασιν. ὡσαύτως καὶ Μακαρία τε καὶ Δασέα [7]), καὶ Τραπεζοῦς [8]), ἀπὸ τῶν Λυκάονος ἐκλήθησαν καὶ αὗται παίδων. Ὀρχομενὸς δὲ ἐγένετο οἰκιστὴς Μεθυδρίου τε καλουμένης, καὶ Ὀρχομενίων, οὓς ἐν τοῖς ἔπεσι πολυ-

*Suchfort* in editione fragmentor. Stesichori p. 20. IV. *Heringa* Observ. C. II. p. 20. mavult Γηρυονηΐδι. Similis vocum depravatio supra fuit L. I. C. 43. not. 7. ὅπῃ δὴ pro Ὅπιδι.

3) Ὀρεσθάσιον] Sic pro Ὀρεσθάσια ἐν rescripsi cum ex Pausania paullo ante et infra, atque ex Stephano, qui hunc Pausaniae locum laudat, tum ex loquendi usu, qui semper χρόνῳ, *tempore procedente*, exhibet, non ἐν χρόνῳ.

4) Φιγαλία — Φιγάλου] Scribendum esse Φιαλία et Φιάλου, ex Pausan. hujus libri C. 5. et C. 39. init., nec non ex Stephano luce clarius patet. Conf. Wesseling. ad Diodor. L. XV. f. 40.

5) Θωκὸς, Θωκίαν] Infra C. 29. in fine legitur Θῶκνος et Θωκνία. Utrumque quoque Stephanus ex Pausania habet.

6) Ὅμηρος — ἐπίκλησιν] Locus Homeri est Iliad. π. v. 185., ubi Mercurius ἀκάκητα dicitur, a Pausania infra C. 36. in fine ἀκακήσιος.

7) Μακαρία τε καὶ Δασέα] Haec nomina quoque Μακαρέαι et Δασέαι enunciata fuisse, ex Pausan. C. 36 in fine et ex Stephano apparere videtur. Pro Δασέα *Amas*. hic exhibet Elea, scil. a conditore paullo supra memorato Ἐλεάτας. Sed cum Geographi veteres nullam Arcadiae Eleam memorent, Ἐλεάτας potius corruptum et pro illo reponendum sit Δασεάτας.

8) Τραπεζοῦς] Aliam nominis originem affert Apollodor. L. III. C. 8. §. 1.

πολυμήλους ὠνόμασεν Ὅμηρος[9]). ὑπὸ δὲ Ὑψοῦντος καὶ Μελαινεαί[10]) τε ἐκτίσθησαν καὶ Ὑψοῦς, ἔτι Θύραιόν τε κατ᾽ ἐμέ[11])· δόξῃ δὲ τῇ Ἀρκάδων, καὶ ἡ Θυραία ἐν τῇ Ἀργολίδι γῇ, καὶ ὁ Θυραιάτης καλούμενος κόλπος, ἀπὸ τοῦ Θυραιάτα τούτου[12]) τὰ ὀνόματα ἐσχήκασι. Μαντινεὺς δὲ καὶ Τεγεάτης καὶ Μαίναλος, ὁ μὲν τῶν ἐν Ἀρκαδίᾳ πόλεων ὀνομαστοτάτην τὸ ἀρχαῖον Μαίναλον, Τεγεάτης δὲ καὶ Μαντινεὺς Τεγέαν κτίζουσι καὶ Μαντίνειαν. ὠνομάσθησαν δὲ ἀπὸ Κρώμου Κρῶμοι[13])· καὶ Χαρισία[14]) Χαρίσιον ἔχουσα οἰκιστήν· Τρικόλωνοι δὲ ἀπὸ Τρικολώνου· καὶ ἀπὸ μὲν Πε: ραίθου Περαιθεῖς· Ἀσαία[15]) δὲ ἀπὸ Ἀσαιάτα· καὶ ἀπὸ Λυκέως Λυκεᾶται[16])· Σουματία ἀπὸ

9) Ὅμηρος] Il. β. v. 605.

10) καὶ Μελαινεαί] Pro vulgata Μελεναῖαι sic scripsi ex Pausania C. 26. in fine et Stephano v. Μέλαιναι. Ceterum post καὶ excidisse Μελανέως, conditoris nomen, non temere suspicatur *Sylburg.*

11) ἔτι Θύραιόν τε κατ᾽ ἐμέ] Amas. *ad haec Thyraeum, quod hac etiamnum aetate extat. Sylb.* κατ᾽ ἐμὲ interpretari videtur *secundum meam sententiam*, ut opponatur sequentibus δόξῃ δέ etc. At Cod. Mosc. prorsus aliam et, si quid sentio, genuinam lectionem servavit exhibens ἔτι δὲ Θύραιόν τε καὶ Αἵμονα. Pro Αἵμονα scilicet scribendum est Αἱμονιαὶ, de qua urbe vide Pausan. C. 44. hujus libri.

12) τοῦ Θυραιάτα τούτου] Emendandum esse τοῦ Θυραίου τούτου, liquet ex C. 35. Λυκάονος δὲ εἶναι Θυραῖόν τε καὶ Ὑψοῦντα, προεδήλωσεν ἡμῖν ὁ λόγος.

13) Κρώμου Κρῶμοι] Non parum hoc nomen variare videtur. C. 34. in fine est Κρώμων, ubi vide not.

14) Χαρισία] Rectius pluraliter Χαρισίαι scribendum videtur ex Pausan. C. 35. et ex Stephano, qui nostrum laudat.

15) Ἀσαία] Infra C. 44. et in Stephano legitur Ἀσέα. Forte hic legendum sit Ἀσαιάται δὲ ἀπὸ Ἀσαίου.

16) Λυκεάται] Cap. 27. est Λυκόται et Λυκαιᾶται, et C. 36. urbs Λυκόα, quam etiam Stephanus cum gentili Λυκοάται agnoscit.

ἀπὸ Σουματέως. Ἁλίφθορος [17]) δὲ καὶ Ἡραιεὺς
ἐπώνυμοι καὶ οὗτοι πόλεσίν εἰσιν ἀμφότεροι. Οἴνωτρος 2
δὲ ὁ τῶν παίδων νεώτατος Λυκάονι τῶν ἀρσένων,
Νύκτιμον τὸν ἀδελφὸν χρήματα καὶ ἄνδρας αἰτήσας,
ἐπεραιώθη ναυσὶν ἐς Ἰταλίαν, καὶ ἡ Οἰνωτρία χώρα
τὸ ὄνομα ἔσχεν ἀπὸ Οἰνώτρου βασιλεύοντος. οὗτος
ἐκ τῆς Ἑλλάδος ἐς ἀποικίαν στόλος πρῶτος ἐστάλη·
ἀναριθμουμένῳ δὲ ἐς τὸ ἀκριβέστατον, οὐδὲ ἐκ τῶν
βαρβάρων οὐδένες πρότερον ἢ Οἴνωτρος ἀφίκοντο ἐς
τὴν ἀλλοδαπήν. Ἐπὶ δὲ τῷ γένει παντὶ τῷ ἄρσενι 3
θυγάτηρ Λυκάονι ἐγένετο Καλλιστώ. ταύτῃ τῇ Καλ-
λιστοῖ (λέγω δὲ τὰ λεγόμενα ὑπὸ Ἑλλήνων) συνεγένετο
ἐρασθεὶς Ζεύς. Ἥρα δὲ ὡς ἐφώρασεν, ἐποίησεν
ἄρκτον τὴν Καλλιστὼ, Ἄρτεμις δὲ ἐς χάριν τῆς Ἥρας
κατετόξευσεν αὐτήν. καὶ ὁ Ζεὺς Ἑρμῆν πέμπει σῶσαι
τὸν παῖδά οἱ προστάξας, ὃν ἐν τῇ γαστρὶ εἶχεν ἡ Καλ-
λιστώ· Καλλιστὼ δὲ αὐτὴν ἐποίησεν ἀστέρας καλουμένην
ἄρκτον μεγάλην, ἧς καὶ Ὅμηρος [18]) ἐν Ὀδυσσέως
ἀνάπλῳ παρὰ Καλυψοῦς μνήμην ἔσχε·

Πληϊάδας τ' ἐσορῶντι, καὶ ὀψὲ δύοντα Βοώτην,
Ἄρκτον θ', ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν.

ἔχοιεν δ' ἂν καὶ ἄλλως τὸ ὄνομα οἱ ἀστέρες ἐπὶ τιμῇ
τῇ Καλλιστοῦς, ἐπεὶ τάφον γε αὐτῆς ἀποφαίνουσιν οἱ
Ἀρκάδες.

17) Ἁλίφθορος] Cod. Mosc. Ἁλίφθηρος. In Apollodor. l. c. legitur Ἁλίφηρος, et in Stephano Ἀλίφειρος et urbs inde appellata Ἀλίφειρα, quae a Pauf. C. 26. Ἀλίφηρα dicitur.

18) Ὅμηρος] Odyss. ε. v. 272., unde ἐσορῶντι scripsi pro mendose vulgato ἐσορῶντα.

## CAPUT IV.

De Arcade et regione inde dicta — ejus uxore Erato, filiis et regno iis diviso — eorum posteris — Aepyto a serpente sepe confecto — Aleo rege — Auge, Alei filia — Lycurgo rege ejusque prole.

Μετὰ δὲ Νύκτιμον ἀποθανόντα Ἀρκὰς ἐξεδέξατο ὁ Καλλιστοῦς τὴν ἀρχήν· καὶ τόν τε ἥμερον καρπὸν ἐσηγάγετο οὗτος παρὰ Τριπτολέμου, καὶ τὴν ποίησιν ἐδίδαξε τοῦ ἄρτου, καὶ ἐσθῆτα ὑφαίνεσθαι, καὶ ἄλλα τὰ ἐς ταλασίαν μαθὼν παρ' Ἀδρίστα [1]). ἀπὸ τούτου δὲ βασιλεύσαντος Ἀρκαδία τε ἀντὶ Πελασγίας ἡ χώρα, καὶ ἀντὶ Πελασγῶν Ἀρκάδες ἐκλήθησαν οἱ
2 ἄνθρωποι. Συνοικῆσαι δὲ οὐ θνητῇ γυναικὶ αὐτόν, ἀλλὰ νύμφῃ Δρυάδι ἔλεγον· Δρυάδας γὰρ δὴ καὶ Ἐπιμηλιάδας τὰς ἑαυτῶν ἐκάλουν Ναΐδας [2])· καὶ Ὁμήρῳ [3]) γε ἐν τοῖς ἔπεσι Ναΐδων νυμφῶν μάλιστά ἐστι μνήμη. τὴν δὲ νύμφην ταύτην καλοῦσιν Ἐρατώ, καὶ ἐκ ταύτης φασὶν Ἀρκάδι Ἀζᾶνα καὶ Ἀφείδαντα γενέσθαι καὶ Ἔλατον· ἐγεγόνει δὲ αὐτῷ πρότερον ἔτι Αὐτόλαος νόθος. τοῖς δὲ παισίν, ὡς ηὐξήθησαν, διένειμεν Ἀρκὰς τριχῇ τὴν χώραν· καὶ ἀπὸ μὲν Ἀζᾶνος ἡ Ἀζανία μοῖρα [4]) ὠνομάσθη· παρὰ τούτων δὲ ἀποικισθῆναι λέγουσιν, ὅσοι περὶ τὸ ἄντρον ἐν Φρυγίᾳ τὸ

1) παρ' Ἀδρίστα] Cod. Mosc. παρὰ Δρίστα, et sic Stephan. Nigrum quoque legisse *Kuhn.* testatur, indeque παρ' Ἀριστία scribendum censet, *Sylb.* autem Ἀρισταίου, de quo vide L. X. C. 17. Ἀρίστας memoratur infra C. 24. init.

2) Ἐπιμηλιάδας τὰς ἑαυτῶν ἐκάλ. Ναΐδας] Suid. Ἐπιμηλίδες, νύμφαι. Pro ἑαυτῶν cum *Sylb.* emendare ἑτέρων, minime est necessarium.

3) Ὁμήρῳ etc.] Vide Odyss. ν. v. 103. sq.

4) μοῖρα] In Codice Mosc. abest.

τὸ καλούμενον Στεῦνος καὶ Πέγκαλαν ποταμὸν [5]) οἰ-
κοῦσιν. Ἀφείδας δὲ Τέγεαν καὶ τὴν προσεχῆ ταύτῃ
ἔλαχεν· ἐπὶ τούτῳ δὲ καὶ ποιηταὶ καλοῦσιν Ἀφει-
δάντειον κλῆρον [6]) τὴν Τέγεαν. Ἔλατος δὲ ἔσχε τὸ
ὄρος τὴν Κυλλήνην, ἔτι τότε οὖσαν ἀνώνυμον· χρόνῳ
δὲ ὕστερον μετῴκησεν ὁ Ἔλατος ἐς τὴν νῦν καλουμένην
Φωκίδα, καὶ τοῖς τε Φωκεῦσιν [7]) ἤμυνεν ὑπὸ Φλεγύων
πολέμῳ πιεζομένοις, καὶ Ἐλατείας πόλεως ἐγένετο
οἰκιστής. Παῖδα δὲ Ἀζᾶνι μὲν Κλείτορα, Ἀφείδαντι 3
δὲ Ἀλεὸν, Ἐλάτῳ δέ φασιν εἶναι πέντε, Αἴπυτον,
Περέα, Κυλλῆνα, Ἴσχυν, Στύμφηλον. ἐπὶ δὲ Ἀζᾶνι
τῷ Ἀρκάδος τελευτήσαντι ἆθλα ἐτέθη πρῶτον·
εἰ μὲν καὶ ἄλλα, οὐκ οἶδα, ἱπποδρομίας δὲ ἐτέθη.
Κλείτωρ μὲν δὴ ὁ Ἀζᾶνος ἐν Λυκοσώρᾳ [8]) τε ᾤκει,
καὶ ἦν τῶν βασιλέων δυνατώτατος, καὶ Κλείτορα ᾤκι-
σεν ἀπ᾽ αὐτοῦ πόλιν. Ἀλεὸς δὲ εἶχε τὴν πατρῴαν
λῆξιν. ἀπὸ δὲ Ἐλάτου τῶν παίδων, Κυλλήνην τὸ
ὄρος καλοῦσιν ἀπὸ Κυλλῆνος· καὶ ἀπὸ Στυμφήλου
πηγή τε ὀνομάζεται καὶ πόλις Στύμφηλος ἐπὶ τῇ πηγῇ.
τὰ δὲ ἐς τὸν θάνατον Ἴσχυος τοῦ Ἐλάτου πρότερον ἔτι
ἐν τῇ συγγραφῇ τῇ Ἀργολίδι [9]) ἐδήλωσα. παῖδα δὲ
Περεῖ ἄρρενα μέν φασιν οὐδένα, Νέαιραν δὲ γενέσθαι
θυγατέρα· ταύτην γυναῖκα ἔσχεν Αὐτόλυκος, οἰκῶν
μὲν ἐν τῷ ὄρει τῷ Παρνασσῷ, λεγόμενος δὲ Ἑρμοῦ



5) Στεῦνος καὶ Πέγκαλαν ποτ.] Hoc antrum describitur L. X. C. 32. et ibi Πευκέλλας legitur.

6) Ἀφειδάντειον κλῆρον] Vid. Apollon. Rhod. L. I. v. 162.

7) καὶ τοῖς τε Φωκεῦσιν etc.] Vide L. X. C. 34.

8) Λυκοσώρᾳ] Vel dorice pro Λυκοσούρᾳ vel rectius ita legendum est, uti alibi constanter in Pausania scribitur.

9) ἐν τῇ συγγραφῇ τῇ Ἀργ.] Vid. L. II. C. 26., ubi tamen non Ischyis mors, sed cum Coronide concubitus memoratur.

παῖς εἶναι, Δαιδαλίωνος δὲ ὢν τῷ ἀληθεῖ λόγῳ.
4 Κλείτορι δὲ τῷ Ἀζᾶνος οὐ γενομένων παίδων, ἐς
Αἴπυτον Ἐλάτου περιεχώρησεν ἡ Ἀρκάδων βασιλεία.
τὸν δὲ Αἴπυτον ἐξελθόντα ἐς ἄγραν, θηρίων μὲν τῶν
ἀλκιμωτέρων οὐδὲν, σὴψ δὲ οὐ προϊδόμενον ἀποκτείν-
νυσι [10]). τὸν δὲ ὄφιν τοῦτον καὶ αὐτός ποτε εἶδον·
κατὰ ἔχιν ἐστὶ τὸν μικρότατον, τέφρᾳ ἐμφερὴς, στίγμα-
σιν οὐ συνεχέσι πεποικιλμένος· κεφαλὴ δέ ἐστιν αὐτῷ
πλατεῖα, καὶ τράχηλος στενὸς, γαστέρα δὲ ἔχει μεί-
ζονα, καὶ οὐρὰν βραχεῖαν· βαδίζει δὲ οὗτός τε καὶ
ὄφις ἕτερος ὁ κεράστης καλούμενος, ἐνδιδόντες ἐς τὰ
5 πλάγια, ὥσπερ οἱ καρκίνοι. Μετὰ δὲ Αἴπυτον ἔσχεν
Ἀλεὸς τὴν ἀρχήν. Ἀγαμήδης μὲν γὰρ καὶ Γόρτυς
οἱ Στυμφήλου τέταρτον γένος ἦσαν ἀπὸ Ἀρκάδος·
Ἀλεὸς δὲ τρίτον ὁ Ἀφείδαντος. Ἀλεὸς δὲ τῇ τε
Ἀθηνᾷ τῇ Ἀλέᾳ τὸ ἱερὸν ᾠκοδόμησεν ἐν Τεγέᾳ τὸ
ἀρχαῖον, καὶ αὐτῷ κατεσκευάσατο αὐτόθι ἡ βασιλεία.
Γόρτυς δὲ ὁ Στυμφήλου πόλιν Γόρτυνα ᾤκισεν ἐπὶ
ποταμῷ· καλεῖται δὲ Γορτύνιος καὶ ὁ ποταμός.
6 Ἀλεῷ δὲ ἄρσενες μὲν παῖδες Λυκοῦργός τε καὶ Ἀμφι-
δάμας καὶ Κηφεὺς, θυγάτηρ δὲ ἐγένετο Αὔγη.
ταύτῃ τῇ Αὔγῃ τῷ Ἑκαταίου λόγῳ συνεγένετο Ἡρα-
κλῆς, ὁπότε ἀφίκοιτο ἐς Τέγεαν· τέλος δὲ καὶ ἐφω-
ράθη τετοκυῖα ἐκ τοῦ Ἡρακλέους· καὶ αὐτὴν ὁ Ἀλεὸς
ἐσθέμενος ὁμοῦ τῷ παιδὶ ἐς λάρνακα ἀφίησιν ἐς
θάλασσαν· καὶ ἡ μὲν ἀφίκετο ἐς Τεύθραντα δυνάστην
ἄνδρα

10) σὴψ — ἀποκτείνυσι] De sepe vide Aristotel. de mirab. auscult. C. 178. et ibi Beckm. V. C. Pro ἀποκτείνυσι, quod aliquoties in Pausania est, Sylb. rectius putat ἀποκτέννυσι vel ἀποκτίννυσι. De cerasta vide Nicand. Theriac. et Plin. H N. L. VIII. C. 23. init.

ἄνδρα ἐν Καΐκου[11]) πεδίῳ, καὶ συνῴκησεν[12]) ἐρασθέντι τῷ Τεύθραντι· καὶ νῦν ἔστι μὲν Αὔγης μνῆμα ἐν Περγάμῳ τῇ ὑπὲρ τοῦ Καΐκου, γῆς χῶμα, λίθου περιεχόμενον κρηπῖδι· ἔστι δὲ ἐν τῷ μνήματι ἐπίθημα χαλκοῦν πεποιημένον, γυνὴ γυμνή. Μετὰ δὲ Ἀλεὸν 7
τελευτήσαντα Λυκοῦργος ὁ Ἀλεοῦ τὴν βασιλείαν πρεσβείᾳ[13]) ἔσχε· παρέσχετο δὲ ἐς μνήμην Ἄρηθον[14]) ἄνδρα πολεμικὸν δόλῳ καὶ οὐ σὺν τῷ δικαίῳ κτείνας. γενομένων δὲ αὐτῷ παίδων Ἀγκαίου τε καὶ Ἐπόχου, τὸν μὲν νοσήσαντα ἐπιλαμβάνει τὸ χρεών· Ἀγκαῖος δὲ Ἰάσονί τε τοῦ πλοῦ μετέσχεν ἐς Κόλχους, καὶ ὕστερον ὁμοῦ Μελεάγρῳ τὸ ἐν Καλυδῶνι κατεργαζόμενος θηρίον, ἀπέθανεν ὑπὸ τοῦ ὑός. Λυκοῦργος μὲν δὴ πορρωτάτω γήρως ἀφίκετο ἐπιδὼν τοὺς παῖδας ἀμφοτέρους τελευτήσαντας. Λυκούργου δὲ ἀποθανόντος, Ἔχεμος ὁ Ἀερόπου τοῦ Κηφέως τοῦ Ἀλεοῦ τὴν Ἀρκάδων ἔσχεν ἀρχήν.

11) Καΐκου] Hic et paullo infra ι reposui pro vulgato υ ex Cod. Mosc., Herodoto, Strabone et aliis ita constanter scribentibus; quam rectam scripturam supra L. I. C. 10. in fine in textum recipere male haesitavi.

12) συνῴκησεν] Sic scripsi pro συνῴκισεν, uti recte jam emendavit Wesseling. ad Diodor. p. 272.

13) πρεσβείᾳ] *propter aetatem*, quod scilicet natu major esset; alibi κατὰ πρεσβείαν.

14) Ἄρηθον] In Homer. Il. η. v. 137. sq., ubi idem narratur, legitur Ἀρηΐθοος, uti et in Paus. infra C. 11. Scholia ad Apollon. Rhod. L. I. v. 164. illum Ἐρευθαλίωνα appellant ex Homerici loci perversa interpretatione.

## CAPUT V.

Echemo Arcadiae regnum obtinente Dorienses Peloponnesum ingrediuntur et fugantur — Agapenor rex Arcadas ad Trojam ducit et Paphum condit — de Hippothoo et Aepyto, Arcadiae regibus — Cypselo regnante Dorienses Peloponnesum navibus invadunt — de Cypseli posteris — Polymestore regnante Lacedaemonii Tegeatarum fines invadunt — Aechmide regnante bellum Messenicum geritur — Aristocratis regis nefandum facinus — de Aristocrate, prioris Aristocratis nepote.

Ἐπὶ τούτῳ [1]) Δωριεῖς κατιόντας ἐς Πελοπόννησον ὑπὸ
ἡγεμόνι Ὕλλῳ τῷ Ἡρακλέους Ἀχαιοὶ περὶ Ἰσθμὸν
τῶν Κορινθίων κρατοῦσι μάχῃ, καὶ Ἔχεμος ἀποκτείν-
νυσιν Ὕλλον μονομαχήσαντά οἱ κατὰ πρόκλησιν.
τάδε γὰρ ἐφαίνετο εἰκότα εἶναί μοι μᾶλλον ἢ ὁ πρότε-
ρος λόγος, ἐν ᾧ βασιλεύειν τε Ἀχαιῶν τηνικαῦτα
Ὀρέστην ἔγραψαν, καὶ Ὕλλον καὶ Ὀρέστου [2]) βασι-
λεύοντος ἀποπειρᾶσαι καθόδου τῆς ἐς Πελοπόννησον.
Φαίνοιτο δ' ἂν τῷ ὑστέρῳ τῶν λόγων καὶ Τιμάνδρα
συνοικήσασα ἡ Τυνδάρεω τῷ ἀποκτείναντι Ὕλλον
2 Ἐχέμῳ. Ἀγαπήνωρ δὲ ὁ Ἀγκαίου τοῦ Λυκούργου
μετὰ Ἔχεμον βασιλεύσας, ἐς Τροίαν ἡγήσατο Ἀρ-
κάσιν. Ἰλίου δὲ ἁλούσης, ὁ τοῖς Ἕλλησι κατὰ τὸν
πλοῦν τὸν οἴκαδε ἐπιγενόμενος χειμὼν Ἀγαπήνορα καὶ
τὸ Ἀρκάδων ναυτικὸν κατήνεγκεν ἐς Κύπρον· καὶ
Πάφου τε Ἀγαπήνωρ ἐγένετο οἰκιστὴς, καὶ τῆς
Ἀφροδίτης κατεσκευάσατο ἐν πόλει Πάφῳ τὸ ἱερόν·
τέως

1) Ἐπὶ τούτῳ] *Sylb.* mavult Ἐπὶ τούτου, ut alibi.

2) καὶ Ὀρέστου] καὶ male repetitum delendum esse, dubium esse nequit.

τέως δὲ ἡ θεὸς παρὰ Κυπρίων τιμὰς εἶχεν ἐν Γόλγοις καλουμένῳ χωρίῳ. χρόνῳ δὲ ὕστερον Λαοδίκη γεγονυῖα ἀπὸ Ἀγαπήνορος ἔπεμψεν ἐς Τέγεαν τῇ Ἀθηνᾷ τῇ Ἀλέᾳ πέπλον· τὸ δὲ ἐπὶ τῷ ἀναθήματι ἐπίγραμμα καὶ αὐτῆς Λαοδίκης ἅμα ἐδήλου τὸ γένος·

Λαοδίκης ὅδε πέπλος· ἑᾷ δ' ἀνέθηκεν Ἀθηνᾷ
Πατρίδ' ἐς εὐρύχορον Κύπρου ἀπὸ ζαθέας.

Ἀγαπήνορος δὲ οὐκ ἀνασωθέντος οἴκαδ' ἐξ Ἰλίου, 3
παρέλαβε τὴν ἀρχὴν Ἱππόθους Κερκύωνος τοῦ Ἀγαμήδους τοῦ Στυμφήλου. καὶ τῷ μὲν ἐπιφανὲς συμβῆναι παρὰ τὸν βίον φασὶν οὐδὲν, πλὴν ὅσον οὐκ ἐν Τεγέᾳ τὴν βασιλείαν κατεστήσατο, ἀλλὰ ἐν Τραπεζοῦντι. Αἴπυτος δὲ ὁ Ἱππόθου μετὰ τὸν πατέρα ἔσχε τὴν ἀρχήν· καὶ Ὀρέστης ὁ Ἀγαμέμνονος κατὰ μαντείαν τοῦ ἐν Δελφοῖς Ἀπόλλωνος μετῴκησεν ἐς Ἀρκαδίαν ἐκ Μυκηνῶν. Αἰπύτῳ δὲ τῷ Ἱππόθου παρελθεῖν ἐς τὸ ἱερὸν τοῦ Ποσειδῶνος τὸ ἐν Μαντινείᾳ τολμήσαντι (ἔσοδος δὲ ἀνθρώποις οὔτε τότε ἐς αὐτὸ ἦν, οὔτε ἄρχι ἡμῶν ἐστιν) ἐς τοῦτο ἐσελθόντι τυφλωθῆναι, καὶ οὐ μετὰ πολὺ τῆς συμφορᾶς τελευτῆσαί οἱ τὸν βίον ἐγένετο [3]). Κυψέλου δὲ τοῦ Αἰπύτου βασιλεύοντος 4
μετὰ Αἴπυτον, ὁ Δωριέων στόλος οὐ διὰ τοῦ Κορινθίων Ἰσθμοῦ, καθὰ ἐπὶ τρεῖς τὰς πρότερον γενεὰς, ναυσὶ δὲ κατὰ τὸ ὀνομαζόμενον Ῥίον κάτεισιν ἐς Πελοπόννησον· πυνθανόμενός τε ἐς αὐτοὺς [4]) ὁ Κύψελος, ἕνα τῶν Ἀριστομάχου παίδων οὐκ ἔχοντά πω γυναῖκα

 εὑρίσκε·

3) Αἰπύτῳ δὲ — ἐγένετο] Eadem lege C. 10.

4) πυνθανόμενός τε ἐς αὐτοὺς] scil. Δωριεῖς, cum quibus Aristomachi filii erant. Vide supra L. V. C. 3. Pro τε mallem δὲ, *cum vero de illis percontatus esset Cypselus.*

εὕρισκε· τούτῳ τὴν θυγατέρα [5]) ἐκδοὺς καὶ οἰκειωσά-
μενος τὸν Κρεσφόντην, αὐτός τε καὶ οἱ Ἀρκάδες ἐκτὸς
5 ἐστήκεσαν δείματος. Ὁ Λαίας [6]) δὲ ἦν Κυψέλου παῖς,
ὃς καὶ τῆς ἀδελφῆς τὸν παῖδα Αἴπυτον, σὺν δὲ αὐτῷ
καὶ οἱ ἐκ Λακεδαίμονος καὶ Ἄργους Ἡρακλεῖδαι κατά-
γουσιν ἐς Μεσσήνην· τοῦ δ' ἦν Βουκολίων· τοῦ δὲ
Φίαλος, ὃς τὸν Λυκάονος Φίγαλον οἰκιστὴν ὄντα ἀφει-
λόμενος τὴν τιμὴν, Φιαλίαν τὸ ὄνομα τῇ πόλει μετέ-
θετο ἀπ' αὐτοῦ· οὐ μὴν καὶ ἐς ἅπαν γε ἐξενίκησεν.
ἐπὶ δὲ Σίμου τοῦ Φιγάλου [7]) βασιλεύοντος ἠφανίσθη
Φιγαλεῦσιν ὑπὸ πυρὸς τῆς Μελαίνης Δήμητρος [8]) τὸ
ἀρχαῖον ξόανον· ἐσήμαινε δ' ἄρα, οὐ μετὰ πολὺ ἔσε-
σθαι καὶ αὐτῷ Σίμῳ τοῦ βίου τὴν τελευτήν. Πόμπου
δὲ ἐκδεξαμένου τοῦ Σίμου τὴν ἀρχὴν, Αἰγινῆται κατὰ
ἐμπορίαν ἐσέπλεον ναυσὶν ἐς Κυλλήνην· ἐκεῖθεν δὲ
ὑποζυγίοις τὰ φορτία ἀνῆγον παρὰ τοὺς Ἀρκάδας.
ἀντὶ τούτου ἐτίμησεν ὁ Πόμπος μεγάλως, καὶ δὴ
καὶ ὄνομα Αἰγινήτην τῷ παιδὶ ἔθετο ἐπὶ τῶν Αἰγινη-
6 τῶν τῇ φιλίᾳ. Μετὰ δὲ Αἰγινήτην Πολυμήστωρ ἐγένετο
Αἰγινήτου βασιλεὺς Ἀρκάδων. καὶ Λακεδαιμόνιοι καὶ
Χάριλλος [9]) πρῶτον τότε ἐς τὴν Τεγεατῶν ἐσβάλλουσι
στρατιᾷ· καὶ σφᾶς αὐτοί τε οἱ Τεγεᾶται καὶ γυναῖκες
ὅπλα ἐνδῦσαι μάχῃ νικῶσι, καὶ τόν τε ἄλλον στρατὸν,
καὶ αὐτὸν Χάριλλον ζῶντα αἱροῦσι. Χαρίλλου μὲν
δὴ καὶ τῆς σὺν αὐτῷ στρατιᾶς ἐς πλέον μνήμην ποιησό-
μεθα

5) τὴν θυγατέρα] Meropen. Vide ſupra L. IV. C. 3.

6) Ὁ Λαίας] Ald. Ὀλαίας et ſic Amaſ. *Olaeas*, quod nomen forte rectius ſit. L. V. C. 4. Λαίας, Oxyli filius, fuit.

7) τοῦ Φιγάλου] Scribendum eſſe τοῦ Φιάλου, nomen praecedens docet.

8) τῆς Μελαίνης Δήμ.] Vide C 42.

9) Χάριλλος] De ſcripturae varietate hujus nominis vide ſupra

μεθα ἐν τοῖς Τεγεατικοῖς [10]). Πολυμήστορι δὲ οὐ γενομένων παίδων, παρέλαβεν Αἶχμις τὴν ἀρχὴν, Βριάκα μὲν παῖς, Πολυμήστορος δὲ ἀδελφιδοῦς· Αἰγινήτου γὰρ ἦν καὶ Βριάκας, νεώτερος δὲ ἦν Πολυμήστορος. Αἴχμιδος δὲ βασιλεύσαντος, Λακεδαιμονίοις ἐγένετο 7 ὁ πρὸς Μεσσηνίους πόλεμος. τοῖς δὲ Ἀρκάσιν ὑπῆρχε μὲν ἐς τοὺς Μεσσηνίους εὔνοια ἐξ ἀρχῆς, τότε δὲ καὶ ἐκ τοῦ φανεροῦ πρὸς Λακεδαιμονίους ἐμαχέσαντο μετὰ Ἀριστοδήμου βασιλεύοντος ἐν Μεσσήνῃ. Ἀριστοκράτης 8 δὲ ὁ Αἴχμιδος τάχα μέν που καὶ ἄλλα ἐς τοὺς Ἀρκάδας ὕβρισεν· ἃ δὲ ἀνοσιώτατα ἔργων ἐς θεοὺς ἐργασάμενον οἶδα αὐτὸν, ἐπέξεισί μοι ταῦτα ὁ λόγος. ἔστιν Ἀρτέμιδος ἱερὸν Ὑμνίας ἐπίκλησιν [11])· τοῦτο ἐν ὅροις μέν ἐστιν Ὀρχομενίων, πρὸς δὲ τῇ Μαντινικῇ· σέβουσιν ἐκ παλαιοτάτου καὶ οἱ πάντες Ἀρκάδες Ὑμνίαν Ἄρτεμιν. ἐλάμβανε δὲ τὴν ἱερωσύνην τῆς θεοῦ τότε ἔτι κόρη παρθένος. Ἀριστοκράτης δὲ, ὡς οἱ πειρῶντι τὴν παρθένον ἀντέβαινεν ἀεὶ τὰ παρ' αὐτῆς, τέλος καταφεύγουσαν ἐς τὸ ἱερὸν παρὰ τῇ Ἀρτέμιδι ᾔσχυνεν. ὡς δὲ ἐς ἅπαντας ἐξηγγέλθη τὸ τόλμημα, τὸν μὲν καταλιθοῦσιν οἱ Ἀρκάδες· μετεβλήθη δὲ ἐξ ἐκείνου καὶ ὁ νόμος. ἀντὶ γὰρ παρθένου διδόασι τῇ Ἀρτέμιδι ἱέρειαν γυναῖκα, ὁμιλίας ἀνδρῶν ἀποχρώντως ἔχουσαν. Τούτου δὲ υἱὸς ἐγένετο Ἱκέτας, Ἱκέτα δὲ Ἀριστοκράτης ἄλλος ὁμώνυμός τε τῷ προγόνῳ, καὶ δὴ καὶ τοῦ βίου τὴν αὐτὴν ἔσχεν ἐκείνῳ τελευτήν. κατ-

supra not. 12. ad L. III. C. 2.

10) ἐν τοῖς Τεγεατικοῖς] Vide C. 48.

11) Ὑμνίας ἐπίκλησιν] Vide C. 13.

κατελίθωσαν γὰρ καὶ τοῦτον οἱ Ἀρκάδες, Φωράσαντες δῶρα ἐκ Λακεδαίμονος εἰληφότα, καὶ Μεσσηνίοις τὸ ἐπὶ τῇ μεγάλῃ Τάφρῳ πταῖσμα προδοσίαν τοῦ Ἀριστοκράτους οὖσαν [12]). αὕτη δὲ ἡ ἀδικία καὶ τῷ γένει τῷ ἀπὸ Κυψέλου παντὶ παρέσχεν αἰτίαν παυθῆναι τῆς ἀρχῆς. τὰ μὲν δὴ ἐς τοὺς βασιλεῖς πολυπραγμονήσαντί μοι, κατὰ ταῦτα ἐγενεαλόγησαν οἱ Ἀρκάδες.

## CAPUT VI.

Arcadum res bellis geſtae memorantur — de vario ad Arcadiam aditu.

Κοινῇ δὲ Ἀρκάσιν ὑπῆρχεν ἐς μνήμην τὰ μὲν ἀρχαιότατα [1]), ὁ πρὸς Ἰλίῳ πόλεμος, δεύτερα δὲ, ὁπόσα ἀμύνοντες Μεσσηνίοις Λακεδαιμονίων ἐναντία ἐμαχέσαντο· μέτεστι δὲ καὶ πρὸς Μήδους σφίσιν ἔργου τοῦ ἐν Πλαταιαῖς. Λακεδαιμονίοις δὲ ἀνάγκῃ πλέον καὶ οὐ μετ' εὐνοίας ἐπί τε Ἀθηναίους συνεστρατεύσαντο, καὶ ἐς τὴν Ἀσίαν μετὰ Ἀγησιλάου διέβησαν· καὶ δὴ καὶ ἐς Λεῦκτρα αὐτοῖς τὰ Βοιωτικὰ ἠκολούθησαν. τὸ δὲ ὕποπτον τὸ ἐς τοὺς Λακεδαιμονίους ἀλλαχοῦ τε ἐπεδείξαντο, καὶ μετὰ τὸ ἀτύχημα Λακεδαιμονίων τὸ ἐν Λεύκτροις παρὰ Θηβαίους αὐτίκα ἁπάντων μάλιστα μετέστησαν. Φιλίππῳ δὲ καὶ Μακεδόσιν ἐν Χαιρωνείᾳ, καὶ ὕστερον ἐν Θεσσαλίᾳ πρὸς Ἀντίπατρον οὐκ ἐμαχέσαντο μετὰ Ἑλλήνων, οὐ μὴν οὐδὲ τοῖς Ἕλλησιν ἐναντία ἐτάξαντο. πρὸς Γαλάτας δὲ τοῦ ἐν Θερμοπύλαις κινδύνου φασὶ Λακεδαιμονίων εἵνεκα οὐ μετα-

12) κατελίθωσαν — οὖσαν] Vide ſupra L. IV. C. 17. et 22.

1) ἀρχαιότατα] Cod. Moſc. ἀρχαιότερα.

μετασχεῖν, ἵνα μή σφισιν οἱ Λακεδαιμόνιοι κακουργοῖεν τὴν γῆν ἀπόντων τῶν ἐν ἡλικίᾳ. συνεδρίου δὲ τῶν Ἀχαιῶν μετέσχον οἱ Ἀρκάδες προθυμότατα [2]) Ἑλλήνων. ὁπόσα δὲ αὐτοῖς οὐχὶ ἐν κοινῷ, κατὰ πόλεις δὲ ἰδίᾳ συμβεβηκότα εὕρισκον, ἀποθησόμεθα αὐτῶν ἕκαϛον εἰς τὸ οἰκεῖον τοῦ λόγου.

2 Εἰσὶν οὖν ἐς Ἀρκαδίαν ἐσβολαὶ κατὰ τὴν Ἀργείαν, πρὸς μὲν Ὑσιῶν [3]), καὶ κατὰ τὸ ὄρος τὸ Παρθένιον ἐς τὴν Τεγεατικήν· δύο δὲ ἄλλαι κατὰ Μαντίνειαν [4]) διά τε Πρίνου καλουμένης, καὶ διὰ Κλίμακος. αὕτη δὲ εὐρυτέρα τέ ἐϛι, καὶ ἡ κάθοδος εἶχεν αὕτη βαθμίδας ποτὲ ἐμπεποιημένας. ὑπερβαλλόντων δὲ τὴν Κλίμακα, χωρίον ἐϛὶν ὀνομαζόμενον Μελαγγεῖα, καὶ τὸ ὕδωρ αὐτόθεν τὸ πότιμον Μαντινεῦσι κάτεισιν ἐς τὴν πόλιν. προελθόντι δὲ ἐκ τῶν Μελαγγείων, ἀπέχοντι τῆς πόλεως ϛάδια ὡς ἑπτὰ, ἔϛι κρήνη Μελιαϛῶν· οἱ Μελιαϛαὶ δὲ οὗτοι δρῶσι τὰ ὄργια τοῦ Διονύσου· καὶ Διονύσου τε μέγαρον πρὸς τῇ κρήνῃ, καὶ Ἀφροδίτης ἐϛὶν ἱερὸν Μελανίδος. ἐπίκλησιν δὲ ἡ θεὸς ταύτην κατ' ἄλλο μὲν ἔσχεν οὐδὲν, ὅτι δὲ ἀνθρώπων μὴ τὰ πάντα αἱ μίξεις ὥσπερ τοῖς κτήνεσι μεθ' ἡμέραν, τὰ πλείω δέ εἰσιν ἐν νυκτί. ἡ δὲ ὑπολειπομένη τῶν ὁδῶν ϛενωτέρα [5]) ἐϛὶ τῆς προτέρας, καὶ ἄγει διὰ τοῦ Ἀρτεμισίου. τούτου δὲ ἐπεμνήσθην καὶ ἔτι πρότερον [6]) τοῦ ὄρους, ὡς ἔχει μὲν ναὸν καὶ ἄγαλμα Ἀρτέμιδος, ἔχει [7]) δὲ καὶ τοῦ Ἰνάχου

2) προθυμότατα] Cod. Mosc. προθυμώτατα.

3) πρὸς μὲν Ὑσιῶν] Cod. M. πρὸς Μεσσηνίων.

4) κατὰ Μαντίνειαν] Cod. M. ὑπὲρ Μαντίνειαν.

5) ϛενωτέρα] Cod. Mosc. ϛενοτέρα.

6) τούτου — ἔτι πρότερον] Vide supra L. II. C. 25.

7) ἔχει] Sic scripsi pro mendoso ἔχοι.

Ἰνάχου τὰς πηγάς. ὁ δὲ Ἴναχος, ἐφ' ὅσον μὲν πρόεισι κατὰ τὴν ὁδὸν τὴν διὰ τοῦ ὄρους, τοῦτό ἐστιν [8]) Ἀργείοις καὶ Μαντινεῦσιν ὅρος τῆς χώρας· ἀποστρέψας δὲ ἐκ τῆς ὁδοῦ τὸ ὕδωρ, διὰ τῆς Ἀργείας ἤδη τὸ ἀπὸ τούτου κάτεισι, καὶ ἐπὶ τούτῳ τὸν Ἴναχον ἄλλοι τε καὶ Αἰσχύλος ποταμὸν καλοῦσιν Ἀργεῖον.

## CAPUT VII.

De campo Argo dicto — Dine, aqua maris dulci — aquis ferventibus — Philippo, Macedonum rege — Olympiadis crudelitate et Cassandri stirpe exstincta.

Ὑπερβάλλοντα δὲ ἐς τὴν Μαντινικὴν διὰ τοῦ Ἀρτεμισίου, πεδίον ἐκδέξεταί σε Ἀργὸν καλούμενον,
καθάπερ γε καὶ ἔστι· τὸ γὰρ ὕδωρ τὸ ἐκ τοῦ θεοῦ
κατερχόμενον ἐς αὐτὸ ἐκ τῶν ὀρῶν ἀργὸν εἶναι τὸ πεδίον
ποιεῖ, ἐκώλυέ τε οὐδὲν αὐτὸ πεδίον τοῦτο εἶναι λίμνην,
εἰ μὴ τὸ ὕδωρ ἠφανίζετο ἐς χάσμα γῆς· ἀφανισθὲν
2 δὲ ἐνταῦθα ἄνεισι κατὰ τὴν Δεινήν. Ἔστι δὲ ἡ Δεινὴ
κατὰ τὸ Γενέθλιον καλούμενον [1]) τῆς Ἀργολίδος, ὕδωρ
γλυκὺ ἐκ θαλάσσης ἀνερχόμενον. τὸ δὲ ἀρχαῖον
καθίεσαν ἐς τὴν Δεινὴν τῷ Ποσειδῶνι ἵππους οἱ
Ἀργεῖοι, κεκοσμημένους χαλινοῖς. γλυκὺ δὲ ὕδωρ ἐν
θαλάσσῃ δῆλόν ἐστιν ἐνταῦθά τε ἀνιὸν τῇ Ἀργολίδι [2]),
καὶ

8) τοῦτό ἐστιν] Pro κατὰ τοῦτό ἐστιν.

1) τὸ Γενέθλιον καλ.] Vide supra L. II. C. 32.

2) ἐν θαλάσσῃ — τῇ Ἀργολίδι] Si verba ἐν θαλάσσῃ sana sunt, illa cum τῇ Ἀργολ. jungere necesse est. Sed *Amas.* ἐκ θαλάσσης legisse videtur, quod praestat. Sic vero pro ἀνιὸν τῇ Ἀργ. scribendum esse patet ἀνιὸν ἐν τῇ Ἀργ.

καὶ ἐν τῇ Θεσπρωτίδι κατὰ τὸ Χειμέριον καλούμενον [3]). Θαύματος δὲ ἔτι πλέον ἐςὶν ἐν Μαιάνδρῳ ζέον ὕδωρ· 3
τὸ μὲν ἐκ πέτρας, περιέχοντος τοῦ ῥεύματος τὴν πέτραν, τὸ δὲ καὶ ἐκ τῆς ἰλύος ἄνεισι τοῦ ποταμοῦ. πρὸ Δικαιαρχίας δὲ τῆς Τυρσηνῶν ὕδωρ τε ἐν θαλάσσῃ ζέον, καὶ νῆσος δι' αὐτό [4]) ἐςὶ χειροποίητος, ὡς μηδὲ τοῦτο τὸ ὕδωρ ἀργὸν εἶναι, ἀλλά σφισι θερμὰ λουτρά. Τοῦ δὲ Ἀργοῦ καλουμένου πεδίου 4
Μαντινεῦσιν ὄρος ἐςὶν ἐν ἀριςερᾷ, σκηνῆς τε Φιλίππου τοῦ Ἀμύντου, καὶ κώμης ἐρείπια ἔχον Νεςάνης· πρὸς ταύτῃ γὰρ ςρατοπεδεύσασθαι τῇ Νεςάνῃ Φίλιππον λέγουσι, καὶ τὴν πηγὴν αὐτόθι ὀνομάζουσιν ἔτι ἀπὸ ἐκείνου Φιλίππιον. ἀφίκετο δὲ ἐς Ἀρκαδίαν Φίλιππος, οἰκειωσόμενός τε Ἀρκάδας, καὶ ἀπὸ τοῦ Ἑλληνικοῦ σφᾶς τοῦ ἄλλου διαςήσων. Φιλίππον δὲ βασιλέων μὲν τῶν πρὸ αὐτοῦ, καὶ ὅσοι Μακεδόσι γεγόνασιν ὕςερον, τούτων μὲν πείθοιτο ἄν τις μάλιςα αὐτὸν ἔργα [5]) ἐπιδείξασθαι· ςρατηγὸν δὲ ἀγαθὸν οὐκ ἄν τις φρονῶν ὀρθὰ καλέσειεν αὐτόν· ὅς γε καὶ ὅρκους θεῶν κατεπάτησεν ἀεὶ, καὶ σπονδὰς ἐπὶ παντὶ ἐψεύσατο, πίςιν τε ἠτίμασε μάλιςα ἀνθρώπων· καί οἱ τὸ ἐκ τοῦ θεοῦ μήνιμα ἀπήντησεν οὐκ ὀψέ. πρῶτα δὲ, ὧν ἴσμεν, Φίλιππος μὲν οὐ πρόσω βιώσας ἕξ τε καὶ τεσσαράκοντα ἐτῶν, τὸ μάντευμα ἐξετέλεσε τὸ ἐκ Δελφῶν, ὃ δὴ χρωμένῳ οἱ περὶ τοῦ Πέρσου γενέσθαι λέγουσιν [6]).

Ἔςεπται μὲν ὁ ταῦρος, ἔχει τέλος, ἔςιν ὁ θύσων.

τοῦτο

3) Χειμέριον καλούμ.] Strabo L. VII. p. 499. B. ἄκρα Χειμέριον καὶ Γλυκὺς λιμὴν, ubi vide Casaub.

4) δι' αὐτό] Suspectae mihi sunt hae voces. Mallem ἐν αὐτῷ.

5) μάλιςα αὐτὸν ἔργα] *Amas.* et *Lambin.* in Horat. recte legunt μέγιςα.

6) ὃ δὴ — λέγουσιν] Vide Diodor. Sic. L. XVI. f. 91., ubi idem oraculi responsum legitur.

τοῦτο μὲν δὴ οὐ μετὰ πολὺ ἐδήλωσεν οὐκ ἐς τὸν Μῆδον, ἀλλὰ ἐς αὐτὸν ἔχον Φίλιππον. Ἐπὶ δὲ Φιλίππῳ τελευτήσαντι Φιλίππου παῖδα νήπιον, γεγονότα δὲ ἐκ Κλεοπάτρας ἀδελφιδῆς Ἀττάλου, τοῦτον τὸν παῖδα ὁμοῦ τῇ μητρὶ Ὀλυμπιὰς ἐπὶ σκεύους χαλκοῦ πυρὸς ἐπιβεβλημένου διέφθειρεν ἕλκουσα [7]. χρόνῳ δὲ ὕστερον καὶ Ἀριδαῖον ἀπέκτεινεν. ἔμελλε δ' ἄρα ὁ δαίμων καὶ τὸ γένος τὸ Κασσάνδρου κακῶς ἐξαμήσειν. Κασσάνδρῳ δὲ οἱ παῖδες ἐκ Θεσσαλονίκης γεγόνασι τῆς Φιλίππου· Θεσσαλονίκῃ δὲ ἦσαν καὶ Ἀριδαίῳ μητέρες Θεσσαλαί. τὰ δὲ ἐς Ἀλέξανδρον καὶ τοῖς πᾶσιν ὁμοίως δῆλά ἐστιν Ἀλεξάνδρου θάνατος [8]. εἰ δὲ τοῦ ἐς Γλαῦκον τὸν Σπαρτιάτην [9]) ἐποιήσατο ὁ Φίλιππος λόγον, καὶ τὸ ἔπος ἐφ' ἑκάστου τῶν ἔργων ἀνεμίμνησκεν αὐτὸν,

Ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀρείων [10]·

οὐκ ἂν οὕτω δίχα λόγου δοκεῖ μοι θεῶν τις Ἀλεξάνδρου τε ὁμοῦ τὸν βίον καὶ ἀκμὴν τὴν Μακεδόνων σβέσαι [11]. τόδε μὲν ἡμῖν ἐγένετο ἐπεισόδιον τῷ λόγῳ.

7) ἐπὶ σκεύους χαλκ. πυρ. ἐπιβεβλημένου διέφθ. ἕλκ.] *Kuhn.* mavult ὑποβεβλημένου, ut sententia ſit: *ſuper vaſe ſubjecto igne candefacto hinc inde trahendo et retrahendo necari juſſerat.*

8) τὰ δὲ — καὶ τοῖς πᾶσιν — θάνατος] Vulgatam τοῖς παισὶν, quae conſtructionem et ſenſum turbabat, interpretes perperam explicarent neceſſe fuit. Equidem pro illa rectiora τοῖς πᾶσιν dedi ex Codice Moſc. Sic enim ſententia expedita: *quae vero Alexandrum attinent, ejusque vitae exitus omnibus pariter ſunt nota.*

9) ἐς Γλαῦκον τὸν Σπ.] Vide ſupra L. II. C. 18. not. 4.

10) ἀρείων] In Herodoto, qui L. VI. ſ. 86. hoc oraculum plenius exhibet, pro ἀρείων legitur ἀμείνων. Vide ibi Valkenar.

11) σβέσαι] *Sylb.* legendum putat ἔσβεσε.

CAPUT

## CAPUT VIII.

Locus Maeras dictus — de fonte Arne narratio — de Mantinensium urbe ejusque conditore et amne Ophi — Mantinensium rebus bello gestis — Mantinea a Lacedaemoniis capta — reliquis Mantinensium fatis usque ad Adriani imperatoris tempora.

Μετὰ δὲ τὰ ἐρείπια τῆς Νεστάνης ἱερὸν Δήμητρός ἐστιν ἅγιον, καὶ αὐτῇ καὶ ἑορτὴν [1]) ἀνὰ πᾶν ἔτος ἄγουσιν οἱ Μαντινεῖς. καὶ κατὰ τὴν Νεστάνην ὑπόκειται μάλιστα μοῖρα μὲν καὶ αὐτὴ τοῦ πεδίου τοῦ Ἀργοῦ, χῶρος δὲ ὀνομάζεται Μαιρᾶς [2])· τοῦ πεδίου δέ ἐστιν ἡ διέξοδος τοῦ Ἀργοῦ σταδίων δέκα. Ὑπερβὰς δὲ οὐ πολὺ, ἐς ἕτερον καταβήσῃ πεδίον· ἐν τούτῳ δὲ παρὰ τὴν λεωφόρον ἐστὶν Ἄρνη καλουμένη κρήνη. λέγεται δὲ καὶ τοιάδε ὑπὸ Ἀρκάδων· Ῥέα ἡνίκα Ποσειδῶνα ἔτεκε, τὸν μὲν ἐς ποίμνην καταθέσθαι δίαιταν ἐνταῦθα ἕξοντα μετὰ τῶν ἀρνῶν, ἐπὶ τούτῳ δὲ ὀνομασθῆναι καὶ τὴν πηγὴν, ὅτι περὶ αὐτὴν ἐποιμαίνοντο οἱ ἄρνες· φάναι δὲ αὐτὴν πρὸς τὸν Κρόνον, τεκεῖν ἵππον, καί οἱ πῶλον ἵππου καταπιεῖν ἀντὶ τοῦ παιδὸς δοῦναι, καθὰ καὶ ὕστερον ἀντὶ τοῦ Διὸς λίθον ἔδωκεν αὐτῷ κατειλημμένον [3]) σπαργάνοις. τούτοις Ἑλλήνων ἐγὼ τοῖς λόγοις ἀρχόμενος μὲν τῆς συγγραφῆς, εὐηθείας ἔνεμον πλέον, ἐς δὲ τὰ Ἀρκάδων προσεληλυθὼς, πρό-

1) καὶ ἑορτὴν] Forte καὶ perperam iteratum et delendum sit. Mox μάλιστα in Cod. M. abest.

2) χῶρος — Μαιρᾶς] Cum *Amasaeo* scripsi χῶρος pro mendose vulgato χορός. De Maera vide infra C. 12.

3) κατειλημμένον] Eodem sensu haec vox deprehenditur C. 28. et L. IX. C. 2., ubique vero μ mendose duplicatum et scribendum mihi esse videtur κατειλημένον, a κατειλέω, *involvo*.

πρόνοιαν περὶ αὐτῶν τοιάνδε ἐλάμβανον· Ἑλλήνων τοὺς νομιζομένους σοφοὺς δι᾽ αἰνιγμάτων πάλαι, καὶ οὐκέτ᾽ ἐκ [4]) τοῦ εὐθέος λέγειν τοὺς λόγους, καὶ τὰ εἰρημένα οὖν ἐς τὸν Κρόνον σοφίαν εἶναί τινα εἴκαζον Ἑλλήνων. τῶν μὲν δὴ ἐς τὸ θεῖον ἡκόντων τοῖς εἰρημένοις χρησόμεθα [5]).

8 Μαντινέων δὲ ἡ πόλις ϛαδίους μάλιϛά που δύο [6]) ἐϛὶν ἀπωτέρω τῆς γῆς ταύτης. Μαντινεὺς μὲν οὖν ὁ Λυκάονος ἑτέρωθι φαίνεται οἰκίσας τὴν πόλιν, ἣν ὀνομάζουσι καὶ ἐς ἡμᾶς ἔτι οἱ Ἀρκάδες· ἐκεῖθεν δὲ Ἀντινόη [7]) Κηφέως τοῦ Ἀλεοῦ θυγάτηρ κατὰ μάντευμα ἀναϛήσασα τοὺς ἀνθρώπους, ἤγαγεν ἐς τοῦτο τὸ χωρίον, ὄφιν (ὁποῖον, οὐ μνημονεύουσιν) ἡγεμόνα ποιησαμένη τῆς ὁδοῦ· καὶ διὰ τοῦτο ὁ παρὰ τὴν πόλιν ῥέων τὴν νῦν ποταμὸς Ὄφις ὄνομα ἔσχηκεν. εἰ δὲ Ὁμήρου χρὴ τεκμαιρόμενον τοῖς ἔπεσι συμβαλέσθαι γνώμην, τὸν ὄφιν τοῦτον δράκοντα εἶναι πείθομαι. περὶ Φιλοκτήτου μὲν ἐν νηῶν καταλόγῳ [8]) ποιήσας, ὡς ἀπολίποιεν αὐτὸν οἱ Ἕλληνες ἐν Λήμνῳ ταλαιπωροῦντα ὑπὸ τοῦ ἕλκους, ἐπίκλησιν οὐκ ἔθετο ὄφιν τῷ ὕδρῳ· τὸν δράκοντα δὲ, ὃν ἐς τοὺς Τρῶας ἀφῆκεν ὁ ἀετὸς, ἐκάλεσεν ὄφιν. οὕτω τὸ εἰκὸς ἔχει, καὶ τῇ Ἀντινόῃ τὸν ἡγεμόνα γενέσθαι δράκοντα.

Μαντι-

4) οὐκέτ᾽ ἐκ] Librariorum oſcitantia ετ mihi intruſum et legendum eſſe videtur οὐκ ἐκ.

5) τῶν μὲν — χρησόμεθα] *in iis igitur, quae ad deos pertinent, relata referemus.*

6) ϛαδίους — δύο] Cod. M. ϛαδίους — δώδεκα.

7) Ἀντινόη] Paullo infra C. 9. illa dicitur Αὐτονόη.

8) ἐν νηῶν καταλόγῳ] Vide Iliad. β. v. 722. 723. et de dracone ab aquila in Trojanorum agmen demiſſo Iliad. μ. v. 202. Mox pro τῇ Ἀντινόῃ Cod. M. dat τῇ Ἀντιγόνῃ.

Μαντινεῖς δὲ μάχην μὲν τὴν ἐν Διπαιεῦσιν οὐκ ἐμαχέ- 4
σαντο πρὸς Λακεδαιμονίους μετὰ Ἀρκάδων τῶν
ἄλλων [9])· ἐν δὲ τῷ Πελοποννησίων καὶ Ἀθηναίων
πολέμῳ συνέστησαν ἐπὶ Λακεδαιμονίους μετὰ Ἠλείων,
καὶ, παραγενομένου συμμαχικοῦ σφισιν ἐξ Ἀθηνῶν,
Λακεδαιμονίων ἐναντία ἐμαχέσαντο· μετέσχον δὲ
καὶ τοῦ ἐς Σικελίαν στόλου [10]) κατὰ Ἀθηναίων φιλίαν.
Χρόνῳ δὲ ὕστερον Λακεδαιμονίων στρατιὰ καὶ Ἀγησίπο- 5
λις ὁ Παυσανίου βασιλεὺς ἐσέβαλον ἐς τὴν Μαντινικήν.
ὡς δὲ ἐκράτησεν ὁ Ἀγησίπολις τῇ μάχῃ, καὶ εἰς τὸ
τεῖχος κατέκλεισε τοὺς Μαντινέας, εἷλεν μετ' οὐ
πολὺ [11]) τὴν πόλιν, οὐ πολιορκίᾳ κατὰ τὸ ἰσχυρὸν,
τὸν δὲ Ὄφιν ποταμὸν ἀποστρέψας σφίσιν ἐς τὸ τεῖχος,
ὠμῆς ᾠκοδομημένης [12]) τῆς πλίνθου. εἰς μὲν δὴ
μηχανημάτων ἐμβολὴν ἀσφάλειαν ἡ πλίνθος παρ-
έχεται μᾶλλον, ἢ ὁπόσα λίθου πεποιημένα ἐστίν·
οἱ μὲν γὰρ [13]) κατάγνυνταί τε καὶ ἐκπηδῶσιν ἐκ τῶν
ἁρμονιῶν, ἡ δὲ πλίνθος ἐκ μηχανημάτων μὲν οὐχ
ὁμοίως πονεῖ, διαλύεται δὲ ὑπὸ τοῦ ὕδατος οὐχ
ἧσσον ἢ ὑπὸ τοῦ ἡλίου κηρός. τοῦτο οὐκ Ἀγησίπολις
τὸ στρατήγημα ἐς τὸ τεῖχος τῶν Μαντινέων ἐστὶν ὁ
συνεὶς, ἀλλὰ πρότερον ἔτι Κίμωνι ἐξευρέθη τῷ



9) Μαντινεῖς — τῶν ἄλλων] Vide supra L. III. C. 11. §. 6.

10) μετέσχον — τοῦ ἐς Σικ. στόλου] Vide Thucyd. L. VI. f. 29.

11) εἷλεν μετ' οὐ πολὺ] Post εἷλεν mendose insertum fuit οὐ, quod Sylburgio adstipulante delevi.

12) ᾠκοδομημένης] Scribe ᾠκοδομημένον, ut ad vocem τεῖχος referatur; ita quoque *Amas.* interpretatus est.

13) οἱ μὲν γὰρ] scil. λίθοι, quae vox singulariter praecedit. Ceterum haec ex Pausania iisdem fere verbis habet Suidas v. πλίνθος.

Μιλτιάδου, Βοῇ [14]) πολιορκοῦντι ἄνδρα Μῆδον, καὶ
ὅσοι Περσῶν Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι εἶχον· Ἀγησί-
πολις δὲ καθεστηκὸς καὶ ᾀδόμενον ὑπὸ Πελληνέων [15])
ἐμιμήσατο. ὡς δὲ εἷλε τὴν Μαντίνειαν, ὀλίγον μέν
τι κατέλιπεν οἰκεῖσθαι, τὸ πλεῖστον δὲ ἐς ἔδαφος
καταβαλὼν αὐτῆς, κατὰ κώμας τοὺς ἀνθρώπους
6 διῴκισε. Μαντινέας δὲ ἐκ τῶν κωμῶν κατάξειν ἐς
τὴν πατρίδα ἔμελλον Θηβαῖοι μετὰ τὸ ἔργον τὸ ἐν
Λεύκτροις. κατελθόντες δὲ οὐ τὰ πάντα ἐγένοντο
δίκαιοι· περιληφθέντες δὲ ἐπικηρυκευόμενοι Λακεδαι-
μονίοις, καὶ ἰδίᾳ εἰρήνην πρὸς αὐτοὺς ἄνευ τοῦ Ἀρκά-
δων κοινοῦ πράσσοντες, οὔτε διὰ τὸ δέος [16]) τῶν Θη-
βαίων ἐς τὴν Λακεδαιμονίων συμμαχίαν μετεβάλλοντο
ἐκ τοῦ φανεροῦ, καὶ τῆς Μαντινικῆς πρὸς Ἐπαμινών-
δαν καὶ Θηβαίους μάχης Λακεδαιμονίων γινομένης,
ὁμοῦ τοῖς Λακεδαιμονίοις ἐτάξαντο οἱ Μαντινεῖς.
τούτων δὲ ὕστερον διαφορὰ ἐγένετο Μαντινεῦσιν ἐς τοὺς
Λακεδαιμονίους, καὶ ἀπ' αὐτῶν μετέστησαν ἐς τὸ
Ἀχαϊκόν. καὶ Ἆγιν τὸν Εὐδαμίδου βασιλεύοντα ἐν
Σπάρτῃ νικῶσιν ἀμύνοντες τῇ σφετέρᾳ, νικῶσι δὲ
προςλαβόντες Ἀχαιῶν στρατιὰν, καὶ Ἄρατον ἡγεμόνα
ἐπ' αὐτῇ [17]). μετέσχον δὲ καὶ πρὸς Κλεομένην τῶν ἔργων
τοῖς

14) Βοῇ] Rem ipſam habet Herodot. L. VII. ſ. 107., qui illum Βόγην vocat; ubi de varietate hujus nominis vidend. Valkenar. et Weſſeling.

15) καὶ ᾀδόμενον ὑπὸ Πελληνέων] Cur hoc ſtrategema a Pellenenſibus potiſſimum vulgatum et celebratum ſit, equidem perſpicere nequeo. Contra genuinam lectionem fuiſſe ὑφ' Ἑλλήνων, admodum credibile mihi eſſe videtur.

16) οὔτε διὰ τὸ δέος etc.] Vox οὔτε ſententiae potius repugnat, quam convenit. Quare emendationem *Kuhnii* οὕτω ſcribentis pro οὔτε prorſus probandam duco.

17) ἐπ' αὐτῇ] Reſtitui αὐτῇ ex Codice Moſc. pro vulgato αὐτῷ. Mox pro τῶν ἔργων mallem τοῦ ἔργου.

τοῖς Ἀχαιοῖς, καὶ συγκαθεῖλον Λακεδαιμονίων τὴν ἰσχύν. Ἀντιγόνου δὲ ἐν Μακεδονίᾳ Φίλιππον τὸν Περσέως πατέρα ἔτι παῖδα ἐπιτροπεύοντος, καὶ Ἀχαιοῖς ἐς τὰ μάλιϛα ὄντος ἐπιτηδείου, ἄλλα τε ἐς τιμὴν αὐτοῦ Μαντινεῦσιν ἐποιήθη, καὶ ὄνομα τῇ πόλει μετέθεντο Ἀντιγόνειαν. χρόνῳ δὲ ὕϛερον Αὐγούϛου πρὸς τῇ ἄκρᾳ τοῦ Ἀπόλλωνος τοῦ Ἀκτίου ναυμαχήσειν μέλλοντος, Μαντινεῖς ἐμαχέϛαντο ὁμοῦ Ῥωμαίοις, τὸ δὲ ἄλλο Ἀρκαδικὸν συνετάχθησαν Ἀντωνίῳ· κατ' ἄλλο μὲν ἐμοὶ δοκεῖν οὐδὲν, ὅτι δὲ ἐφρόνουν οἱ Λακεδαιμόνιοι τὰ Αὐγούϛου. δέκα δὲ ὕϛερον γενεαῖς ἐβασίλευσέ τε Ἀδριανὸς, καὶ ἀφελὼν Μαντινεῦσι τὸ ὄνομα τὸ ἐκ Μακεδονίας ἐπακτὸν, ἀπέδωκεν αὖθις Μαντίνειαν καλεῖσθαί σφισι τὴν πόλιν.

## CAPUT IX.

De Mantineae urbis templis et ſignis memorandis — Arcadis ſepulcro et aliis monumentis — templo Veneris Symmachiae et Minerva Alea — Antinoi templo, cultu et imaginibus — Podaris heroo.

Ἔϛι δὲ Μαντινεῦσι ναὸς διπλοῦς μάλιϛά που κατὰ μέσον τοίχῳ διειργόμενος· τοῦ ναοῦ δὲ τῇ μὲν ἄγαλμά ἐϛιν Ἀσκληπιοῦ, τέχνη δὲ Ἀλκαμένους· τὸ δὲ ἕτερον Λητοῦς ἐϛιν ἱερὸν καὶ τῶν παίδων· Πραξιτέλης δὲ τὰ ἀγάλματα εἰργάσατο τρίτῃ μετὰ Ἀλκαμένην ὕϛερον γενεᾷ· τούτων πεποιημένα ἐϛὶν ἐπὶ τῷ βάθρῳ Μοῦσα καὶ Μαρσύας αὐλῶν. ἐνταῦθα ἀνὴρ ἐπείργαϛαι ϛήλῃ Πολύβιος ὁ Λυκόρτα· καὶ τοῦ μὲν ἐπιμνησθησόμεθα καὶ ἐν τοῖς ἔπειτα [1]). Μαντινεῦσι δέ ἐϛι καὶ

 ἄλλα

1) καὶ τοῦ μὲν ἐπιμνησθησόμεθα — ἔπειτα] Vid. C. 30. Cod. Moſc. dat ἐπιμνησόμεθα.

ἄλλα ἱερὰ, τὸ μὲν Σωτῆρος Διὸς, τὸ δὲ Ἐπιδώτου καλούμενον· ἐπιδιδόναι γὰρ δὴ ἀγαθὰ αὐτὸν ἀνθρώποις. ἔςι δὲ Διοσκούρων, καὶ ἑτέρωθι Δήμητρος καὶ Κόρης ἱερόν· πῦρ δὲ ἐνταῦθα καίουσι, ποιούμενοι Φροντίδα, μὴ λάθῃ σφίσιν ἀποσβεσθέν. καὶ Ἥρας πρὸς τῷ θεάτρῳ ναὸν ἐθεασάμην· Πραξιτέλης δὲ τὰ ἀγάλματα, αὐτήν τε καθημένην ἐν θρόνῳ, καὶ παρεςῶσας ἐποίησεν Ἀθηνᾶν, καὶ Ἥβην παῖδα Ἥρας.
2 Πρὸς δὲ τῆς Ἥρας τῷ βωμῷ καὶ Ἀρκάδος τάφος τοῦ Καλλιςοῦς ἐςι. τὰ δὲ ὀςᾶ τοῦ Ἀρκάδος ἐπηγάγοντο ἐκ Μαινάλου χρησμοῦ σφισιν ἐλθόντος ἐκ Δελφῶν·

Ἔςι δὲ Μαιναλίη δυςχείμερος, ἔνθα τε κεῖται
Ἀρκὰς, ἀφ' οὗ δὴ πάντες ἐπίκλησιν καλέονται.
Ἔνθα σ' ἐγὼ κέλομαι ςείχειν, καὶ εὔφρονι θυμῷ
Ἀρκάδ' ἀειραμένους κατάγειν ἐς ἄςυ ἐραννὸν [2]),
Οὗ τρίοδος καὶ τετράοδος καὶ πεντακέλευθος,
Ἔνθα τε δὴ τέμενός τε θυηλάς τ' Ἀρκάδι τεύχειν.

τὸ δὲ χωρίον τοῦτο, ἔνθα ὁ τάφος ἐςὶ τοῦ Ἀρκάδος, καλοῦσιν Ἡλίου βωμούς. τοῦ θεάτρου δὲ οὐ πόρρω μνήματα προήκοντά ἐςιν ἐς δόξαν· τὸ μὲν Ἑςία καλουμένη κοινὴ, περιφερὲς σχῆμα ἔχουσα· Αὐτονόην [3]) δὲ αὐτόθι ἐλέγετο κεῖσθαι τὴν Κηφέως· τῷ δὲ ςήλη τε ἐφέςηκε, καὶ ἀνὴρ ἱππεὺς ἐπειργασμένος ἐςὶν ἐπὶ
3 τῇ ςήλῃ, Γρύλλος ὁ Ξενοφῶντος. Τοῦ θεάτρου δὲ ὄπισθεν ναοῦ τε Ἀφροδίτης ἐπίκλησιν Συμμαχίας ἐρείπια

2) ἐραννὸν] Cod. Mosc. ἐρατινόν.

3) Αὐτονόην] Paullo supra C. 8. fuit Ἀντινόη. In Apollodoro inter plures Autonoas nulla memoratur Cephei filia.

ἐρείπια καὶ ἀγάλματα ἐλείπετο [4])· τὸ δὲ ἐπίγραμμα
ἐπὶ τῷ βάθρῳ τὴν ἀναθεῖσαν τὸ ἄγαλμα ἐδήλου
θυγατέρα εἶναι Πασέου Νικίππην. τὸ δὲ ἱερὸν κατ-
εσκευάσαντο τοῦτο οἱ Μαντινεῖς, ὑπόμνημα ἐς τοὺς
ἔπειτα τῆς ὁμοῦ Ῥωμαίοις ἐπ' Ἀκτίῳ ναυμαχίας.
σέβουσι δὲ καὶ Ἀθηνᾶν Ἀλέαν [5]), καὶ ἱερόν τε καὶ
ἄγαλμα Ἀθηνᾶς ἐστιν Ἀλέας αὐτοῖς. Ἐνομίσθη δὲ 4
καὶ Ἀντίνους σφίσιν εἶναι θεός· ναῶν δὲ ἐν Μαντινείᾳ
νεώτατος ὁ τοῦ Ἀντίνου ναὸς οὗτος ἐσπουδάσθη
περισσῶς δή τι ὑπὸ βασιλέως Ἀδριανοῦ. ἐγὼ δὲ
μετ' ἀνθρώπων μὲν ἔτι αὐτὸν ὄντα οὐκ εἶδον, ἐν δὲ
ἀγάλμασιν εἶδον καὶ ἐν γραφαῖς. ἔχει μὲν δὴ γέρα
καὶ ἑτέρωθι, καὶ ἐπὶ τῷ Νείλῳ πόλις Αἰγυπτίων ἐστὶν
ἐπώνυμος Ἀντίνου· τιμὰς δὲ ἐν Μαντινείᾳ κατὰ
τοιόνδε ἔσχηκε. γένος ἦν ὁ Ἀντίνους ἐκ Βιθυνίας τῆς
ὑπὲρ Σαγγαρίου ποταμοῦ [6])· οἱ δὲ Βιθυνεῖς Ἀρκάδες
τέ εἰσι καὶ Μαντινεῖς τὰ ἄνωθεν. τούτων εἵνεκα ὁ
βασιλεὺς κατεστήσατο αὐτῷ καὶ ἐν Μαντινείᾳ τιμάς,
καὶ τελετή τε κατὰ ἔτος ἕκαστον καὶ ἀγών ἐστιν αὐτῷ
διὰ ἔτους πέμπτου. οἶκος δέ ἐστιν ἐν τῷ γυμνασίῳ
Μαντινεῦσιν ἀγάλματα ἔχων Ἀντίνου, καὶ ἐς τὰ
ἄλλα θέας ἄξιος, λίθων εἵνεκα, οἷς κεκόσμηται,
καὶ ἀπιδόντι ἐς τὰς γραφάς· αἱ δὲ Ἀντίνου εἰσὶν
αἱ πολλαί, Διονύσῳ μάλιστα εἰκασμέναι. καὶ δὴ καὶ



4) καὶ ἀγάλματα ἐλ.] Scribendum esse videtur ἄγαλμα. Mox enim unum tantum signum cum inscriptione positum fuisse refert Pausanias.

5) Ἀθηνᾶν Ἀλέαν] De hac vid. supra C. 4. et infra C. 45. 46.

6) ἐκ Βιθυνίας τῆς — ποταμοῦ] Jam *Sylb.* monuit, scribendum esse Βιθυνίου ex Stephano, qui Βιθύνιον urbem Bithyniae ex hoc Pausaniae libro et gentile Βιθυνιεὺς in medium profert. Conf. de hac urbe Strab. L. XII. p. 848. C. et Plin. H. N. L. V. C. 32. Sic autem in Pausania pro Βιθυνεῖς quoque emendandum esset Βιθυνιεῖς.

τῆς ἐν Κεραμικῷ γραφῆς, ἣ τὸ ἔργον εἶχε τὸ Ἀθηναίων ἐν Μαντινείᾳ, καὶ ταύτης αὐτόθι ἐστὶ μνῆμα [7]). Μαντινεῦσι δὲ ἐν τῇ ἀγορᾷ γυναικός τε εἰκὼν χαλκῆ, καὶ Μαντινεῖς καλοῦσι Δεομένειαν Ἀρκάδος· καὶ ἡρῷόν ἐστιν Ποδάρους [8])· φασὶ δὲ, ἀποθανεῖν αὐτὸν ἐν τῇ πρὸς Ἐπαμινώνδαν καὶ Θηβαίους μάχῃ. γενεαῖς δὲ τρισὶν ἐμοῦ πρότερον μετέθεσαν τοῦ τάφου τὸ ἐπίγραμμα ἐς ἄνδρα ἀπόγονον μὲν ἐκείνου Ποδάρους καὶ ὁμώνυμον, γεγονότα δὲ καθ' ἡλικίαν, ὡς πολιτείας ἤδη Ῥωμαίων μετειληφέναι. Ποδάρην δ' ἐπ' ἐμοῦ τὸν ἀρχαῖον ἐτίμων οἱ Μαντινεῖς, λέγοντες, ὡς ἄριστος μὲν καὶ αὐτῶν καὶ τῶν συμμάχων γένοιτο ἐν τῇ μάχῃ Γρύλλος ὁ Ξενοφῶντος, Αἰγεῖ δὲ τῷ Γρύλλου Κηφισόδωρος Μαραθῶνος [9])· οὗτος δὲ τηνικαῦτα Ἀθηναίοις ἐτύγχανεν ἱππαρχῶν· τρίτα δὲ ἀνδραγαθίας Ποδάρει νέμουσιν.

7) τῆς ἐν Κεραμικῷ γραφῆς, ἣ — εἶχε — μνῆμα] De hac in Ceramico pictura vide ſupra L. I. C. 3. §. 3. Pro mendoſe vulgato εἰ ex Codice Moſc. reſcripſi ἣ, quod *Sylb.* jam conjecerat. Idem mavult ἔχει pro εἶχε et μίμημα pro μνῆμα. Sed bene ſe habet μνῆμα, dummodo ad vocem ταύτης ſuppleas μάχης.

8) Ποδάρους] Cod. Moſc. hic et paullo infra Ποδάρου.

9) Αἰγεῖ δὲ τῷ Γρύλλου Κηφ. Μαραθῶνος] Vocem Αἰγεῖ corruptam eſſe, in dubium vocari nequit. *Amaſ.* legit ἐπὶ δὲ τῷ Γρύλλῳ Κηφ. Μαραθώνιος, *poſt Gryllum Cephiſodorus Marathonius*, atque illam genuinam lectionem fuiſſe cenſeo: ſaepius enim ἐπὶ cum dativo in Pauſania denotat *poſt*, *ſecundo loco*, uti ſupra C. 3. et infra C. 12. Nimis ſubtilis eſt emendatio *Kuhnii* legentis: αἱρεῖ δὲ τῷ Γρύλλῳ δευτερα Κηφ. De Gryllo vide Pauſ L. I. C. 3. §. 3. De Cephiſodoro Pauſaniam exſcripſit Suidas; diverſus autem ab hoc Cephiſodoro is eſſe videtur, de quo Pauſanias ſupra retulit L. I. C. 36. in fine.

CAPUT

## CAPUT X.

De memorandis ad vias, quae ab Mantinea in reliquam Arcadiam ducunt — monte Alesio et Neptuni Hippii templo — undae marinae scatebris in variis templis — tropaeo de Lacedaemoniis victis erecto et hujus pugnae ratione — diis in proeliis opem ferentibus — cervi cujusdam sacri longaevitate.

Ἐς Ἀρκαδίαν δὲ τὴν ἄλλην εἰσὶν ἐκ Μαντινείας ὁδοί· ὁπόσα δὲ ἐφ' ἑκάστης αὐτῶν μάλιστα ἦν θέας ἄξια, ἐπέξειμι καὶ ταῦτα. ἰόντι ἐς Τεγέαν ἐστιν ἐν ἀριστερᾷ τῆς λεωφόρου παρὰ τοῖς Μαντινέων τείχεσι χωρίον τε ἐς τῶν ἵππων τὸν δρόμον, καὶ οὐ πόῤῥω τούτου στάδιον, ἔνθα ἐπὶ τῷ Ἀντίνῳ τὸν ἀγῶνα τιθέασιν. Ὑπὲρ δὲ 2 τοῦ σταδίου τὸ ὄρος ἐστὶ τὸ Ἀλήσιον, διὰ τὴν ἄλην, ὥς φασι, καλούμενον τὴν Ῥέας, καὶ Δήμητρος ἄλσος ἐν τῷ ὄρει. παρὰ δὲ τοῦ ὄρους τὰ ἔσχατα τοῦ Ποσειδῶνός ἐστι τοῦ Ἱππίου τὸ ἱερὸν, οὐ πρόσω σταδίου Μαντινείας. τὰ δὲ ἐς τὸ ἱερὸν τοῦτο ἐγώ τε ἀκοῇ γράφω, καὶ ὅσοι μνήμην ἄλλοι περὶ αὐτοῦ πεποίηνται. τὸ μὲν δὴ ἱερὸν τὸ ἐφ' ἡμῶν ᾠκοδομήσατο Ἀδριανὸς βασιλεὺς, ἐπιστήσας τοῖς ἐργαζομένοις ἐπόπτας ἄνδρας, ὡς μήτε ἐνίδοι τις ἐς τὸ ἱερὸν τὸ ἀρχαῖον, μήτε τῶν ἐρειπίων τι αὐτοῦ μετακινοῖτο· πέριξ δὲ ἐκέλευε τὸν ναὸν σφᾶς οἰκοδομεῖσθαι τὸν καινόν. τὰ δὲ ἐξ ἀρχῆς τῷ Ποσειδῶνι τὸ ἱερὸν τοῦτο Ἀγαμήδης λέγονται καὶ Τροφώνιος ποιῆσαι, δρυῶν ξύλα ἐργασάμενοι καὶ ἁρμόσαντες πρὸς ἄλληλα· ἐσόδου δὲ ἐς αὐτὸ εἴργοντες ἀνθρώπους, ἔρυμα μὲν πρὸ τῆς ἐσόδου προεβάλοντο οὐδὲν, μίτον δὲ διατείνουσιν ἐρεοῦν, τάχα μέν που τοῖς τότε ἄγουσι τὰ θεῖα ἐν τιμῇ δεῖμα καὶ τοῦτο ἔσεσθαι νομίζοντες· τάχα δ' ἂν τι μετείη καὶ

ἰσχύος τῷ μίτῳ. Φαίνεται δὲ καὶ Αἴπυτος ὁ Ἱππό-
του [1]), μήτε πηδήσας ὑπὲρ τὸν μίτον, μήτε ὑποδὺς,
διακόψας δὲ αὐτὸν, ἐσελθὼν ἐς τὸ ἱερὸν, καὶ ποιήσας
οὐχ ὅσια· ἐτυφλώθη τε ἐμπεσόντος ἐς τοὺς ὀφθαλ-
μοὺς αὐτῷ τοῦ κύματος, καὶ αὐτίκα ἐπιλαμβάνει
3 τὸ χρεὼν αὐτόν. Θαλάσσης δὲ ἀναφαίνεσθαι κῦμα
ἐν τῷ ἱερῷ τούτῳ λόγος ἐστὶν ἀρχαῖος· ἐοικότα δὲ καὶ
Ἀθηναῖοι λέγουσιν ἐς τὸ κῦμα τὸ ἐν ἀκροπόλει, καὶ
Καρῶν οἱ Μύλασα ἔχοντες ἐς τοῦ θεοῦ τὸ ἱερὸν,
ὃν φωνῇ τῇ ἐπιχωρίᾳ καλοῦσιν Ὀγῶα [2]). Ἀθηναίοις
μὲν δὴ σταδίους μάλιστα εἴκοσιν ἀφέστηκε τῆς πόλεως ἡ
πρὸς Φαληρῷ θάλασσα· ὡσαύτως δὲ καὶ Μυλασεῦ-
σιν ἐπίνειον σταδίους ὀγδοήκοντα ἀπέχον ἐστὶν ἀπὸ τῆς
πόλεως· Μαντινεῦσι δὲ ἐκ μακροτάτων τε ἡ θάλασσα
4 ἄνεισιν ἐκφανέστατα δὴ κατὰ τοῦ θεοῦ γνώμην. Πέραν
δὲ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος τρόπαιόν ἐστι λίθου
πεποιημένον ἀπὸ Λακεδαιμονίων καὶ Ἄγιδος. λέγεται
δὲ καὶ ὁ τρόπος τῆς μάχης· τὸ μὲν δεξιὸν εἶχον οἱ
Μαντινεῖς αὐτοὶ, στρατιάν τε ἀπὸ πάσης ἡλικίας καὶ
στρατηγὸν παρεχόμενοι Ποδάρην [3]) ἀπόγονον τρίτον
Ποδάρους τοῦ Θηβαίοις ἐναντία ἀγωνισαμένου· παρῆν
δέ σφισι καὶ μάντις Ἠλεῖος Θρασύβουλος Αἰνέου
τῶν Ἰαμιδῶν· οὗτος ὁ ἀνὴρ νίκην τε τοῖς Μαντινεῦσι
προηγόρευσε, καὶ αὐτός σφισι τοῦ ἔργου μετεῖχεν.
ἐπὶ

1) Αἴπυτος ὁ Ἱππότου] Scribendum esse videtur Ἱππόθου ex C. 5., ubi Αἴπυτος ὁ Ἱππόθου legitur

2) Ὀγῶα] Strabo L. XIV. p. 973. C. Jovem Ὀσογῶ dictum a Mylasensibus cultum memorat. Vide ibi Casaub.

3) Ποδάρην] Ex Codice M. scripsi Ποδάρην pro vulgato Ποδάρη. Illud supra quoque fuit C. 9. in fine. Mox pro Ποδάρους idem Cod. dat Ποδάρου, sicuti C. 9. in fine.

ἐπὶ δὲ τῷ εὐωνύμῳ πᾶν τὸ ἄλλο Ἀρκαδικὸν ἐτάσσοντο. ἄρχοντες δὲ κατὰ πόλεις τε ἦσαν, καὶ Μεγαλοπολιτῶν Λυδιάδης καὶ Λεωκύδης· Ἀράτῳ δὲ ἐπετέτραπτο καὶ Σικυωνίοις τε καὶ Ἀχαιοῖς τὸ μέσον. Λακεδαιμόνιοι δὲ καὶ Ἄγις ἐπεξέτειναν τὴν φάλαγγα, ὡς τῶν ἐναντίων τῷ στρατεύματι ἀντιπαρήκοιεν· τὸ μέσον δὲ Ἄγις καὶ οἱ περὶ τὸν βασιλέα εἶχον. Ἄρατος δὲ ἀπὸ τοῦ συγκειμένου αὐτῷ πρὸς τοὺς Ἀρκάδας ὑπέφευγεν αὐτός τε καὶ ὁ σὺν αὐτῷ στρατὸς, οἷα δὴ τῶν Λακεδαιμονίων σφίσιν ἐγκειμένων· ὑποφεύγοντες [4]) δὲ ἅμα τὸ σύνταγμα σφῶν ἠρέμα ἐποίουν μηνοειδές. Λακεδαιμόνιοι δὲ καὶ Ἄγις νίκην τε ἤλπιζον καὶ τοῖς περὶ τὸν Ἄρατον ἐνέκειντο ἀθρόοι μᾶλλον· ἐπηκολούθουν δέ σφισι καὶ οἱ ἀπὸ τῶν κεράτων, Ἄρατον καὶ τὴν σὺν αὐτῷ στρατιὰν τρέψασθαι μέγα ἀγώνισμα ἡγούμενοι. ἔλαθόν τε δὴ κατὰ νώτου γενόμενοί σφισιν οἱ Ἀρκάδες, καὶ οἱ Λακεδαιμόνιοι κυκλωθέντες τῆς ἄλλης στρατιᾶς τὸ πολὺ ἀποβάλλουσι, καὶ βασιλεὺς ἔπεσεν Ἄγις Εὐδαμίδου. Φανῆναι δὲ καὶ τὸν Ποσειδῶνα ἀμύνοντά σφισιν ἔφασαν οἱ Μαντινεῖς, καὶ τοῦδε εἵνεκα τρόπαιον ἐποιήσαντο ἀνάθημα τῷ Ποσειδῶνι. Πολέμῳ δὲ καὶ ἀνθρώπων φόνοις παρεῖναι θεοὺς ἐποίησαν μὲν, ὅσοις τὰ ἡρώων ἐμέλησεν ἐν Ἰλίῳ παθήματα· ᾄδεται δὲ ὑπὸ Ἀθηναίων, ὡς θεοί σφισιν ἐν Μαραθῶνι καὶ ἐν Σαλαμῖνι τοῦ ἔργου μετάσχοιεν [5]) · ἐκδηλότατα δὲ ὁ Γαλατῶν στρατὸς ἀπώλετο ἐν Δελφοῖς ὑπὸ τοῦ θεοῦ, καὶ ἐναργῶς ὑπὸ

4) ὑποφεύγοντες] Cod. M. ἀποφεύγοντες.

5) ὡς θεοὶ — μετάσχοιεν] De numinis auxilio in pugna Marathonia vide supra L. I. C. 32. §. 4. Ad deorum autem praesentiam in pugna Salaminia pertinent, quae Herodot. narrat L. VIII. ſ. 65. et Plutarch. Themiſtocl. ſ. 15.

ὑπὸ δαιμόνων. οὕτω καὶ Μαντινεῦσιν ἕπεται οὐκ ἄνευ τοῦ Ποσειδῶνος τὸ κράτος γενέσθαι σφίσι. Λεωκύδους τε [6]) τοῦ Μεγαλοπολιτῶν ὁμοῦ Λυδιάδῃ στρατηγήσαντος πρόγονον ἔνατον Ἀρκεσίλαον οἰκοῦντα ἐν Λυκοσούρᾳ λέγουσιν οἱ Ἀρκάδες, ὡς ἴδοι τὴν ἱερὰν τῆς καλουμένης Δεσποίνης ἔλαφον πεπονηκυῖαν ὑπὸ γήρως· τῇ δὲ ἐλάφῳ ταύτῃ ψέλλιόν [7]) τε εἶναι περὶ τὸν τράχηλον, καὶ γράμματα ἐπὶ τῷ ψελλίῳ·

Νεβρὸς ἐὼν ἑάλων, ὅτ' ἐς Ἴλιον ἦν Ἀγαπήνωρ.

οὗτος μὲν δὴ ἐπιδείκνυσιν ὁ λόγος, ἔλαφον εἶναι πολλῷ καὶ ἐλέφαντος μακροβιώτερον θηρίον [8]).

## CAPUT XI.

De loco Pelagos dicto — Peliae filiarum tumulis et Peliae nece — loco Phoezon dicto — Epaminondae morte — Epaminondae ſepulcro — fraudis ex nominum ſimilitudine enatae exempla proferuntur.

Μετὰ δὲ τὸ ἱερὸν τοῦ Ποσειδῶνος χωρίον ὑποδέξεταί σε δρυῶν πλῆρες, καλούμενον Πέλαγος· καὶ ἐκ Μαντινείας ἡ ἐς Τέγεαν ὁδὸς φέρει διὰ τῶν δρυῶν. Μαντινεῦσι δὲ ὅροι πρὸς Τεγεάταις εἰσὶν ὁ περι-
2 φερὴς ἐν τῇ λεωφόρῳ βωμός. Ἦν δὲ ἀπὸ τοῦ ἱεροῦ τοῦ Ποσειδῶνος ἐς ἀριστερὰν ἐκτραπῆναι θελήσειας, σταδίους

6) Λεωκύδους τε] Pro τε ſcribendum eſſe δὲ, perſuaſum habeo.

7) ψέλλιόν] Cod. Moſc. ψάλιον, et mox pro ψελλίῳ dat ψαλίῳ.

8) ἔλαφον — θηρίον] Aliquoties in veterum ſcriptis cervorum longioris aevi vita cum ſimili argumento memoratur, uti ab Ariſtotele de mirabil. auſcult. C. 120., ubi vid. Beckm. V. C.

ϛαδίους ἕξεις μάλιϛά που πέντε, καὶ ἐπὶ τῶν Πελίου
θυγατέρων ἀφίξῃ τοὺς τάφους. ταύτας φασὶν οἱ
Μαντινεῖς μετοικῆσαι σφᾶς [1]) τὰ ἐπὶ τῷ θανάτῳ τοῦ
πατρὸς ὀνείδη φευγούσας. ὡς γὰρ δὴ ἀφίκετο ἡ
Μήδεια ἐς Ἰωλκὸν, αὐτίκα ἐπεβούλευε τῷ Πελίᾳ,
τῷ ἔργῳ μὲν συμπράσσουσα τῷ Ἰάσονι, τῷ λόγῳ δὲ
ἀπεχθανομένη· ἐπαγγέλλεταί τε [2]) τοῦ Πελίου ταῖς
θυγατράσιν, ὡς τὸν πατέρα αὐταῖς, ἢν ἐθέλωσιν,
ἀποφήνοι νέον ἀντὶ γέροντος παλαιοῦ [3]). κατασφά-
ξασα δὲ ὅτῳ τρόπῳ κριὸν, τὰ κρέα ὁμοῦ φαρμάκοις
ἐν λέβητι ἥψησεν, εἶτ' [4]) ἐκ τοῦ λέβητος τὸν κριὸν ἑψόμε-
νον ἄρνα ἐξήγαγε ζῶντα. παραλαμβάνει δὴ τὸν Πελίαν
κατακόψασα ἑψῆσαι, καὶ αὐτὸν ἐκομίσαντο οὐδὲ ἐς
ταφὴν ἔτι ἐπιτήδειον. τοῦτο ἠνάγκασε τὰς γυναῖκας
ἐς Ἀρκαδίαν μετοικῆσαι, καὶ ἀποθανούσαις τὰ μνή-
ματα ἐχώσθη σφίσιν αὐταῖς· ὀνόματα δὲ αὐταῖς
ποιητὴς μὲν ἔθετο οὐδεὶς, οἷά γ' ἐπελεξάμεθα ἡμεῖς,
Μίκων δὲ ὁ ζωγράφος Ἀϛερόπειάν τε εἶναι καὶ Ἀντι-
νόην [5]) ἐπὶ ταῖς εἰκόσιν αὐτῶν ἐπέγραψε. Χωρίον δὲ 3
ὀνομαζόμενον Φοίζων περὶ εἴκοσί που ϛαδίους τῶν
τάφων ἐϛὶν ἀπωτέρω· τούτων δὲ Φοίζων μνῆμά ἐϛι
περι-

1) ταύτας — μετοικῆσαι σφᾶς] Interdum quidem σφᾶς in Pausania redundat, uti C. 28., sed hic nimis duriter. Quare non temere mihi emendandum esse videtur μετοικῆσαι ἐς σφᾶς. Sic paullo infra eaedem dicuntur ἐς Ἀρκαδίαν μετοικῆσαι.

2) ἐπαγγέλλεταί τε] Mallem ἐπαγγέλλεταί δέ.

3) νέον ἀντὶ γέροντος παλαιοῦ] In verbis γέρ. παλ. vitiosa tautologia inest, cui *Kuhn.* mederi vult ita scribendo: — ἀντὶ γέροντος. παλαιὸν δὲ κατασφάξασα ὅτῳ τρόπῳ κριόν etc. Mihi potius alterum alterius glossema esse et γέροντος potissimum delendum esse videtur.

4) εἶτ'] Cod. Mosc. οἷς, scil. φαρμάκοις.

5) Ἀϛερόπειάν τε εἶναι καὶ Ἀντινόην] Variant nomina filiarum Peliae. Vide Heyne V. C. ad Apollodor. p. 228. 229.

περιεχόμενον κρηπῖδι, ἀνέχον δὲ οὐ πολὺ ὑπὲρ τῆς γῆς. κατὰ τοῦτο ἥ τε ὁδὸς μάλιστα στενὴ γίνεται, καὶ τὸ μνῆμα Ἀρηϊθόου λέγουσιν εἶναι Κορυνήτου διὰ τὸ ὅπλον ἐπονομασθέντος 6). μετὰ δὲ τὴν ἐς Παλλάντιον ἐκ Μαντινείας ἄγουσαν, προελθόντι ὡς τριάκοντά που σταδίους, παρήκει κατὰ τοῦτο ἐς τὴν λεωφόρον ὁ τοῦ Πελάγους καλουμένου δρυμός· καὶ τὰ ἱππικὰ τῶν Ἀθηναίων τε καὶ Μαντινέων ἐνταῦθα ἐμαχέσαντο
4 ἐναντία τῆς Βοιωτίας ἵππου. Ἐπαμινώνδαν δὲ ἀποθανεῖν Μαντινεῖς μὲν ὑπὸ Μαχαιρίωνος Μαντινέως φασὶν ἀνδρός. ὡσαύτως δὲ καὶ Λακεδαιμόνιοι Σπαρτιάτην λέγουσιν εἶναι τὸν ἀποκτείναντα Ἐπαμινώνδαν, τίθενται δὲ Μαχαιρίωνα ὄνομα καὶ οὗτοι τῷ ἀνδρί. ὁ δὲ Ἀθηναίων ἔχει λόγος, (ὁμολογοῦσι δὲ αὐτῷ καὶ Θηβαῖοι) τρωθῆναι τὸν Ἐπαμινώνδαν ὑπὸ Γρύλλου· παραπλήσια δέ σφίσιν ἐστὶ καὶ τὰ ἐν τῇ γραφῇ τὸ ἔργον ἐχούσῃ τὸ ἐν Μαντινείᾳ. φαίνονται δὲ οἱ Μαντινεῖς, Γρύλλον μὲν δημοσίᾳ τε θάψαντες, καὶ, ἔνθα ἔπεσεν, ἀναθέντες εἰκόνα ἐπὶ τιμῇ ἀνδρὸς ἀρίστου τῶν συμμάχων. Μαχαιρίωνα δὲ λόγῳ μὲν καὶ αὐτοὶ οἱ Λακεδαιμόνιοι λέγουσιν, ἔργῳ δὲ οὔτε ἐν Σπάρτῃ Μαχαιρίων ἐστὶν οὐδεὶς, οὐ μὴν οὐδὲ παρὰ Μαντινεῦσιν, ὅτῳ γεγόνασιν ὡς ἀνδρὶ ἀγαθῷ τιμαί. ὡς δὲ ἐτέτρωτο Ἐπαμινώνδας, ἐκκομίζουσιν 7) ἔτι ζῶντα ἐκ τῆς παρατάξεως αὐτόν. ὁ δὲ τέως μὲν τὴν χεῖρα ἔχων ἐπὶ τῷ τραύματι, ἐταλαιπώρει, καὶ ἐς τοὺς μαχομένους ἀφεώρα· ὁπόθεν δὲ ἀπέβλεπεν ἐς

αὐτούς,

6) Ἀρηϊθόου — Κορυνήτου — ἐπονομασθέντος] Supra C. 4. in fine fuit Ἄρηθος. Vide de eo Homer. Iliad. η. v. 137. sq.

7) ἐκκομίζουσιν] Suidas, qui v. Ἐπαμινώνδας Pausaniam verbotenus exscripsit, habet κομίζουσιν.

αὐτοὺς, ὠνόμαζον Σκοπὴν οἱ ἔπειτα· λαβόντος [8])
δὲ ἴσον τοῦ ἀγῶνος πέρας, οὕτω τὴν χεῖρα ἀπέσχεν
ἀπὸ τοῦ τραύματος· καὶ αὐτὸν ἀφέντα τὴν ψυχὴν
ἔθαψαν, ἔνθα σφίσιν ἐγένετο ἡ συμβολή. Τῷ τάφῳ 5
δὲ κίων τε ἐφέστηκε καὶ ἀσπὶς ἐπ' αὐτῷ δράκοντα
ἔχουσα ἐπειργασμένον· ὁ μὲν δὴ δράκων ἐθέλει σημαί-
νειν γένους τῶν Σπαρτῶν καλουμένων [9]) εἶναι τὸν Ἐπα-
μινώνδαν. στῆλαι δέ εἰσιν ἐπὶ τῷ μνήματι, ἡ μὲν
ἀρχαία καὶ ἐπίγραμμα ἔχουσα Βοιώτιον· τὴν δὲ
αὐτήν τε [10]) ἀνέθηκεν Ἀδριανὸς βασιλεὺς, καὶ ἐποίησε
τὸ ἐπίγραμμα τὸ ἐπ' αὐτῇ. τὸν δὲ Ἐπαμινώνδαν τῶν
παρ' Ἕλλησι στρατηγίας ἕνεκα εὐδοκιμησάντων μάλι-
στα ἐπαινέσαι τις ἂν, ἢ ὕστερόν γε οὐδενὸς ποιήσαιτο.
Λακεδαιμονίων μὲν γὰρ καὶ Ἀθηναίων τοῖς ἡγεμόσι
πόλεών τε ἀξίωμα ὑπῆρχεν ἐκ παλαιοῦ, καὶ οἱ στρα-
τιῶται φρονήματος τὸ ἴσον ἔχοντες· Θηβαίους δὲ
Ἐπαμινώνδας ἀθύμους τὰς γνώμας, καὶ ἄλλων
ἀκούειν εἰωθότας, ἀπέφηνεν οὐ πολλῷ πρωτεύον-
τας. Ἐγεγόνει δὲ τῷ Ἐπαμινώνδᾳ μαντεία πρό- 6
τερον ἔτι ἐκ Δελφῶν, πέλαγος αὐτὸν φυλάσ-
σεσθαι· καὶ ὁ μὲν τριήρους τε μὴ ἐπιβῆναι [11]),
μηδὲ ἐπὶ νεὼς φορτίδος πλεῦσαι δεῖμα εἶχε.
τὸ

8) λαβόντος] Reſtitui pro mendoſe vulgato λαβόντες ex Codice Moſc. et Suidae l. c., a quo mox ἀπὸ poſt ἀπέσχεν omiſſum eſt.

9) τῶν Σπαρτῶν καλ.] Suidas l. c. male exhibet Σπαρτιατῶν. De Spartis, a Cadmo ſatis ac terra procreatis, vide Pauſan. L. IX. C. 5., Schol. ad Apollon. Rhod. L. III. v. 1178. et 1185. et Wyttenbach. V. C. ad Plutarchi libell. de ſera numinis vindicta p. 88.

10) τὴν δὲ αὐτήν τε] *alteram vero cum ipſam, tum* etc. Cave igitur, ne cum *Goldhagen* emendes τὴν δὲ καινήν τε. Vulgata enim recte ſe habent.

11) μὴ ἐπιβῆναι] In Codice Moſc. et Suida abeſt μή.

τὸ δὲ ἄρα Πέλαγος δρυμὸν καὶ οὐ θάλασσαν προέλεγεν [12]) ὁ δαίμων. χωρία δὲ τὰ ὁμώνυμα καὶ Ἀννίβαν ὕστερον τὸν Καρχηδόνιον, καὶ πρότερόν ἔτι Ἀθηναίους ἠπάτησεν. Ἀννίβᾳ γὰρ χρησμὸς ἀφίκετο παρὰ Ἄμμωνος, ὡς ἀποθανὼν γῇ καλυφθήσεται τῇ Λιβύσσῃ. ὁ μὲν δὴ ἤλπιζεν, ἀρχήν τε τὴν Ῥωμαίων καθαιρήσειν, καὶ οἴκαδε ἐς τὴν Λιβύην ἐπανελθὼν τελευτήσειν γήρᾳ τὸν βίον. Φλαμινίου δὲ τοῦ Ῥωμαίου ποιουμένου σπουδὴν, ἑλεῖν ζῶντα αὐτὸν, ἀφικόμενος παρὰ Προυσίαν ἱκέτης, καὶ ἀπωσθεὶς [13]) ὑπ' αὐτοῦ, ἀνεπήδα τε ἐπὶ τὸν ἵππον, καὶ γυμνωθέντος τοῦ ξίφους, τιτρώσκεται τὸν δάκτυλον. προελθόντι δέ οἱ στάδια οὐ πολλὰ, πυρετός τε ἀπὸ τοῦ τραύματος καὶ ἡ τελευτὴ τριταίῳ συνέβη. τὸ δὲ χωρίον, ἔνθα ἀπέθανε, καλοῦσιν [14]) οἱ Νικομηδεῖς Λίβυσσαν. Ἀθηναίοις δὲ μάντευμα ἐκ Δωδώνης Σικελίαν ἦλθεν οἰκίζειν· ἡ δὲ οὐ πόρρω τῆς πόλεως ἡ Σικελία λόφος ἐστὶν οὐ μέγας [15]). οἱ δὲ οὐ συμφρονήσαντες τὸ εἰρημένον, ἔς τε ὑπερορίας [16]) στρατείας προήχθησαν, καὶ ἐς τὸν Συρακουσίων πόλεμον. ἔχοι δ' ἄν τις καὶ πλέονα τοῖς εἰρημένοις ἐοικότα ἄλλα ἐξευρεῖν.

12) τὸ δὲ ἄρα Πέλαγος — προέλεγεν] Suidas l. c. rectius mihi exhibere videtur τῷ δὲ — προὔλεγεν.

13) ἀπωσθεὶς] Cod. Mosc. ἀπωθείς.

14) καλοῦσιν] In Suida, qui v. Ἀννίβας eadem ex Pausania iisdem fere verbis exhibet, legitur ἐκάλουν.

15) ἡ δὲ οὐ πόρρω τῆς πόλεως — μέγας] Suidas v. Ἀννίβας haec ita habet: καὶ οὐ πόρρω τῆσδε λόφος ἐστὶν ἡ Σικελία οὐ μέγας.

16) ὑπερορίας] Cod. Mosc. ὑπερορείους, et Suid. l. c. ὑπερορίους.

CAPUT

## CAPUT XII.

De templo Jovis Charmonis, vario quercuum genere in ſaltibus Arcadum et vico Methydrio — campo Alcimedonte et Alcimedonte heroë ejusque filia Phillo — loco Petroſaca dicto, Ladae ſtadio et Penelopes tumulo — priſcae Mantineae et vici Maerae reliquiis — via Orchomenum verſus, monte Anchiſia et Anchiſae monumento.

Τοῦ τάφου δὲ τοῦ Ἐπαμινώνδα μάλιςά που ςαδίου μῆκος Διὸς ἀφέςηκεν ἱερὸν ἐπίκλησιν Χάρμωνος. Ἀρκάδων δ' ἐν τοῖς δρυμοῖς εἰσιν αἱ δρῦς διάφοροι· καὶ τὰς μὲν πλατυφύλλους αὐτῶν, τὰς δὲ φηγοὺς καλοῦσιν· αἱ τρίται δὲ ἀραιὸν τὸν φλοιὸν καὶ οὕτω δὴ παρέχονται κοῦφον, ὥςτε ἀπ' αὐτοῦ καὶ ἐν θαλάσσῃ ποιοῦνται σημεῖα ἀγκύραις καὶ δικτύοις. ταύτης τῆς δρυὸς τὸν φλοιὸν ἄλλοι τε Ἰώνων καὶ Ἑρμησιάναξ ὁ τὰ ἐλεγεῖα ποιήσας φελλὸν ὀνομάζουσιν. ἐς Μεθύδριον δὲ πόλιν μὲν οὐκ ἔτι, κώμην δὲ ἐς τὸ Μεγαλοπολιτικὸν συντελοῦσαν, ἐς τουτό ἐςι τὸ Μεθύδριον ἐκ Μαντινείας ὁδός. Προελθόντι δὲ ςαδίους 2 τριάκοντα, πεδίον τε ὀνομαζόμενον Ἀλκιμέδων, καὶ ὑπὲρ τοῦ πεδίου τὸ ὄρος ἐςὶν ἡ Ὀςρακίνα, ἐν δὲ αὐτῷ σπήλαιον, ἔνθα ᾤκησεν Ἀλκιμέδων, ἀνὴρ τῶν καλουμένων ἡρώων. τούτου τοῦ Ἀλκιμέδοντος θυγατρὶ συγγενέσθαι Φιλλοῖ, ὡς Φιγάλιοι λέγουσιν [1]), Ἡρακλέα· ὡς

1) ὡς Φιγάλιοι λέγουσιν] Particula ὡς turbat conſtructionem cum infinitivo συγγενέσθαι, et delenda eſſe videtur, ut infinitivus ille a λέγουσιν pendere poſſit. Pro gentili Φιγάλιοι alibi in Pauſania conſtanter legitur Φιγαλεῖς, uti etiam in Stephano.

ὡς δὲ ᾔσθετο αὐτὴν ὁ Ἀλκιμέδων τεκοῦσαν, ἐκτίθησιν ἀπολουμένην ἐς τὸ ὄρος, σὺν δὲ αὐτῇ καὶ τὸν παῖδα, ὃν ἔτεκε· καλοῦσι δὲ Αἰχμαγόραν αὐτὸν οἱ Ἀρκάδες· ἀνακλαίοντος δὲ, ὡς ἐξέκειτο, τοῦ παιδὸς, κίσσα ἡ ὄρνις ἐπήκουέ τε ὀδυρομένου καὶ ἅμ' ἐμιμεῖτο τὰ κλαύματα· καί πως ὁ Ἡρακλῆς ἐρχόμενος τὴν ὁδὸν ταύτην, ἐπήκουσε τῆς κίσσης, καὶ (ἐνόμισε γὰρ παιδὸς εἶναι, καὶ οὐκ ὄρνιθος, τὸν κλαυθμὸν) ἐτράπετο εὐθὺς τῆς φωνῆς [2])· γνωρίσας δὲ, αὐτήν τε ἔλυσε τῶν δεσμῶν, καὶ τὸν παῖδα ἀνεσώσατο. ἐξ ἐκείνου δὲ ἡ πλησίον πηγὴ Κίσσα ἀπὸ τῆς
3 ὄρνιθος ὀνομάζεται. Τεσσαράκοντα δὲ ἀπὸ τῆς πηγῆς στάδια ἀφέστηκε Πετροσάκα καλούμενον χωρίον· Μεγαλοπολιτῶν δὲ καὶ Μαντινέων ὅρος ἐστὶν ἡ Πετροσάκα. ἐπὶ δὲ ὁδοῖς ταῖς κατειλεγμέναις δύο ἐς Ὀρχομενόν εἰσιν ἄλλαι, καὶ τῇ μέν ἐστι καλούμενον Λάδα στάδιον [3]), ἐς ὃ ἐποιεῖτο Λάδας μελέτην δρόμου, καὶ παρ' αὐτὸ ἱερὸν Ἀρτέμιδος, καὶ ἐν δεξιᾷ τῆς ὁδοῦ γῆς χῶμα ὑψηλόν· Πηνελόπης δὲ εἶναι τάφον φασὶν, οὐχ ὁμολογοῦντες τὰ ἐς αὐτὴν ποιήσει τῇ Θεσπρωτίδι ὀνομαζομένῃ. ἐν ταύτῃ μέν γε ἐστι τῇ ποιήσει, ἐπανήκοντι ἐκ Τροίας Ὀδυσσεῖ τεκεῖν τὴν Πηνελόπην Πτολιπόρθην παῖδα. Μαντινέων δὲ ὁ ἐς αὐτὴν λόγος Πηνελόπην φησὶν ὑπὸ Ὀδυσσέως καταγνωσθεῖσαν, ὡς ἐπισπαστοὺς ἐσαγάγοιτο ἐς τὸν οἶκον, καὶ ἀποπεμφθεῖσαν ὑπ' αὐτοῦ, τὸ μὲν παραυτίκα ἐς Λακεδαίμονα ἀπελθεῖν, χρόνῳ δὲ ὕστερον ἐκ τῆς Σπάρτης

ἐς

2) εὐθὺς τῆς φωνῆς] *Kuhn.* mavult εὐθὺ τῆς φωνῆς, quod εὐθὺ vulgo genitivo jungatur, non εὐθύς.

3) Λάδα στάδ.] Vide supra L. III. C. 21. init.

ἐς Μαντίνειαν μετοικῆσαι, καί οἱ τοῦ βίου τὴν τελευτὴν ἐνταῦθα συμβῆναι. Τοῦ τάφου δὲ ἔχεται τούτου
4
πεδίον οὐ μέγα, καὶ ὄρος ἐστὶν ἐν τῷ πεδίῳ, τὰ ἐρείπια ἔτι Μαντινείας ἔχον τῆς ἀρχαίας· καλεῖται δὲ τὸ χωρίον ἐφ' ἡμῶν Πτόλις. κατὰ δὲ τὸ πρὸς ἄρκτον αὐτῆς προελθόντι ὁδὸν οὐ μακρὰν, Ἀλαλκομενίας [4]) ἐστὶ πηγή, τῆς πόλεως δὲ μετὰ σταδίους τριάκοντα, κώμης τε ἐρείπια καλουμένης Μαιρᾶς· εἰ δὴ ἐνταῦθα, καὶ μὴ ἐν τῇ Τεγεατῶν ἐτάφη· Τεγεάταις γὰρ τοῦ λόγου τὸ εἰκὸς καὶ οὐ Μαντινεῦσιν ἕπεται, Μαιρὰν τὴν Ἄτλαντος παρὰ σφίσι ταφῆναι· τάχα δ' ἂν καὶ ἀπόγονος τῆς Ἄτλαντος Μαιρᾶς ἑτέρα Μαιρὰ ἀφίκοιτο ἐς τὴν Μαντινικήν. Λείπεται δὲ ἔτι τῶν
5
ὁδῶν ἡ ἐς Ὀρχομενὸν, καθ' ἥντινα Ἀγχησία [5]) τε ὄρος καὶ Ἀγχίσου μνῆμά ἐστιν ὑπὸ τοῦ ὄρους τοῖς ποσίν. ὡς γὰρ δὴ ἐκομίζετο ἐς Σικελίαν ὁ Αἰνείας, ἔσχε ταῖς ναυσὶν ἐς τὴν Λακωνικὴν, καὶ πόλεών τε Ἀφροδισιάδος καὶ Οἰήτιδος [6]) ἐγένετο οἰκιστὴς, καὶ τὸν πατέρα Ἀγχίσην, κατὰ πρόφασιν δή τινα παραγενόμενον ἐς τοῦτο τὸ χωρίον, καὶ αὐτόθι τοῦ βίου τῇ τελευτῇ χρησάμενον, ἔθαψεν ἐνταῦθα· καὶ τὸ ὄρος τοῦτο ἀπὸ τοῦ Ἀγχίσου καλοῦσιν Ἀγχισίαν. τούτου δὲ συντελοῦσιν ἐς πίστιν Αἰολέων οἱ Ἴλιον ἐφ' ἡμῶν ἔχοντες, οὐδαμοῦ τῆς σφετέρας ἀποφαίνοντες μνῆμα Ἀγχίσου. πρὸς δὲ τοῦ Ἀγχίσου



4) Ἀλαλκομενίας] Cod. M. Ἀλαλκομενείας.

5) Ἀγχησία] Cum η legitur quoque hoc nomen C. 13. init., sed paullo infra cum ι, quae scriptura originationi magis convenit. In sequentibus etiam numero variat nomen Ἀγχισία et Ἀγχησίαι. Mox pro Σικελίαν Codex Mosc. in margine exhibet Ἰταλίαν.

6) Οἰήτιδος] Supra L. III. C. 22. §. 9. fuit Ἤτιδος.

τῷ τάφῳ ἐρείπιά ἐστιν Ἀφροδίτης ἱεροῦ, καὶ Μαντινέων ὅροι πρὸς Ὀρχομενίους καὶ ἐν ταῖς Ἀγχησίαις εἰσίν.

## CAPUT XIII.

De memorandis in Orchomeniorum finibus, templo Dianae Hymniae — Orchomeniorum priscae urbis reliquiis et memorandis — monte Trachy, et urbe Caphya — Aristocratis monumento, fontibus Teneis et vico Amilo — via Stymphalum versus et Pheneum, ac Carya vico.

Ἐν δὲ τῇ χώρᾳ τῇ Ὀρχομενίων, ἐν ἀριστερᾷ τῆς ὁδοῦ τῆς ἀπὸ Ἀγχησίων, ἐν ὑπτίῳ τοῦ ὄρους, τὸ ἱερόν ἐστι τῆς Ὑμνίας Ἀρτέμιδος· μέτεστι δὲ αὐτοῦ καὶ Μαντινεῦσι· καὶ ἱέρειαν καὶ ἄνδρα ἱερέα, τούτοις οὐ μόνον τὰ ἐς τὰς μίξεις, ἀλλὰ καὶ ἐς τὰ ἄλλα ἁγιστεύειν καθέστηκε τὸν χρόνον τοῦ βίου πάντα· καὶ οὔτε λουτρὰ, οὔτε δίαιτα λοιπὴ κατὰ τὰ αὐτὰ σφίσι, καθὰ καὶ τοῖς πολλοῖς ἐστιν, οὐδὲ ἐς οἰκίαν παρίασιν ἀνδρὸς ἰδιώτου. τοιαῦτα οἶδα ἕτερα ἐνιαυτὸν καὶ οὐκ ἀεὶ πρὸς Ἐφεσίων ἐπιτηδεύοντας τοὺς τῇ Ἀρτέμιδι ἱστιάτορας τῇ Ἐφεσίᾳ γινομένους, καλουμένους δὲ ὑπὸ τῶν πολιτῶν Ἐσσῆνας [1]. τῇ δὲ Ἀρτέμιδι τῇ
2 Ὑμνίᾳ καὶ ἑορτὴν ἄγουσιν ἐπέτειον. Ὀρχομενίοις δὲ ἡ προτέρα πόλις ἐπὶ ὄρους ἦν ἄκρᾳ τῇ κορυφῇ, καὶ ἀγορᾶς τε καὶ τειχῶν ἐρείπια λείπεται· τὴν δὲ ἐφ' ἡμῶν πόλιν ὑπὸ τὸν περίβολον οἰκοῦσι τοῦ ἀρχαίου τείχους.

1) πρὸς Ἐφεσίων — Ἐσσῆνας] Pro παρ' Ἐφεσίοις. Ἐσσῆνες sunt *reges sacrificuli*. Suidas: Ἐσσήν· βασιλεὺς, κυρίως τῶν μελισσῶν. Vide etiam Hesych. h. v. et ibi not.

τείχους. Θέας δὲ αὐτόθι ἄξια πηγή τε, ἀφ' ἧς ὑδρεύονται, καὶ Ποσειδῶνός ἐςι καὶ Ἀφροδίτης ἱερά, λίθου δὲ τὰ ἀγάλματα. πρὸς δὲ τῇ πόλει ξόανόν ἐςιν Ἀρτέμιδος· ἵδρυται δὲ ἐν κέδρῳ μεγάλῃ, καὶ τὴν θεὸν ὀνομάζουσιν ἀπὸ τῆς κέδρου Κεδρεάτιν. σωροὶ δὲ ὑπὸ τὴν πόλιν λίθων εἰσὶ διεςηκότες ἀπὸ ἀλλήλων· ἐγενήθησαν δὲ ἐν πολέμῳ πεσοῦσιν ἀνδράσιν εἰς τιμήν. οἷςτισι δὲ Πελοποννησίων ἐπολέμησαν τῶν ἄλλων ἢ Ἀρκάδων αὐτῶν, οὔτε ἐπιγράμματα ἐπὶ τοῖς τάφοις ἐσήμαινεν, οὔτε οἱ Ὀρχομένιοι μνημονεύουσιν. Ἔςι δὲ ἀπαντικρὺ τῆς πόλεως ὄρος Τραχύ. 3
τὸ δὲ ὕδωρ τὸ ἐκ τοῦ θεοῦ διὰ χαράδρας ῥέον κοίλης μεταξὺ τῆς πόλεως καὶ Τραχέος ὄρους, κάτεισιν ἐς ἄλλο Ὀρχομένιον πεδίον· τὸ δὲ πεδίον τοῦτο μεγέθει μὲν μέγα, τὰ πλείω δέ ἐςιν αὐτοῦ λίμνη. ἰόντι δὲ ἐξ Ὀρχομενοῦ, καὶ ςαδίους προελθόντι ὅσον τρεῖς, ἡ μὲν εὐθεῖα ἐπὶ πόλιν Καφυὰν [2]) ἄγει, παρά τε αὐτὴν τὴν χαράδραν, καὶ μετὰ ταύτην ἐν ἀριςερᾷ παρὰ τὸ ὕδωρ τὸ λιμνάζον· ἡ δὲ ἑτέρα τῶν ὁδῶν διαβάντι τὸ ὕδωρ τὸ διὰ τῆς χαράδρας ῥέον ὑπὸ Τραχύ ἐςιν ὄρος. Κατὰ δὲ τὴν ὁδὸν ταύτην πρῶτον μὲν 4
μνῆμά ἐςιν Ἀριςοκράτους, ὃς βίᾳ ποτὲ ᾔσχυνε τὴν ἱερωμένην τῇ Ὑμνίᾳ θεῷ παρθένον [3]). μετὰ δὲ τοῦ Ἀριςοκράτους τὸν τάφον πηγαί τε εἰσὶ καλούμεναι Τενεῖαι, καὶ ἀπέχει τῶν πηγῶν ςάδια ὡς ἑπτὰ Ἄμιλος χωρίον· πόλιν δὲ τὴν Ἄμιλόν ποτε εἶναι λέγουσι. Κατὰ τοῦτο αὖθις τὸ χωρίον διχὰ 5
ἡ ὁδὸς τέμνεται· καὶ ἡ μὲν ἐπὶ Στύμφηλον,



2) Καφυὰν] Infra C. 23. et in Stephano legitur Καφυαὶ plurali numero.

3) Ἀριςοκράτους, ὃς — παρθένον] De hac re vide supra C. 5. prope finem.

ἡ δὲ ἐς Φενεὸν αὐτῶν [4]) ἄγει. κατὰ δὲ τὴν ἐς Φενεὸν ἐκδέξεταί σε ὄρος· ἐν δὲ τῷ ὄρει τούτῳ συνάπτουσιν Ὀρχομενίων καὶ Φενεατῶν τε καὶ Καφυατῶν ὅροι τῆς γῆς. ἀνατείνει δὲ ὑπὲρ τοὺς ὅρους κρημνὸς ὑψηλός· πέτραν Καφυατικὴν ὀνομάζουσι τὸν κρημνόν. μετὰ δὲ τοὺς ὅρους ταῖς κατειλεγμέναις πόλεσι Φάραγξ τε ὑπόκειται, καὶ Φέρει δι᾽ αὐτῆς ἡ ἐς Φενεὸν ὁδός. κατὰ μέσην δέ που μάλιστα τὴν Φάραγγα ὕδωρ ἄνεισιν ἐκ πηγῆς, καὶ ἐπὶ τῷ πέρατι τῆς Φάραγγος Καρυαὶ χωρίον [5]).

## CAPUT XIV.

De priſcae urbis Phenei reliquiis — Laonome, Amphitryonis matre — alveo Olbii fluvii ab Hercule ducto — urbe Pheneo, memorandis in ejus arce et Neptuni Hippii ſigno ab Ulyſſe poſito — primis aeris conflandi inventoribus — Iphiclis monumento et Iolao — Mercurio a Pheneatis inprimis culto, ludis Hermaeis et Myrtilo — maris Myrtoi denominatione, ſacris Eleuſiniis a Pheneatis factis et Nao.

Φενεατῶν δὲ τὸ πεδίον κεῖται μὲν ὑπὸ ταῖς Καρυαῖς· πλεονάσαντος δέ ποτε αὐτῷ τοῦ ὕδατος καταλυθῆναί Φασι τὴν ἀρχαίαν Φενεόν [1])· ὥστε καὶ ἐΦ᾽ ἡμῶν σημεῖα ἐλείπετο ἐπὶ τῶν ὀρῶν, εἰς ἃ ἐπαναβῆναι τὸ

4) ἡ δὲ ἐς Φεν. αὐτῶν] Cum *Sylburgio* reſcripſi αὐτῶν pro vulgato αὐτὸν, quod potius αὐτὴν eſſe deberet, ſi jungendum eſſet cum Φενεόν. Sic enim mox Cap. ſequ. initio τὴν ἀρχαίαν Φενεόν.

5) Καρυαὶ χωρίον] Cod. M. Καρυαίων. De Caryis vide identidem Xenoph. Hiſt. Gr.

1) πλεονάσαντος — Φενεόν] Hujus inundationis rationem et cauſam reddit Plutarch. de ſera num. vindicta p. 51, ubi vid. Wyttenbach. V. C.

τὸ ὕδωρ λέγουσι. Καρυῶν δὲ ςάδια πέντε ἀφέςηκεν
ἥ τε Ὄρεξις καλουμένη, καὶ ἕτερον ὄρος Σκίαθις·
ἐφ' ἑκατέρῳ δέ ἐςι τῷ ὄρει βάραθρον τὸ ὕδωρ
καταδεχόμενον τὸ ἐκ τοῦ πεδίου. Τὰ δὲ βάραθρα 2
οἱ Φενεᾶται ταῦτά φασιν εἶναι χειροποίητα, ποιῆσαι
δὲ αὐτὰ Ἡρακλέα τηνικαῦτα ἐν Φενεῷ παρὰ Λαονόμῃ
τῇ Ἀμφιτρύωνος μητρὶ οἰκοῦντα· γενέσθαι γὰρ Ἀμ-
φιτρύωνα ἐκ Λαονόμης Ἀλκαίῳ τῆς Γούνεω [2]), γυναι-
κὸς Φενεάτιδος, καὶ οὐκ ἐκ τῆς Πέλοπος Λυσιδίκης.
εἰ δὲ Ἡρακλῆς ἀληθεῖ λόγῳ παρὰ τοὺς Φενεάτας
μετῴκησε, πίθοιτο ἄν τις, διωχθέντα ἐκ Τίρυνθος
ὑπὸ Εὐρυσθέως αὐτὸν οὐκ αὐτίκα ἐς Θήβας, πρό-
τερον δὲ ἐς Φενεὸν ἀφικέσθαι. Διὰ μέσου δὲ ὤρυξεν 3
Ἡρακλῆς τοῦ Φενεατῶν πεδίου ῥεῦμα εἶναι τῷ ποταμῷ
τῷ Ὀλβίῳ, ὅντινα Ἀροάνιον Ἀρκάδων καλοῦσιν ἕτεροι,
καὶ οὐκ Ὄλβιον. μῆκος μὲν τοῦ ὀρύγματος ςάδιοι
πεντήκοντά εἰσι· βάθος δὲ, ὅσον μὴ πεπτωκός ἐςιν
αὐτοῦ, καὶ ἐς τριάκοντα καθήκει πόδας. οὐ μὴν
ταύτῃ γε ἔτι κάτεισιν ὁ ποταμὸς, ἀλλὰ ἐς τὸ
ῥεῦμα ἀπεχώρησεν αὖθις τὸ ἀρχαῖον, καταλιπὼν ἔλυ-
τρον, τοῦ Ἡρακλέους τὸ ἔργον. Τῶν βαράθρων δὲ ἐν 4
τοῖς εἰρημένοις πεποιημένων ὄρεσιν ἀπωτέρω πεντήκοντά
που ςαδίους ἐςὶν ἡ πόλις· οἰκιςὴν δὲ οἱ Φενεᾶται
λέγουσιν ἄνδρα αὐτόχθονα εἶναι Φενεόν. ἔςι δέ σφισιν
ἀκρόπολις ἀπότομος πανταχόθεν, τὰ μὲν πολλὰ
ἔχουσα οὕτω, ὀλίγα δὲ αὐτῆς καὶ ὠχυρώσαντο ὑπὲρ



2) Λαονόμης — Γούνεω] Apollodoro L. II. C. 4. p. 102. Amphitryonis mater Ἱππονόμη dicitur, ubi vid. Heyne V. C. p. 312. Pro Γούνεω rectius forte Γουνέως ex Pauſ. L. VIII. C. 18. a nominativo Γουνεύς. Vide Homer. Iliad. β. v. 748. et Fragm. Apollod. p. 1037. et 1038 Paullo infra pro πίθοιτο Cod. Moſc. πείθοιτο.

ἀσφαλείας. ἐνταῦθα ἐν τῇ ἀκροπόλει ναός ἐστιν Ἀθηνᾶς ἐπίκλησιν Τριτωνίας· ἐρείπια δὲ ἐλείπετο αὐτοῦ μόνα. καὶ Ποσειδῶν χαλκοῦς ἕστηκεν ἐπωνυμίαν Ἵππειος [3])· ἀναθεῖναι δὲ τὸ ἄγαλμα τοῦ Ποσειδῶνος Ὀδυσσέα ἔφασαν· ἀπολέσθαι γὰρ ἵππους τῷ Ὀδυσσεῖ, καὶ αὐτὸν γῆν τὴν Ἑλλάδα κατὰ ζήτησιν ἐπιόντα τῶν ἵππων, ἱδρύσασθαι μὲν ἱερὸν ἐνταῦθα Ἀρτέμιδος, καὶ Εὑρίππαν ὀνομασθῆναι τὴν θεὸν, ἔνθα τῆς Φενεατικῆς χώρας εὗρε τὰς ἵππους· ἀναθεῖναι δὲ καὶ τοῦ Ποσειδῶνος τὸ ἄγαλμα τοῦ Ἱππίου. τῷ δὲ Ὀδυσσεῖ λέγουσιν εὑρόντι τὰς ἵππους, γενέσθαι οἱ κατὰ γνώμην, ἐν χώρᾳ τῇ Φενεατῶν ἔχειν ἵππους, καθάπερ γε καὶ τὰς βοῦς ἐν τῇ ἠπείρῳ τῆς Ἰθάκης ἀπαντικρὺ τρέφειν αὐτόν. καί μοι καὶ γράμματα οἱ Φενεάται παρείχοντο ἐπὶ τοῦ ἀγάλματος γεγραμμένα τῷ βάθρῳ, τοῦ Ὀδυσσέως δή τι πρόσταγμα τοῖς ποιμαίνουσι τὰς ἵππους.

5 Τὰ μὲν δὴ ἄλλα ἑπομένοις ἡμῖν τῷ Φενεατῶν λόγῳ, εἰκὸς προσέσται· τὸ δὲ ἄγαλμα Ὀδυσσέα ἀναθεῖναι τὸ χαλκοῦν, οὐκ ἔχω πείθεσθαί σφισιν. οὐ γάρ πω τότε τοῦ χαλκοῦ τὰ ἀγάλματα διὰ παντὸς ἠπίσταντο ἐργάσασθαι καθάπερ ἐσθῆτα ἐξυφαίνοντες. τρόπον δὲ, ὅστις ἦν αὐτοῖς ἐς τὰ χαλκᾶ ἐργασίας, ἔδειξεν ἤδη μοι τοῦ ἐς Σπαρτιάτας λόγου τὰ ἐπὶ τοῦ ἀγάλματος τοῦ Ὑπάτου Διός [4]). διέχεαν δὲ χαλκὸν πρῶτοι καὶ ἀγάλματα ἐχωνεύσαντο Ῥοῖκός τε Φιαίου καὶ Θεόδωρος Τηλεκλέους [5]) Σάμιοι. Θεοδώρου δὲ ἔργον

3) Ἵππειος] Cod. Mosc. Ἵππιος, uti vulgo et mox in vulgatis Ἱππίου.

4) τρόπον δὲ, — Ὑπάτου Διός] Vide supra L. III. C. 17. §. 6., ubi tamen Ὑπάτου deest.

5) Ῥοῖκος τε Φιαίου καὶ Θεόδωρος Τηλεκλέους] L. X. C. 38. legitur Φιλαίου, quod nomen rectius

ἔργον ἦν καὶ ἐπὶ τοῦ λίθου τῆς σμαράγδου σφραγὶς,
ἣν Πολυκράτης ὁ Σάμου τυραννήσας ἐφόρει τε τὰ
μάλιστα, καὶ ἐπ᾽ αὐτῆς περισσῶς δή τι ἠγάλλετο.
Φενεατῶν δὲ ἐκ τῆς ἀκροπόλεως καταβαίνοντι, ἔστι 6
μὲν στάδιον, ἔστι δὲ ἐπὶ λόφου μνῆμα Ἰφικλέους ἀδελ-
φοῦ τε Ἡρακλέους καὶ Ἰολάου πατρός. Ἰόλαον μὲν
δὴ τὰ πολλὰ Ἡρακλεῖ συγκάμνειν λέγουσιν Ἕλληνες.
Ἰφικλῆς [6]) δὲ ὁ Ἰολάου πατὴρ, ἡνίκα ἐμαχέσατο
Ἡρακλῆς πρὸς Ἠλείους τε καὶ Αὐγέαν τὴν προτέραν
μάχην, τότε ὑπὸ τῶν παίδων ἐτρώθη τῶν Ἄκτορος,
καλουμένων δὲ ἀπὸ Μολιόνης τῆς μητέρος [7])· καὶ ἤδη
κάμνοντα κομίζουσιν οἱ προσήκοντες ἐς Φενεόν.
ἐνταῦθα ἀνὴρ Φενεάτης αὐτὸν Βουφάγος καὶ ἡ τοῦ
Βουφάγου γυνὴ Πρώμνη περιεῖπόν τε εὖ, καὶ ἀπο-
θανόντα ἐκ τοῦ τραύματος ἔθαψαν· Ἰφικλεῖ μὲν δὴ
καὶ ἐς τόδε ἔτι ἐναγίζουσιν ὡς ἥρωϊ. Θεῶν δὲ τιμῶσιν 7
Ἑρμῆν Φενεάται μάλιστα, καὶ ἀγῶνα ἄγουσιν Ἕρμαια·
καὶ ναός ἐστιν Ἑρμοῦ σφισι, καὶ ἄγαλμα λίθου·
τοῦτο ἐποίησεν ἀνὴρ Ἀθηναῖος, Εὔχειρ ὁ Εὐβουλίδου.
Ὄπισθεν δέ ἐστι τοῦ ναοῦ τάφος Μυρτίλου. τοῦτον
Ἑρμοῦ παῖδα εἶναι Μυρτίλον λέγουσιν Ἕλληνες,
ἡνιοχεῖν δὲ αὐτὸν Οἰνομάῳ· καὶ ὁπότε ἀφίκοιτό τις

 μνώ-

rectius esse videtur: ita etiam Herodoto L. III. f. 60. Rhoecus filius est Φίλεω. At Diodoro Sic. L. I. f. 38. Telecles et Theodorus filii Rhoeci dicuntur. De quo dissensu vide Wesseling. ad Diodor. l. c. et Valkenar. ad Herodot. L. III. f. 41., qui locus etiam de Polycratis smaragdo videndus. Mox pro ἐπ᾽ αὐτῆς Valkenar. ad Herodoti l. c. emendat ἐπ᾽ αὐτῇ.

6) Ἰφικλῆς] Aliis Ἴφικλος, de qua duplici forma unius nominis vid. Heyne V. C. ad Apollodor. p. 123. 124.

7) καλουμένων δὲ — μητέρος] Molionidae, de quibus vide supra not. 18. ad L. V. C. 2. in fine.

μνώμενος τοῦ Οἰνομάου τὴν θυγατέρα, ὁ μὲν ἠπείγετο ὁ Μυρτίλος σὺν τέχνῃ τοῦ Οἰνομάου τὰς ἵππους, ὁ δὲ ἐν τῷ δρόμῳ τὸν μνηστῆρα, ὁπότε ἐγγὺς γένοιτο, κατηκόντιζεν. Ἱπποδαμείας δὲ ἤρα μὲν καὶ αὐτὸς ὁ Μυρτίλος, ἐς δὲ τὸν ἀγῶνα ἀτόλμως ἔχων ὑπεῖκε, καὶ ἡνιόχει τῷ Οἰνομάῳ. τέλος δὲ καὶ ἀναφανῆναι τοῦ Οἰνομάου προδότην φασὶν αὐτὸν ὑπαχθέντα ὅρκοις, ὡς οἱ νύκτα ὁ Πέλοψ μίαν Ἱπποδαμείᾳ συγγενέσθαι παρήσει. ἀναμιμνήσκοντα οὖν τῶν ὅρκων ὁ Πέλοψ ἐξέβαλεν ἐκ τῆς νεώς· Φενεάται δὲ τοῦ Μυρτίλου τὸν νεκρὸν ἐκβληθέντα ὑπὸ τοῦ κλύδωνος λέγουσιν ἀνελόμενοι θάψαι, καὶ νύκτωρ κατὰ
8 ἔτος ἐναγίζουσιν αὐτῷ. Ἔστι δὲ ὁ Πέλοψ δῆλος οὐ πολλήν τινα παραπλεύσας θάλασσαν, ἀλλὰ ὅσον ἀπὸ τοῦ Ἀλφειοῦ τῶν ἐκβολῶν ἐς τὸ ἐπίνειον τὸ Ἠλείων. οὐκ ἂν οὖν τό γε πέλαγος τὸ Μυρτῶον ἀπὸ Μυρτίλου τοῦ Ἑρμοῦ φαίνοιτο κεκλημένον, ἀρχόμενόν τε ἀπὸ Εὐβοίας καὶ παρ' Ἑλένην ἔρημον νῆσον καθῆκον ἐς τὸ Αἰγαῖον. ἀλλά μοι δοκοῦσιν Εὐβοέων οἱ τὰ ἀρχαῖα μνημονεύοντες εἰκότα εἰρηκέναι, λέγοντες ἀπὸ γυναικὸς Μυρτοῦς τῷ πελάγει γεγονέναι τὸ ὄνομα τῷ Μυρτώῳ. Φενεάταις δὲ καὶ Δήμητρός ἐστιν ἱερὸν ἐπίκλησιν Ἐλευσινίας [8]), καὶ ἄγουσι τῇ θεῷ τελετὴν, τὰ ἐν Ἐλευσῖνι δρώμενα [9]) καὶ παρὰ σφίσι τὰ αὐτὰ φάσκοντες καθεστηκέναι· ἀφικέσθαι γὰρ αὐτοῖς Ναὸν κατὰ μάντευμα ἐκ Δελφῶν· τρίτον δὲ ἀπόγονον Εὐμόλπου τοῦτον εἶναι τὸν Ναόν.

8) Ἐλευσινίας] Cod. Mosc. Ἐλευσινείας, et ita Cap. sq. init.

9) τὰ ἐν Ἐλευσῖνι δρώμενα] Cod. Mosc. τὰ Ἐλευσίνεια δρώμενα. (οι)

CAPUT

## CAPUT XV.

De Petromate apud Pheneatas et perſona Cereris Cidariae Cererisque Theſmiae fano — memorandis in via Pellenen et Aegiram verſus — Telamone et Chalcodonte Herculis contra Eleos ſociis — Pheneatarum et Achaeorum finibus, monte Crathide et Dianae Pyroniae templo.

Παρὰ δὲ τῆς Ἐλευσινίας τὸ ἱερὸν πεποίηται Πέτρωμα καλούμενον [1]), λίθοι δύο ἡρμοσμένοι πρὸς ἀλλήλους μεγάλοι. ἄγοντες δὲ παρὰ ἔτος, ἥντινα τελετὴν μείζονα ὀνομάζουσι, τοὺς λίθους τούτους τηνικαῦτα ἀνοίγουσι, λαβόντες γράμματα ἐξ αὐτῶν ἔχοντα ἐς τὴν τελετὴν, καὶ ἀναγνόντες ἐπήκοον τῶν μυςῶν [2]), κατέθεντο ἐν νυκτὶ αὖθις τῇ αὐτῇ. Φενεατῶν δὲ οἶδα τοὺς πολλοὺς καὶ ὀμνύντας ὑπὲρ μεγίςων τῷ Πετρώματι. καὶ ἐπίθημα ἐπ' αὐτῷ περιφερές ἐςιν, ἔχον ἐντὸς Δήμητρος πρόσωπον Κιδαρίας. τοῦτο ὁ ἱερεὺς περιθέμενος τὸ πρόσωπον ἐν τῇ μείζονι καλουμένῃ τελετῇ, ῥάβδοις κατὰ λόγον δή τινα τοὺς ἐπιχθονίους [3]) παίει. Φενεατῶν δέ ἐςι λόγος, καὶ

1) καλούμενον] Ita cum Sylburgio reſcribere non dubitavi pro vulgata duriori καλούμενοι.

2) καὶ ἀναγνόντες ἐπήκοον τῶν μυςῶν] Statim liquet, ſcribendum eſſe vel ἐπηκόων τῶν μυςῶν, vel ἀναγνόντες ἐς ἐπήκοον τῶν μ., quod poſterius mihi magis arridet. Sic infra C. 40. συνέθεντο ἐς ἐπήκοον. Scilicet ἐς ἐπήκοον Graecis uſurpatur pro: *ad audiendum*, *ut audiant*, *audientibus*. Ita Xenoph. de expedit. Cyri L. II. C. 5. 38. ἔςησαν εἰς ἐπήκοον, L. III. C. 3. 1. καλεσάμενος τοὺς ςρατηγοὺς εἰς ἐπήκοον.

3) τοὺς ἐπιχθονίους] *Kuhn.* recte monuit, emendandum eſſe τοὺς ὑποχθονίους, *inferos*, qui ejus filiam Proſerpinam detinebant. ὑποχθονίους cum Plutonem et Proſerpinam, tum manes et umbras denotare, D'Orville docet ad Charit. p. 265. et 492. ed. Lipſ.

καὶ πρὶν ἢ Ναὸν ἀφικέσθαι γὰρ καὶ ἐνταῦθα Δήμη-
τρα πλανωμένην· ὅσοι δὲ Φενεατῶν [4]) οἴκῳ τε καὶ
ξενίοις ἐδέξαντο αὐτὴν, τούτοις τὰ ὄσπρια ἡ θεὸς τὰ
ἄλλα, κύαμον δὲ οὐκ ἔδωκέ σφισι. κύαμον μὲν οὖν
ἐφ' ὅτῳ μὴ καθαρὸν εἶναι νομίζουσιν ὄσπριον, ἔςιν
ἱερὸς ἐπ' αὐτῷ λόγος. οἱ δὲ τῷ Φενεατῶν μὲν λόγῳ
δεξάμενοι τὴν θεὸν, Τρισαύλης [5]) καὶ Δαμιθάλης,
ἐποιήσαντο μὲν Δήμητρος ναὸν, (θέσθαι δὲ [6]) ὑπὸ τῷ
ὄρει τῇ Κυλλήνῃ) κατεςήσαντο δὲ αὐτῇ καὶ τελετὴν,
ἥντινα καὶ νῦν ἄγουσιν. ὁ δὲ ναὸς οὗτος τῆς Θεσμίας
ςαδίους πέντε μάλιςά που καὶ δέκα ἐςὶν ἀπωτέρω
τῆς πόλεως.

2 Ἐς δὲ Πελλήνην ἐκ Φενεοῦ καὶ ἐς Αἴγειραν ἰόντι
Ἀχαιῶν πόλιν, πέντε που προεληλυθότι [7]) καὶ δέκα
ςαδίους, Ἀπόλλωνός ἐςι Πυθίου ναός· ἐρείπια δ'
ἐλείπετο αὐτοῦ μόνα, καὶ βωμὸς μέγας λίθου λευκοῦ.
ἐνταῦθα ἔτι καὶ νῦν Ἀπόλλωνι Φενεᾶται καὶ Ἀρτέμιδι
θύουσιν, Ἡρακλέα ἑλόντα Ἦλιν τὸ ἱερὸν λέγοντες
3 ποιῆσαι. Ἔςι δὲ αὐτόθι καὶ ἡρώων μνήματα, ὅσοι
συν Ἡρακλεῖ ςρατείας ἐπὶ Ἠλείους μετασχόντες
οὐκ ἀπεσώθησαν οἴκαδε ἐκ τῆς μάχης. τέθαπται δὲ
Τελαμὼν ἐγγύτατα τοῦ ποταμοῦ τοῦ Ἀροανίου,
ἀπωτέρω μικρὸν ἢ ἔςι τὸ ἱερὸν τοῦ Ἀπόλλωνος·
Χαλκώδων δὲ οὐ πόῤῥω κρήνης καλουμένης Οἰνόης.
τὸν

4) ὅσοι δὲ Φεν.] Inſerui δὲ ex Codice Moſc.

5) Τρισαύλης] *Kuhn.* non temere mavult Δυσαύλης, quod nomen in Cereris rebus ſatis eſt notum. Vide ſupra L. I. C. 14. et L. II. C. 14.

6) θέσθαι δὲ] Scilicet λέγουσι, vel Φενεατῶν ἐςι λόγος, quod ex ſuperioribus in hac conſtructione ad ſenſum eſt revocandum.

7) προεληλυθότι] Sic cum Amaſaeo ſcripſi pro προσεληλυθότι, quod ſententiae non conveniebat.

τὸν μὲν δὴ Ἐλεφήνορος τοῦ νηυσὶν ἐς Ἴλιον ἡγησαμένου [8]), καὶ τὸν Αἴαντός τε καὶ Τεύκρου, τούτων μὲν τοὺς πατέρας οὐκ ἀποδέξαιτο ἄν τις ἐν τούτῳ πεσεῖν τῷ ἀγῶνι. πῶς μὲν γὰρ συνεπελάβετο Ἡρακλεῖ τοῦ ἔργου Χαλκώδων, ὃν πρότερον ἔτι ἀπέκτεινεν Ἀμφιτρύων; καὶ μαρτυρεῖται καὶ πιϛεύειν ἄξιά ἐϛιν ἐν Θήβαις [9]). πῶς δὲ Τεῦκρος ᾤκισεν ἂν Σαλαμῖνα ἐν Κύπρῳ πόλιν, μηδενὸς, ὡς ἀνέϛρεψεν ἐκ Τροίας, ἐκβαλόντος ἐκ τῆς οἰκίας; τίς δ' ἂν ἐξήλασεν ἄλλος πλὴν ὁ Τελαμὼν αὐτόν; δῆλα οὖν ἐϛι, Χαλκώδοντα οὐ τὸν ἐξ Εὐβοίας, καὶ Τελαμῶνα οὐ τὸν Αἰγινήτην, ἐπὶ Ἠλείους Ἡρακλεῖ μετεσχηκέναι τῆς ϛρατείας [10])· ὁμώνυμοι δὲ ἐπιφανέσιν ἄνδρες ἀφανέϛεροι καὶ ἐφ' ἡμῶν ἔτι καὶ τὸν ἅπαντα ἐγίγνοντο ὁμοίως χρόνον.
Φενεάταις δὲ πρὸς τὸ Ἀχαϊκὸν τὸ ὅμορον οὐ καθ' ἓν 4
ὅροι τῆς γῆς εἰσιν, ἀλλὰ πρὸς μὲν Κυλλήνην [11]) ὁ καλούμενος Πορίνας, πρὸς δὲ τὴν Αἰγειράτιν τὸ ἐπ' Ἄρτεμιν. ἐν δὲ αὐτῶν Φενεατῶν τῇ χώρᾳ, μετὰ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Πυθίου, προΐξεις [12]) τε οὐκ ἐπὶ πολὺ, καὶ ἐντὸς ἔσῃ τῆς ὁδοῦ τῆς ἐπὶ τὸ ὄρος ἀγούσης τὴν Κρᾶθιν. ἐν τούτῳ τῷ ὄρει τοῦ ποταμοῦ τῆς Κράθιδός εἰσιν αἱ πηγαί· ῥεῖ δὲ ἐς θάλασσαν παρὰ Αἰγὰς, ἔρημον τὰ ἐπ' ἐμοῦ χωρίον, τὰ δὲ παλαι-

8) Ἐλεφήνορος — ἡγησαμένου] Vide Homer. Iliad. β. v. 540. sq.

9) καὶ μαρτυρεῖται — Θήβαις] *id quod testantur fide digna monumenta Thebis.* De quo vide L. IX. C. 19.

10) μετεσχηκέναι τῆς ϛρατείας] Reposui ϛρατείας pro vulgata ϛρατιᾶς. Sic paullo supra ϛρατείας μετασχόντες.

11) Κυλλήνην] *Sylb.* non absurde emendandum putat Πελλήνην, quae Achaïae est, et adstipulari videntur supra dicta, ἐς δὲ Πελλήνην ἐκ Φενεοῦ etc.

12) προΐξεις] *Sylb.* mavult προήξεις, vel προΐξῃ, uti C. 20. init. ἀφίξῃ.

παλαιότερα Ἀχαιῶν πόλιν. ἀπὸ τούτου δὲ καλεῖται τοῦ Κράθιδος καὶ ἐν Ἰταλίᾳ ποταμὸς ἐν τῇ Βρεττίων. ἐν δὲ τῇ Κράθιδι τῷ ὄρει Πυρωνίας ἱερόν ἐστιν Ἀρτέμιδος· καὶ τὰ ἔτι ἀρχαιότερα παρὰ τῆς θεοῦ ταύτης ἐπήγοντο Ἀργεῖοι πῦρ ἐς τὰ Λερναῖα [13]).

## CAPUT XVI.

De monte Geronteo et tribus fontibus Tricrena dictis — monte Sepia et Aepyti ſepulcro — aliis memorandis ſepulcris, Mauſoleo et Helenae, Hebraeae mulieris, ſepulcro.

Ἐκ δὲ Φενεοῦ πρὸς ἥλιον ἰόντι ἀνίσχοντα, ὄρους ἐστὶν ἄκρα Γερόντειον, καὶ κατὰ ταύτην ὁδός· Φενεάταις δὲ ὅροι πρὸς Στυμφαλίους τῆς γῆς τοῦτό ἐστι τὸ Γερόντειον. τοῦ Γεροντείου δὲ ἐν ἀριστερᾷ διὰ τῆς Φενεατικῆς ὁδεύοντι ὄροι Φενεατῶν ἐστι Τρίκρηνα καλούμενα, καί εἰσιν αὐτόθι κρῆναι τρεῖς· ἐνταῦθα [1]) λοῦσαι τεχθέντα Ἑρμῆν αἱ περὶ τὸ ὄρος λέγονται Νύμφαι, καὶ ἐπὶ τούτῳ τὰς πηγὰς ἱερὰς Ἑρμοῦ νομίζουσι.
2 Τρικρήνων δὲ οὐ πόῤῥω ἄλλο ἐστὶν ὄρος Σηπία, καὶ Αἰπύτῳ τῷ Ἐλάτου λέγουσιν ἐνταῦθα γενέσθαι τὴν τελευτὴν ἐκ τοῦ ὄφεως [2]), καί οἱ τὸν τάφον ἐποίησαν αὐτόθι· οὐ γὰρ οἷά τε ἦν σφισιν ἐς τὸ πρόσω φέρειν τὸν νεκρόν. τούτους οἱ Ἀρκάδες τοὺς ὄφεις γίνεσθαι καὶ ἐφ' ἡμῶν ἔτι ἐν τῷ ὄρει φασὶν, οὐ μέν τοι πολλούς γε, ἀλλὰ καὶ μάλιστα σπανίους· ἅτε γὰρ τοῦ ἔτους

13) Λερναῖα] De his Cereris ſacris vide L. II. C. 36. in fine. Cod. Moſc. hic exhibet Λερνέα.

1) ἐνταῦθα] Codex Moſc. ἐν ταύταις.

2) καὶ Αἰπύτῳ — ὄφεως] De hoc vide ſupra C. 4.

ἔτους τὸ πολὺ νιφομένου τοῦ ὄρους, οἵ τε ἀπολειφθέν-
τες [3]) τῶν φωλεῶν ἐκτὸς ὑπὸ τῆς χιόνος διαφθείρονται,
καὶ, ἣν πρότερον καταφυγόντες τύχωσιν ἐς τὰ φωλεὰ,
ὅμως ἡ χιὼν μέρος τι αὐτῶν ἀπόλλυσιν, ἅτε καὶ εἰς
αὐτὰ τὰ φωλεὰ καθικνουμένου τοῦ κρύους. τὸν δὲ
τοῦ Αἰπύτου τάφον σπουδῇ μάλιϛα ἐθεασάμην,
ὅτι ἐν τοῖς ἐς τοὺς Ἀρκάδας ἔπεσιν ἔσχεν Ὅμηρος [4])
λόγον τοῦ Αἰπύτου μνήματος. ἔϛι μὲν οὖν γῆς χῶμα
οὐ μέγα, λίθου κρηπῖδι ἐν κύκλῳ περιεχόμενον·
Ὁμήρῳ δὲ (οὐ γὰρ ἴδεν ἀξιολογώτερον μνῆμα) εἰκότως
παρέξειν ἔμελλε θαῦμα· ἐπεὶ καὶ Ἡφαίϛου τὸν χορὸν
ἐπὶ τῇ Ἀχιλλέως ἀσπίδι εἰργασμένον εἰκάζει χορῷ
Δαιδάλου ποιηθέντι, σοφώτερα οὐ θεασάμενος.
Τάφους δὲ ἀξίους θαύματος ἐπιϛάμενος πολλοὺς, 3
δυοῖν ἐξ αὐτῶν ἐπιμνησθήσομαι· τοῦ τε ἐν Ἁλικαρ-
νασσῷ, καὶ ἐν τῇ Ἑβραίων. ὁ μὲν δὴ ἐν Ἁλικαρ-
νασσῷ Μαυσώλῳ βασιλεύσαντι Ἁλικαρνασσῶν πε-
ποίηται. μέγεθος δὲ οὕτω δή τί ἐϛι μέγας καὶ
ἐς κατασκευὴν περίβλεπτος τὴν πᾶσαν, ὥϛτε καὶ
Ῥωμαῖοι μεγάλως δή τι αὐτὸν θαυμάζοντες τὰ παρὰ
σφισιν ἐπιφανῆ μνήματα Μαυσωλεῖα ὀνομάζουσιν.
Ἑβραίοις δὲ Ἑλένης γυναικὸς ἐπιχωρίας τάφος ἐϛὶν ἐν
πόλει Σολύμοις [5]), ἣν ἐς ἔδαφος κατέβαλεν ὁ Ῥωμαίων
βασιλεύς. μεμηχάνηται δὲ ἐν τῷ τάφῳ τὴν θύραν,
ὁμοίως πάντα οὖσαν τῷ τάφῳ λιθίνην, μὴ πρότερον
ἐσανοίγεσθαι [6]), πρὶν ἂν ἡμέραν τε ἀεὶ καὶ ὥραν τὸ
ἔτος

3) ἀπολειφθέντες] *Amaſ.* legiſſe videtur ἀποληφθέντες, interpretatus *deprehenſi.*

4) Ὅμηρος] Vide Il. β. v. 604. et de Achillis clypeo Iliad. σ. v. 590. ſq.

5) Ἑβραίοις — Σολύμοις] De hoc ſepulcro Helenae, Monobazi, regis Adiabenes, uxoris, vide Joſeph. Antiqu. Judaic. L. XX. C. 2. ac de Solymorum urbe Steph. Byz. v. Σολυμα.

6) ἐσανοίγεσθαι] Rectius forte ἐπανοίγεσθαι.

ἔτος ἐπαγάγῃ τὴν αὐτήν· τότε δὲ ὑπὸ μόνου τοῦ μηχανήματος ἀνοιχθεῖσα καὶ οὐ πολὺ ἐπισχοῦσα, συνεκλείσθη δι' ὀλίγης· τοῦτον μὲν δὴ οὕτω 7)· τὸν δὲ ἄλλον χρόνον ἀνοῖξαι πειρώμενος, ἀνοίξαις μὲν οὐκ ἂν, κατάξεις δὲ αὐτὴν πρότερον βιαζόμενος.

## CAPUT XVII.

De monte Cyllene et Mercurio Cyllenio — vario materiae genere, qua ad lignea simulacra usi sunt veteres — variorum animalium candido colore — monte Chelydorea — urbe Nonacri et Stygis aqua.

Μετὰ δὲ τοῦ Αἰπύτου τὸν τάφον ὄρος τε ὑψηλότατον
ὀρῶν τῶν ἐν Ἀρκαδίᾳ Κυλλήνη, καὶ Ἑρμοῦ Κυλληνίου
κατεῤῥιμμένος ναός ἐστιν ἐπὶ κορυφῇ τοῦ ὄρους. δῆλα
δέ ἐστιν ἀπὸ Κυλλήνου 1) τοῦ Ἐλάτου τῷ τε ὄρει τὸ
2 ὄνομα καὶ ἡ ἐπίκλησις γεγενημένη τῷ θεῷ. Τοῖς δὲ
ἀνθρώποις τὸ ἀρχαῖον, ὁπόσα καὶ ἡμεῖς καταμαθεῖν
ἐδυνήθημεν, τοσάδε ἦν, ἀφ' ὧν τὰ ξόανα ἐποιοῦντο·
ἔβενος, κυπάρισσος, αἱ κέδροι, τὰ δρύϊνα, ἡ σμίλαξ 2),
ὁ λωτός· τῷ δὲ Ἑρμῇ τῷ Κυλληνίῳ τούτων μὲν ἀπὸ
οὐδενὸς,

7) τοῦτον μὲν δὴ οὕτω] Haec, justo brevius dicta, plenius sic enuncianda essent: τοῦτον μὲν δὴ χρόνον οὕτω ἀνοίγεται.

1) ἀπὸ Κυλλήνου] Pro Aldina lectione Κυλλήνου Camerarius, Hartung. et Xyland. male reposuerunt Κυλλήνου. Nam scribendum esse Κυλλῆνος, ex C. 4. liquet, ubi inter Elati filios Κυλλῆνα exhibet Pausanias.

2) ἡ σμίλαξ] Quidam ilicis quoddam genus ita appellatum fuisse putarunt. Sed illam arborem taxum esse, uberius declaravit Salmas. Exercitat. p. 1041. Conf. interpret. ad Dioscorid. L. I. c. 121.

οὐδενὸς, θύου [3]) δὲ πεποιημένον τὸ ἄγαλμά ἐϛιν·
ὀκτὼ δὲ εἶναι ποδῶν μάλιϛα αὐτὸ εἰκάζομεν. Παρέχε- 3
ται δὲ καὶ θαῦμα τοιόνδε ἡ Κυλλήνη· κόσσυφοι γὰρ
οἱ ὄρνιθες ὁλόλευκοί εἰσιν ἐν αὐτῇ [4]). οἱ δὲ ὑπὸ κωμῳ-
δῶν καλούμενοι, γένος ἄλλο πού τί εἰσιν ὀρνίθων,
οὐκ ᾠδικόν. ἀετοὺς μὲν ὀνομαζομένους κυκνίας,
μάλιϛα εἰκότας κύκνῳ λευκότητα, οἶδα ἐν Σιπύλῳ
θεασάμενος περὶ λίμνην καλουμένην Ταντάλου· ὗς
δὲ ἀγρίους λευκοὺς, καὶ ἄρκτους τῶν Θρᾳκίων λευκὰς,
ἃς δή που καὶ ἄνδρες ἐκτήσαντο ἰδιῶται. λαγὼ δὲ
καὶ ἔλαφοι, τὸ μὲν Λιβυκὸν θρέμμα οἱ λαγώ εἰσι
λευκοί· ἐλάφους δὲ ἐν Ῥώμῃ λευκὰς εἶδόν τε καὶ ἰδὼν
θαῦμα ἐποιησάμην· ὁπόθεν δὲ ἢ τῶν ἠπείρων οὖσαι
ἢ νησιώτιδες ἐσεκομίσθησαν, οὐκ ἐπῆλθεν ἐρέσθαι
μοι. τάδε μὲν ἡμῶν λελέχθω [5]) τῶν ἐν Κυλλήνῃ κοσ-
σύφων εἵνεκα, ὡς μὴ τοῖς ῥηθεῖσιν ἐς τὴν χρόαν
αὐτῶν ἀπιϛοίη μηδείς. Ἔχεται δὲ ἄλλο ὄρος Κυλ- 4
λήνης Χελυδορέα [6]), ἔνθα εὑρὼν χελώνην Ἑρμῆς ἐκ-
δεῖραι τὸ θηρίον, καὶ ἀπ' αὐτῆς λέγεται ποιήσασθαι
λύραν. ἐνταῦθα Φενεάταις καὶ Πελληνεῦσιν ὅροι
τῆς γῆς εἰσι, καὶ τοῦ ὄρους τῶν Χελυδορέων οἱ Ἀχαιοὶ
τὸ πλέον νέμονται. Ἐκ Φενεοῦ δὲ ἰόντι ἐπὶ ἑσπέρας 5
καὶ ἡλίου δυσμῶν, ἡ μὲν ἀριϛερὰ τῶν ὁδῶν ἐς πόλιν
ἄγει

3) θύου] Citrum arborem θύον eſſe, copioſe et docte demonſtravit Salmaſ. Exercitat. p. 952 — 954. Conf. Voſſii Etymolog. v. Citrus.

4) κόσσυφοι γὰρ — αὐτῇ] Alii quoque ſcriptores hoc teſtantur. Vide Ariſtotel. de mirabil. auſcult. C. 14. et ibi Beckm. V. C.

5) τάδε μὲν ἡμῶν λελ.] Bene monuit *Sylburg.*, pro ἡμῶν ſcribendum eſſe ἡμῖν.

6) Χελυδορέα] Ex Codice M. ο repoſui pro ω, *Kuhnio*, ex etymologia ita ſcribendum eſſe, jam conjiciente.

ἄγει Κλείτορα, ἐν δεξιᾷ δὲ ἐπὶ Νώνακριν καὶ τὸ ὕδωρ τῆς Στυγός. τὸ μὲν δὴ ἀρχαῖον Νώνακρις πόλισμα ἦν Ἀρκάδων, καὶ ἀπὸ τῆς Λυκάονος γυναικὸς τὸ ὄνομα εἰλήφει· τὰ δὲ ἐφ' ἡμῶν ἐρείπια ἦν, οὐδὲ τούτων τὰ πολλὰ ἔτι δῆλα. τῶν δὲ ἐρειπίων οὐ πόῤῥω κρημνός ἐστιν ὑψηλός· οὐχ ἕτερον ἐς τοσοῦτο ἀνήκοντα ὕψους οἶδα· καὶ ὕδωρ κατὰ τοῦ κρημνοῦ στάζει· καλοῦσι δ' Ἕλληνες αὐτὸ ὕδωρ Στυγός.

## CAPUT XVIII.

**De Styge varia a poëtis memoriae prodita — Stygis aquae vi mortifera, frangente et dissolvente — montibus Aoraniis, vico Lusis et Proeti filiabus a Melampode ibi sanatis.**

Εἶναι δὲ τὴν Στύγα Ἡσίοδος μὲν ἐν Θεογονίᾳ ἐποίησεν [1]· Ἡσιόδου γὰρ δὴ ἔπη τὴν Θεογονίαν εἰσὶν οἱ νομίζουσι· πεποιημένα οὖν ἐστιν ἐνταῦθα, Ὠκεανοῦ θυγατέρα τὴν Στύγα, γυναῖκα δὲ αὐτὴν εἶναι Πάλλαντος· ἐοικότα δὲ πεποιηκέναι τούτοις καὶ Λίνον φασίν. ἐμοὶ δ' ἐπιλεγομένῳ παντάπασιν ἐφαίνετο ταῦτά γε εἶναι κίβδηλα. Ἐπιμενίδης δὲ ὁ Κρὴς [2] εἶναι μὲν καὶ οὗτος θυγατέρα Ὠκεανοῦ τὴν Στύγα ἐποίησε, συνοικεῖν δὲ αὐτὴν οὐ Πάλλαντι, ἀλλὰ ἐκ Πείραντος Ἔχιδναν τεκεῖν, ὅστις δὴ ὁ Πείρας ἐστίν. μάλιστα δὲ τῆς Στυγὸς τὸ ὄνομα ἐς τὴν ποίησιν ἐπεση-

1) Ἡσίοδος — ἐποίησεν] Theogon. v. 383 et 775. Pro ἐποίησεν Cod. Mosc. dat πεποίηκεν.

2) Ἐπιμενίδης δὲ ὁ Κρὴς] De hoc vide Diogen. Laërt. L. I. f. 109. sq.

ἐπεσηγάγετο Ὅμηρος· ἐν μέν γε Ἥρας ἐποίησεν ὅρκῳ[3])·

Ἴςω νῦν τόδε γαῖα καὶ οὐρανὸς εὐρὺς ὕπερθε,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ.

ταῦτα μὲν δὴ ἐποίησεν ὡς ἂν ἰδὼν ἐς τὸ ὕδωρ[4]) τῆς Στυγὸς ςάζον. βούλεται δὲ καὶ ἐν καταλόγῳ τῶν μετὰ Γουνέως, Τιταρησίῳ ποταμῷ ῥεῖν τὸ ὕδωρ ἀπὸ τῆς Στυγός[5]). ἐποίησε δὲ καὶ[6]) ἐν Ἅδου ὕδωρ εἶναι, καὶ Ἀθηνᾶ τὸν Δία οὐ μεμνῆσθαί φησιν, ὅτι δἰ αὐτῆς Ἡρακλέα ἔσωζεν ἐκ τῶν Εὐρυσθέως ἄθλων·

Εἰ γὰρ ἐγὼ τόδε ᾔδε' ἐνὶ φρεσὶ πευκαλίμῃσιν,
Εὖτέ μιν εἰς Ἀΐδαο Πυλάρταο προὔπεμψεν
Ἐξ Ἐρέβευς ἄξοντα κύνα ςυγεροῦ Ἀΐδαο,
Οὐκ ἂν ὑπεξέφυγε Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα.

Τὸ δὲ ὕδωρ τὸ ἀπὸ τοῦ κρημνοῦ τοῦ παρὰ τὴν Νώνακριν ςάζον ἐμπίπτει[7]) μὲν πρῶτον ες πέτραν ὑψηλὴν, 2
διεξελθὸν δὲ διὰ τῆς πέτρας ἐς τὸν Κρᾶθιν ποταμὸν κάτεισι· θάνατον δὲ τὸ ὕδωρ φέρει τοῦτο καὶ ἀνθρώπῳ καὶ ἄλλῳ ζώῳ παντί. λέγεται δὲ, ὅτι γένοιτό ποτε ὄλεθρος ἀπ' αὐτοῦ καὶ αἰξὶν, αἱ τοῦ ὕδατος ἔπιον πρῶτον. χρόνῳ δὲ ὕςερον ἐγνώσθη, καὶ εἰ δή τι ἄλλο πρόσεςι τῷ ὕδατι τῶν ἐς θαῦμα ἡκόντων.

 ὕαλος

3) Ὅμηρος· — ὅρκῳ] Vide Iliad. ο. v. 36.

4) ἰδὼν ἐς τὸ ὕδωρ] Male intrusum mihi videtur ἐς et delendum.

5) ἐν καταλόγῳ — Στυγός] Vide Iliad. β. v. 751. Τιταρησίῳ cum *Sylburgio* emendavi pro male vulgato Τιταρησίων.

6) ἐποίησε δὲ καὶ etc.] Vide Iliad. θ. v. 366. sq.

7) ἐμπίπτει] Cod. Mosc. ἐπιπίπτει.

ὕαλος[8]) μέν γε καὶ κρύϛαλλος καὶ μοῤῥία[9]) καὶ ὅσα ἐϛὶν ἀνθρώποις ἄλλα λίθου ποιούμενα, καὶ τῶν σκευῶν τὰ κεράμεα, τὰ μὲν ὑπὸ τῆς Στυγὸς τοῦ ὕδατος ῥήγνυται· κεράτινα δὲ καὶ ὀϛέϊνα, σίδηρός τε καὶ χαλκὸς, ἔτι δὲ μόλιβδός τε καὶ κασσίτερος καὶ ἄργυρος καὶ τὸ ἤλεκτρον ὑπὸ τούτου σήπεται τοῦ ὕδατος· τὸ δὲ αὐτὸ ἐν μετάλλοις τοῖς πᾶσι καὶ ὁ χρυσὸς πέπονθε, καί τοί γε καθαρεύειν γε τὸν χρυσὸν ὑπὸ τοῦ ἰοῦ[10]), ἥ τε ποιήτρια μάρτυς ἐϛὶν ἡ Λεσβία[11]), καὶ αὐτὸς ὁ χρυσὸς ἐπιδείκνυσιν. ἔδωκε δ' ἄρα ὁ θεὸς τοῖς μάλιϛα ἀπεῤῥιμμένοις κρατεῖν τῶν ὑπερηρκότων τῇ δόξῃ. τοῦτο μὲν γὰρ τὰ μάργαρα ἀπόλλυσθαι πέφυκεν ὑπὸ τοῦ ὄξους· τοῦτο δὲ τὸν ἀδάμαντα λίθον ὄντα ἰσχυρότατον τοῦ τράγου κατατήκει τὸ αἷμα. καὶ δὴ καὶ τὸ ὕδωρ οὐ δύναται τῆς Στυ-

8) ὕαλος] Sic pro perperam vulgato ἄλλος reſcripſi ex Codice Moſc. exhibente ἅλος et in margine ὕαλος, *Amaſaei* interpretatione et Stephano Nigro, quem ὕαλος legiſſe *Kuhnius* teſtatur.

9) μοῤῥία] Scribendum eſſe μόῤῥα, contendit *Salmaſ.* Exercitat. Plin. p. 203. 204., qui ibi copioſe de hoc lapide et de vaſis murrhinis agit, ac murrham noſtrum *Porzellan* fuiſſe opinatur. Omnia vero de murrha et murrhinis a doctis disputata accurate collegit beatus Chriſtius in peculiari commentatione *de murrhinis veterum* Lipſ. 1743. 4. Quibus tamen addendus eſt Winkelmann, qui *Deſcript. des pierres gr. de Mr Stoſch.* p. 501. murrham agathi genus pretioſum fuiſſe vult, et Veltheim *über die Vaſa Murrhina. Helmſtädt* 1791. 8., ubi murrham ſteatitam Sinicum (*Sineſiſcher Speckſtein*) fuiſſe demonſtratur.

10) ὑπὸ τοῦ ἰοῦ] Cum *Sylburgio* ſentio, qui ἀπὸ pro ὑπὸ legendum eſſe monet.

11) ἥ τε ποιήτρια — ἡ Λεσβία] Hoc Sapphus fragmentum ſervatum eſt in Schol. Pindari Pyth. Od. IV. v. 407. ὅτι Διὸς παῖς ὁ χρυσὸς, κεῖνον οὐ σὴς, οὐδὲ κὶς δάπτει, βροτέαν φρένα κράτιϛον φρενῶν.

Στυγὸς ὁπλὴν ἵππου [12]) βιάσασθαι μόνην, ἀλλὰ ἐμβληθὲν κατέχεταί τε ὑπ' αὐτῆς, καὶ οὐ διεργάζεται τὴν ὁπλήν. εἰ δὲ καὶ Ἀλεξάνδρου τοῦ Φιλίππου συνέβη τὴν τελευτὴν διὰ τοῦ φαρμάκου γενέσθαι τούτου, σαφῶς μὲν οὐκ οἶδα, λεγόμενον δὲ οἶδα [13]). Ὑπὲρ 3
δὲ τὴν Νώνακριν ὄρη τε καλούμενα Ἀροάνια καὶ σπήλαιόν ἐστιν ἐν αὐτοῖς. ἐς τοῦτο ἀναφυγεῖν τὸ σπήλαιον τὰς θυγατέρας τὰς Προίτου μανείσας [14]) λέγουσιν, ἃς ὁ Μελάμπους θυσίαις τε ἀποῤῥήτοις καὶ καθαρμοῖς κατήγαγεν ἐς χωρίον καλούμενον Λουσούς. τοῦ μὲν δὴ ὄρους τοῦ Ἀροανίων [15]) Φενεᾶται τὰ πολλὰ ἐνέμοντο· οἱ δὲ ἐν ὅροις ἤδη Κλειτορίων εἰσὶν οἱ Λουσοί· πόλιν μὲν δή ποτε εἶναι λέγουσι τοὺς Λουσούς· καὶ Ἀγησίλαος ἀνὴρ Λουσεὺς ἀνηγορεύθη κέλητι ἵππῳ νικῶν, ὅτε πρώτην ἐπὶ ταῖς δέκα ἐτίθεσαν Πυθιάδα Ἀμφικτύονες· τὰ δὲ ἐφ' ἡμῶν οὐδὲ ἐρείπια ἔτι λειπόμενα ἦν Λουσῶν. τὰς δὲ θυγατέρας τοῦ Προίτου κατήγαγεν ὁ Μελάμπους ἐς τοὺς Λουσοὺς, καὶ ἠκέσατο τῆς μανίας ἐν Ἀρτέμιδος ἱερῷ· καὶ ἀπ' ἐκείνου τὴν Ἄρτεμιν ταύτην Ἡμερησίαν [16]) καλοῦσιν οἱ Κλειτόριοι.

12) ὁπλὴν ἵππου] Plutarch. et Plinius locis mox laudandis asininas et Curtius jumenti ungulas memorant.

13) εἰ δὲ καὶ Ἀλεξάνδρου — οἶδα] Vide Plutarch. Alex. f. 77., Curt. L. X. C. 10. in fine et Plin. H. N. L. XXX. C. 16.

14) τὰς θυγατέρας τὰς Πρ. μαν. etc.] Vide supra not. 12. ad L. II. C. 7.

15) τοῦ Ἀροανίων] *Sylb.* mavult τῶν Ἀροανίων.

16) Ἡμερησίαν] Cod. Mosc. Ἡμερασίαν.

## CAPUT XIX.

De Cynaethaënſibus et memorandis apud illos — fontis Alyſſi ſanandi vi — via Clitorem verſus.

Εἰσὶ δέ τινες γένους μὲν καὶ οὗτοι τῶν Ἀρκάδων,
ὄνομα δέ σφισι Κυναιθαεῖς, οἳ καὶ ἐν Ὀλυμπίᾳ τὸ
ἄγαλμα ἀνέθεσαν τοῦ Διὸς, κεραυνὸν ἐν ἑκατέρᾳ
ἔχοντα τῇ χειρί [1])· οὗτοι οἱ Κυναιθαεῖς τεσσαράκοντα
ἀπωτέρω σαδίοις μᾶλλον οἰκοῦσι· καὶ σφισιν ἐν
ἀγορᾷ πεποίηνται μὲν θεῶν βωμοὶ, πεποίηται δὲ
Ἀδριανοῦ βασιλέως εἰκών· τὰ δὲ μάλιϛα ἥκοντα ἐς
μνήμην, Διονύσου ἐϛὶν ἐνταῦθα ἱερόν. καὶ ἑορτὴν
ὥρᾳ ἄγουσι χειμῶνος, ἐν ᾗ λιπάδα ἠλιμμένοι [2]) ἄν-
δρες ἐξ ἀγέλης βοῶν ταῦρον, ὃν ἂν σφισιν ἐπὶ νοῦν
αὐτὸς ὁ θεὸς ποιήσῃ, ἀράμενοι κομίζουσι πρὸς τὸ
2 ἱερόν· θυσία μὲν τοιαύτη σφίσι καθέϛηκε. Πηγὴ
δέ ἐϛιν αὐτόθι ὕδατος ψυχροῦ, δύο μάλιϛα ἀπὸ τοῦ
ἄϛεως ἀπωτέρω ϛαδίοις, καὶ ὑπὲρ αὐτῆς πλάτανος
πεφυκυῖα. ὃς δ' ἂν ὑπὸ κυνὸς κατάσχετος [3]) λύσσῃ,
ἤτοι ἕλκος ἢ καὶ ἄλλως κίνδυνον εὕρηται, τὸ ὕδωρ οἱ
πίνοντι ἴαμα· καὶ Ἄλυσσον τοῦδε εἵνεκα ὀνομάζουσι
τὴν πηγήν. καὶ οὕτω φαίνοιτο ἂν Ἀρκάσι τὸ μὲν
πρὸς Φενεῷ ὕδωρ, ὃ Στύγα ὀνομάζουσιν, ἐπ' ἀνθρώ-
που συμφορᾷ ἀνευρημένον, ἡ δὲ πηγὴ ἐν Κυναιθαεῦ-
3 σιν ἀγαθὸν οὖσα ἀντίρροπον τῷ ἐκεῖ πήματι. Λείπε-
ται δὲ ἐκ Φενεοῦ τῶν ὁδῶν, αἵ εἰσι πρὸς ἡλίου δυσμῶν,
τὰ

1) οἳ καὶ — χειρί] Vide ſupra L. V. C. 22. init.

2) λιπάδα ἠλιμμένοι] Cum utriusque vocis forma prorſus inſolens ſit, iſtas corruptas eſſe, dubium non eſt. Praeclare vero illa emendavit *Sylb.* ſcribens λίπα ἀληλιμμένοι, *adipe peruncti.*

3) κατάσχετος] Cod. Moſc. κατέσχετο, a qua tamen lectione diſcrepare videtur ſequens tempus εὕρηται.

τὰ ἐν ἀριστερᾷ. αὕτη δὲ ἡ ὁδὸς ἄγει μὲν ἐς Κλείτορα· καθήκει δὲ παρὰ τοῦ Ἡρακλέους τὸ ἔργον [4]), ὃ τῷ ποταμῷ ῥεῦμα ἐποίησεν εἶναι τῷ Ἀροανίῳ. παρὰ τοῦτον ἡ ὁδὸς κάτεισιν ἐπὶ χωρίον Λυκουρίαν· καί ἐστι Φενεάταις ἡ Λυκουρία πρὸς Κλειτορίους ὅροι τῆς γῆς.

## CAPUT XX.

De Ladonis fluvii fontibus et Ladone ipso — de Daphne et Leucippo narratio.

Προελθόντων [1]) δὲ σταδίους ὡς πεντήκοντα ἐκ Λυκου-
ρίας, ἐπὶ τοῦ Λάδωνος [2]) ἀφίξῃ τὰς πηγάς. ἤκουσα
δὲ, ὡς τὸ ὕδωρ λιμνάζον ἐν τῇ Φενεατικῇ, κατερχόμε-
νον ἐς τὰ βάραθρα τὰ ἐν τοῖς ὄρεσιν, ἄνεισιν ἐνταῦθα
καὶ ποιεῖ τῷ Λάδωνι τὰς πηγάς· τοῦτο μὲν δὴ οὐκ
ἔχω σαφῶς εἰπεῖν, εἴτε οὕτως εἴτε ἄλλως ἐστὶν ἔχον.
ὁ δὲ Λάδων ποταμῶν τῶν ἐν Ἑλλάδι ὕδωρ παρέχεται
κάλλιστον· ἔχει δὲ καί ἄλλως ἐς ἀνθρώπους φήμην,
Δάφνης τε εἵνεκα καὶ διὰ τὰ ᾀδόμενα ἐς τὴν Δάφνην.
Τοῦ λόγου δὲ τοῦ ἐς Δάφνην τὰ μὲν Συρίας τοῖς 2
οἰκοῦσιν [3]) ἐπὶ Ὀρόντῃ τῷ ποταμῷ παρίημι· λέγεται
δὲ καὶ ἄλλα τοιάδε ὑπὸ Ἀρκάδων καὶ Ἠλείων.
Οἰνομάῳ τῷ δυναστεύσαντι ἐν Πίσῃ Λεύκιππος ἦν
υἱός. οὗτος ἐρασθεὶς Δάφνης ὁ Λεύκιππος, ἐκ μὲν
τοῦ εὐθέος μνώμενος, γυναῖκα ἕξειν ἀπεγίνωσκεν

 αὐτὴν,

4) τοῦ Ἡρακλέους τὸ ἔργον etc.] De hoc vide supra C. 14.

1) Προελθόντων] Mavult *Sylb.* Προελθὼν, ut numerus voci ἀφίξῃ respondeat. Sed Pausaniam non tam accuratum esse in his enunciandis jam aliquoties notavimus.

2) Λάδωνος] Cod. Mosc. Λάδονος, et sic semper.

3) Τοῦ λόγου — τὰ μὲν Συρίας τοῖς οἰκ. etc.] Vide Philostrat. Vit. Apollon. L. I. C. 16.

αὐτὴν, ἅτε ἅπαν τὸ ἄρσεν γένος φεύγουσαν· παρέςη δέ οἱ τοιόνδε ἐς αὐτὴν σόφισμα. ἔτρεφεν ὁ Λεύκιππος κόμην τῷ Ἀλφειῷ [4]) · ταύτην οἷα δὴ παρθένος πλεξάμενος τὴν κόμην, καὶ ἐσθῆτα ἐνδὺς γυναικείαν, ἀφίκετο ὡς τὴν Δάφνην· ἐλθὼν δὲ Οἰνομάου τε ἔλεγεν εἶναι θυγάτηρ, καὶ ὡς συνθηρᾶν ἐθέλοι τῇ Δάφνῃ. ἅτε δὲ εἶναι παρθένος νομιζόμενος, καὶ τὰς ἄλλας ὑπερβεβλημένος παρθένους γένους τε ἀξιώματι καὶ σοφίᾳ τῇ ἐς τὰ κυνηγέσια, πρὸς δὲ καὶ τῇ θεραπείᾳ περισσῇ χρώμενος, ἐς φιλίαν ἰσχυρὰν ἐπάγεται τὴν Δάφνην. οἱ δὲ τὸν Ἀπόλλωνος ἔρωτα ἐς αὐτὴν ᾄδοντες, καὶ τάδε ἐπιλέγουσιν· Ἀπόλλωνα Λευκίππῳ νεμεσῆσαι τῆς ἐς τὸν ἔρωτα εὐδαιμονίας. αὐτίκα δὲ ἐπεθύμησεν ἐν τῷ Λάδωνι ἡ Δάφνη καὶ αἱ λοιπαὶ παρθένοι νήχεσθαι, καὶ τὸν Λεύκιππον ἀποδύουσιν ἄκοντα· ἰδοῦσαι δὲ οὐ παρθένον, τοῖς ἀκοντίοις αὐτὸν καὶ ἐγχειριδίοις τύπτουσαι διέφθειραν. ταῦτα μὲν δὴ οὕτω λέγουσι.

## CAPUT XXI.

De fluvio Clitore et Aroanii fluvii piſcibus Poeciliae dictis — Clitoriorum urbe, ejusque memorandis — templo et ſigno Minervae Coriae.

Τοῦ Λάδωνος δὲ τῶν πηγῶν ἀπέχει ςάδια ἑξήκοντα ἡ Κλειτορίων πόλις· ἡ δὲ ὁδὸς ἡ ἀπὸ τῶν πηγῶν τοῦ Λάδωνός ἐςιν αὐλὸς [1]) ςενὸς παρὰ τὸν Ἀροάνιον ποταμόν·

4) ἔτρεφεν ὁ Λ. κόμην τῷ Ἀλφειῷ] ſcil. illam Alpheo detonſurus; de quo fluviis comam detondendi priſco ritu vide ſupra L. I. C. 37. §. 2. et ibi not. ac L. VIII. C. 41. init.

1) αὐλὸς] Cod. Moſc. αὐλῶν. Sic rectius αὐλὼν ſcribendum eſſet,

ταμόν· πρὸς δὲ τῇ πόλει διαβήσῃ ποταμὸν καλούμε-
νον Κλείτορα. ἐκδίδωσιν οὖν ὁ Κλείτωρ ἐς τὸν Ἀροά-
νιον, οὐ πλέον τῆς πόλεως ςαδίους ἀπέχοντα ἑπτά.
εἰσὶ δὲ ἰχθῦς ἐν τῷ Ἀροανίῳ καὶ ἄλλοι, καὶ οἱ ποι-
κιλίαι καλούμενοι· τούτους λέγουσι τοὺς ποικιλίας
φθέγγεσθαι κίχλῃ τῇ ὄρνιθι ἐοικός. ἐγὼ δὲ ἀγρευ-
θέντας μὲν εἶδον, φθεγγομένων δὲ ἤκουσα οὐδὲν
καταμείνας πρὸς τῷ ποταμῷ καὶ ἐς ἡλίου δυσμὰς,
ὅτε δὴ φθέγγεσθαι μάλιςα ἐλέγοντο οἱ ἰχθῦς. Τῇ 2
δὲ Κλειτορίων πόλει τὸ μὲν ὄνομα ἀπὸ τοῦ παιδὸς
ἐτέθη τοῦ Ἀζᾶνος, οἰκεῖται δ' ἐν ὁμαλῷ, κύκλῳ δὲ
ὄρη περιέχοντά ἐςιν οὐ μεγάλα. Κλειτορίοις δὲ ἱερὰ
τὰ ἐπιφανέςατα Δήμητρος, τό τε Ἀσκληπιοῦ, τρίτον
δέ ἐςιν Εἰλειθυίας. εἶναι * καὶ ἀριθμὸν ἐποίησεν
οὐδένα ἐπ' αὐτοῖς [2]). Λύκιος δὲ, ὃς ἦν ἀρχαιότερος τὴν
ἡλικίαν, Δήλιος, ὕμνους καὶ ἄλλοις ποιήσας, καὶ ἐς
Εἰλείθυιάν [3]) τε, εὔλινόν τε αὐτὴν ἀνακαλεῖ, δῆλον ὡς
τῇ Πεπρωμένῃ τὴν αὐτὴν [4]) καὶ Κρόνου πρεσβυτέραν



esset, quod, sicuti αὐλὸς, de *longo et angusto tractu* dicitur; vid. Hesych. et Suid. h. v.

2) Εἰλειθυίας. εἶναι * — ἐπ' αὐτοῖς] Male post εἶναι major distinctio vulgata fuit, quam, uti res ipsa exigebat, post Εἰλειθυίας reposui. Ceterum post εἶναι lacunam esse, jam *Amas.* asterisco notavit, et alii interpretes monuerunt. Illa vero hic excidisse, quibus Pausanias, Homerum plures Ilithyias memorasse (vide Iliad. λ. v. 270.), declaraverit, ideoque pro ἐπ' αὐτοῖς scribendum esse ἐπ' αὐταῖς, et *Kuhnio* et mihi admodum videtur probabile.

3) Λύκιος δὲ, ὃς ἦν ἀρχ. τ. ἡλ., Δήλιος, — καὶ ἐς Εἰλείθυιάν] Lycius, poëta Delius, nullibi memoratur; Olen vero, poëta Lycius, qui Deliis et in Ilithyiam hymnos composuit, satis est notus; vide Pauf. L. I. C. 18. §. 5. et ibi not. Quare *Kuhn.* ista recte ita emendanda censet: Λύκιος δὲ Ὠλὴν, ἀρχαιότερος τ. ἡλ., Δηλίοις ὕμνους etc.

4) δῆλον ὡς τῇ Πεπρωμένῃ τὴν αὐτὴν] *eandem esse cum Pepromene*, h. e. Μοῖρα. Similiter Pindar.

φησὶν εἶναι. Κλειτορίοις δὲ καὶ Διοσκούρων, καλουμένων δὲ θεῶν μεγάλων, ἐστὶν ἱερὸν, ὅσον τέσσαρα ἀπέχον στάδια ἀπὸ τῆς πόλεως, καὶ ἀγάλματά ἐστιν αὐτοῖς χαλκᾶ. Πεποίηται δὲ καὶ ἐπὶ ὄρους κορυφῆς [5]) σταδίοις τριάκοντα ἀπωτέρω τῆς πόλεως ναὸς καὶ ἄγαλμα Ἀθηνᾶς Κορίας [6]).

## CAPUT XXII.

De Stymphalo urbe — Stymphaliorum de Junone narratio — de Stymphali fonte et amne Stymphalo — volucribus Stymphalidibus — Diana Stymphalia et signis virginum cum avium cruribus — miraculo a Diana Stymphalia patrato.

Ἐπανάγει δὲ ὁ λόγος με ἐπὶ Στύμφηλον [1]) καὶ ἐπὶ τὸ Φενεατῶν καὶ Στυμφαλίων ὄρος τὸ ὀνομαζόμενον Γερόντειον [2]). Στυμφάλιοι δὲ τεταγμένοι μὲν οὐ μετὰ Ἀρκάδων ἔτι εἰσὶν, ἀλλ᾽ ἐς τὸ Ἀργολικὸν συντελοῦσι, μεταστάντες [3]) ἐς αὐτὸ ἐθελονταί· γένους δὲ εἶναι σφᾶς τοῦ Ἀρκάδων, τὰ ἔπη μαρτυρεῖ τὰ Ὁμήρου [4]), καὶ ὁ Στύμφαλος ὁ οἰκιστὴς ἀπόγονος ἦν τρίτος [5]) Ἀρκάδος

Pindar. Nem. Od. VII. v. 1. Ilithyiam dicit πάρεδρον Μοιρᾶν. Pro δῆλον Cod. Mosc. exhibet δηλῶν. Sic pro φησὶν scribendum esset φασίν.

5) κορυφῆς] Cod. Mosc. κεφαλῆς.

6) Ἀθηνᾶς Κορίας] Confer. Cicero de nat. Deor. L. III. s. 59.

1) Στύμφηλον] Variat huius nominis scriptura cum η et α, quod jam Scholia notant ad Homer. Iliad. β. v. 608.

2) ὄρος τὸ ὀν. Γερόντειον] De hoc vide supra Cap. 16. init.

3) μεταστάντες] Cod. Mosc. μεταναστάντες.

4) τὰ ἔπη μ. τὰ Ὁμήρου] Vid. Iliad. β. v. 608.

5) ἀπόγονος ἦν τρίτος] Forte vera lectio fuerit ἀπόγονος ὃς ἦν τρίτος.

κάδος τοῦ Καλλιςοῦς. λέγεται δὲ ἐξ ἀρχῆς ἑτέρωθι οἰκισθῆναι τῆς χώρας, καὶ οὐκ ἐς τὴν ἐφ' ἡμῶν πόλιν. Ἐν δὲ τῇ Στυμφάλῳ τῇ ἀρχαίᾳ Τήμενόν φασιν οἰκῆσαι τὸν Πελασγοῦ, καὶ Ἥραν ὑπὸ τοῦ Τημένου τραφῆναι τούτου, καὶ αὐτὸν ἱερὰ τῇ θεῷ τρία ἱδρύσασθαι, καὶ ἐπικλήσεις τρεῖς ἐπ' αὐτῇ θέσθαι, παρθένῳ μὲν ἔτι οὔσῃ Παιδί· γημαμένην δὲ ἔτι τῷ Διῒ, ἐκάλεσεν αὐτὴν Τελείαν· διενεχθεῖσαν δὲ ἐφ' ὅτῳ δὴ ἐς τὸν Δία, καὶ ἐπανήκουσαν ἐς τὴν Στύμφαλον, ὠνόμασεν ὁ Τήμενος Χήραν. τάδε μὲν ὑπὸ Στυμφαλίων λεγόμενα οἶδα ἐς τὴν θεόν. Ἡ δὲ ἐφ' ἡμῶν πόλις τῶν μὲν εἰρημένων οὐδὲν, ἄλλα δὲ εἶχε τοσάδε. ἔςιν ἐν τῇ Στυμφαλίων πηγὴ, καὶ ἀπὸ ταύτης ὕδωρ βασιλεὺς Ἀδριανὸς Κορινθίοις ἤγαγεν ἐς τὴν πόλιν [6]). ἐν δὲ τῇ Στυμφάλῳ χειμῶνος μὲν ὥρᾳ λίμνην τε οὐ μεγάλην ἡ πηγὴ, καὶ ἀπ' αὐτῆς ποταμὸν ποιεῖ τὸν Στύμφαλον· ἐν θέρει δὲ προςλιμνάζει μὲν οὐδὲν ἔτι, ποταμὸς δὲ αὐτίκα ἐςὶν ἀπὸ τῆς πηγῆς. οὗτος ἐς χάσμα γῆς κάτεισιν ὁ ποταμὸς, ἀναφαινόμενος δὲ αὖθις ἐν τῇ Ἀργολίδι μεταβάλλει τὸ ὄνομα, καὶ αὐτὸν ἀντὶ Στυμφάλου καλοῦσιν Ἐρασῖνον [7]). Ἐπὶ δὲ τῷ ὕδατι τῷ ἐν Στυμφάλῳ κατέχει λόγος ὄρνιθάς ποτε ἀνδροφάγους ἐπ' αὐτῷ τραφῆναι· ταύτας κατατοξεῦσαι τὰς ὄρνιθας Ἡρακλῆς λέγεται. Πείσανδρος δὲ αὐτὸν ὁ Καμιρεὺς [8]) ἀποκτεῖναι τὰς ὄρνιθας οὔ φησιν, ἀλλὰ ὡς ψόφῳ κροτάλων ἐκδιώξειεν αὐτάς. γῆς

Margin numbers: 2 (beside line "Ἐν δὲ τῇ Στυμφάλῳ…"), 3 (beside "λεγόμενα οἶδα…"), 4 (beside "αὐτὸν ἀντὶ Στυμφάλου…").

6) καὶ ἀπὸ ταύτης — πόλιν] Hoc jam fupra tetigit Paufan. L. II. C. 3. §. 5.

7) οὗτος ἐς χάσμα — Ἐρασῖνον] Idem legitur in Strabone L. VIII. p. 570. A.

8) Πείσανδρος — ὁ Καμ.] De hoc vide fupra not. 9. ad L. II. C. 37. Utramque narrationem junctim fecutus eft Strabo L. VIII. p. 570. A.

γῆς δὲ τῆς Ἀράβων ἡ ἔρημος παρέχεται καὶ ἄλλα θηρία, καὶ ὄρνιθας καλουμένας Στυμφαλίδας, λεόντων καὶ παρδάλεων οὐδέν τι ἡμερωτέρας ἀνθρώποις. αὗται τοῖς ἐπὶ ἄγραν αὐτῶν ἀφικνουμένοις ἐπιπέτονται, καὶ τιτρώσκουσί τε τοῖς ῥάμφεσι καὶ ἀποκτείνουσιν. ὅσα μὲν δὴ χαλκοῦ καὶ σιδήρου φοροῦσιν οἱ ἄνθρωποι, διατρυπῶσιν αἱ ὄρνιθες· ἣν δὲ ἐσθῆτα φλοΐνην παχεῖαν πλέξωνται, τὰ ῥάμφη τῶν Στυμφαλίδων ὑπὸ τῆς ἐσθῆτος ἔχεται τῆς φλοΐνης, καθὰ καὶ πτέρυγες ὀρνίθων τῶν μικρῶν προσέχονται τῷ ἰξῷ. αὗται μέγεθος μὲν κατὰ γέρανόν εἰσιν αἱ ὄρνιθες, ἐοίκασι δὲ ἴβεσι, ῥάμφη δὲ ἀλκιμώτερα φέρουσι, καὶ οὐ σκολιὰ, ὥςπερ αἱ ἴβεις. εἰ μὲν δὴ καὶ ὡς κατ' ἐμὲ ὄρνιθες αἱ Ἀράβιοι τῶν ἐν Ἀρκαδίᾳ ποτὲ ὀρνίθων τὸ ὄνομα, εἶδος δὲ οὐ τὸ αὐτὸ ἐκείναις ἔχουσιν, οὐκ οἶδα· εἰ δὲ τὸν πάντα αἰῶνα κατὰ τὰ αὐτὰ ἱέραξι καὶ ἀετοῖς καὶ Στυμφαλίδες εἰσὶν ὄρνιθες, Ἀράβιόν τε εἶναί μοι θρέμμα αἱ ὄρνιθες αὗται φαίνονται, καὶ δύναιτο ἂν πετομένη ποτὲ μοῖρα ἐξ αὐτῶν ἐς Ἀρκαδίαν ἀφικέσθαι ἐπὶ Στύμφαλον. ὑπὸ μὲν δὴ τῶν Ἀράβων ἄλλο τι [9]) ἐξ ἀρχῆς καλοῖντο ἂν, καὶ οὐ Στυμφαλίδες· τοῦ Ἡρακλέους δὲ ἡ δόξα, καὶ τὸ Ἑλληνικὸν πρὸ τοῦ Βαρβαρικοῦ τετιμημένον ἐξενίκησεν, ὡς καὶ τὰς ἐν τῇ ἐρήμῳ τῇ Ἀράβων Στυμφαλί-
5 δας ἐπὶ ἡμῶν ὀνομάζεσθαι. Ἐν Στυμφάλῳ δὲ καὶ ἱερὸν Ἀρτέμιδός ἐςιν ἀρχαῖον Στυμφαλίας· τὸ δὲ ἄγαλμα ξόανόν ἐςι τὰ πολλὰ ἐπίχρυσον. πρὸς δὲ τοῦ ναοῦ τῷ ὀρόφῳ πεποιημέναι καὶ αἱ Στυμφαλίδες εἰσὶν ὄρνιθες· σαφῶς μὲν οὖν χαλεπὸν ἦν διαγνῶναι, πότερον ξύλου ποίημα ἦν, ἢ γύψου· τεκμαιρομένοις δὲ

9) ἄλλο τι] Cod. Mosc. ἄλλο που.

δὲ ἡμῖν ἐφαίνετο εἶναι ξύλου μᾶλλον ἢ γύψου. εἰσὶ δὲ αὐτόθι καὶ παρθένοι λίθου λευκοῦ, σκέλη δέ σφισιν ἐστὶν ὀρνίθων, ἑστᾶσι δὲ ὄπισθεν τοῦ ναοῦ.
Λέγεται δὲ καὶ ἐφ' ἡμῶν γενέσθαι θαῦμα τοιόνδε. 6
ἐν Στυμφάλῳ τῆς Ἀρτέμιδος τῆς Στυμφαλίας τὴν ἑορτὴν κατά τε ἄλλα ἦγον οὐ σπουδῇ, καὶ τὰ ἐς αὐτὴν καθεστηκότα ὑπερέβαινον τὰ πολλά. ἐσπεσοῦσα οὖν ὕλη [10]) κατὰ τοῦ βαράθρου τὸ στόμα, ᾗ κάτεισιν ὁ ποταμὸς, ὅς ἐστιν ὁ Στύμφαλος, ἀνεῖργε μὴ καταδύεσθαι τὸ ὕδωρ, λίμνην τε ὅσον ἐπὶ τετρακοσίους σταδίους τὸ πεδίον σφίσι γενέσθαι λέγουσι. Φασὶ δὲ, ἕπεσθαι θηρευτὴν ἄνδρα ἐλάφῳ φευγούσῃ, καὶ τὴν μὲν ἐς τὸ τέλμα ἵεσθαι, τὸν δὲ ἄνδρα τὸν θηρευτὴν ἐπακολουθοῦντα ὑπὸ τοῦ θυμοῦ κατόπιν τῆς ἐλάφου νήχεσθαι· καὶ οὕτω τὸ βάραθρον τήν τε ἔλαφον, καὶ ἐπ' αὐτῇ τὸν ἄνδρα ὑπεδέξατο· τούτοις δὲ τοῦ ποταμοῦ τὸ ὕδωρ ἐπακολουθῆσαί φασιν, ὥστε ἐς ἡμέραν Στυμφαλίοις ἐξήραντο [11]) ἅπαν τοῦ πεδίου τὸ λιμνάζον· καὶ ἀπὸ τούτου τῇ Ἀρτέμιδι τὴν ἑορτὴν φιλοτιμίᾳ πλέον ἄγουσι [12]).

10) ὕλη] *ligna*, seu *frutices*, *stirpes*. Amas. male legisse videtur λίμνη, interpretatus *lacus corruit*. Mox pro ὁ ποταμὸς, ὅς ἐστιν ὁ Στυμφ. mallem, deletis vocibus ὅς ἐστιν, scribere ὁ ποταμὸς ὁ Στύμφαλος.

11) ἐξήραντο] Numerus pluralis hic prorsus alienus est. Scribendum esse ἐξηράνθη, persuasum habeo.

12) φιλοτιμίᾳ πλέον ἄγουσι] *Kuhn.* non temere πλέονι emendandum esse censet.

CAPUT

## CAPUT XXIII.

De Alea urbe, Bacchi festo Scieria dicto et feminas flagellandi ritu — fluvio Trago — Caphyensium urbe, monte Cnacalo et fonte Menelaïde — arboribus vetustate insignibus — vico Condylea et Dianae cognominis Apanchomenes origine — Sorone querceto, Arcadiae feris et Siris inter Clitorios et Psophidios finibus.

Μετὰ δὲ Στύμφαλόν ἐστιν Ἀλέα, συνεδρίου μὲν τοῦ Ἀργολικοῦ μετέχουσα καὶ αὐτή· Ἀλεὸν δὲ τὸν Ἀφείδαντος γενέσθαι σφίσιν ἀποφαίνουσιν οἰκιστήν. θεῶν δὲ ἱερὰ αὐτόθι Ἀρτέμιδός ἐστιν Ἐφεσίας, καὶ Ἀθηνᾶς Ἀλέας, καὶ Διονύσου ναὸς καὶ ἄγαλμα. τούτῳ παρὰ ἔτος Σκιερίαν ἑορτὴν ἄγουσι, καὶ ἐν Διονύσου τῇ ἑορτῇ κατὰ μάντευμα ἐκ Δελφῶν, μαστιγοῦνται γυναῖκες, καθὰ καὶ οἱ Σπαρτιατῶν ἔφηβοι παρὰ τῇ
2 Ὀρθίᾳ. Ἐδήλωσα δὲ ἐν τῷ λόγῳ τῷ ἐς Ὀρχομενίους[1]), ὡς πρῶτα μὲν παρὰ τὴν χαράδραν ἐστὶν εὐθεῖα, τὸ ἀπὸ τούτου δὲ ἐν ἀριστερᾷ τοῦ ὕδατος[2]) τοῦ λιμνάζοντος. ἐν δὲ τῷ πεδίῳ τῷ Καφυῶν πεποίηται τῆς γῆς χῶμα, δι' οὗ ἀπείργεται τὸ ὕδωρ τὸ ἐκ τῆς Ὀρχομενίας μὴ εἶναι Καφυέων βλάβος τῇ ἐνέργῳ[3]). κατὰ δὲ τὸ ἐντὸς τοῦ χώματος ἔξεισιν ὕδωρ ἄλλο, πλήθει μὲν ὅσον τε εἶναι ποταμὸν, κατερχόμενον δὲ ἐς χάσμα

1) Ἐδήλωσα — Ὀρχομενίους] Vide supra C. 13.

2) ἐστὶν εὐθεῖα, τὸ ἀπὸ τούτου δὲ ἐν ἀριστερᾷ τοῦ ὕδ.] Mallem ἐστὶν ἡ εὐθεῖα, uti supra. Reliqua explicantur supra C. 13. ita enunciatis: καὶ μετὰ ταύτην (χάραδραν) ἐν ἀριστερᾷ παρὰ τὸ ὕδωρ τὸ λιμνάζον.

3) ἐνέργῳ] Cum *Kuhnio* ita rescripsi pro mendose vulgata ἐν ἔργῳ. *Terra, quae colitur, terra culta* dicitur ἔνεργος, sc. γῆ, cui opponitur ἀργός.

χάσμα γῆς ἄνεισιν αὖθις παρὰ Νάσους καλουμέ-
νας· τὸ δὲ χωρίον, ἔνθα ἄνεισιν, ὀνομάζεται Ῥεῦνος·
ἀνατείλαντος δὲ ἐνταῦθα τὸ ὕδωρ τὸ ἀπὸ τούτου
παρέχεται ποταμὸν ἀέναον Τράγον. Τὸ δὲ ὄνομά 3
ἐςι μὲν δῆλον ἀπὸ ΚηΦέως τοῦ Ἀλεοῦ τῇ πόλει γεγο-
νός· ὀνομάζεσθαι δὲ αὐτὴν Φωνῇ τῇ Ἀρκάδων Κα-
Φυὰς ἐκνενίκηκε. Φασὶ δὲ οἱ ΚαΦυεῖς τὰ ἄνωθεν ἐκ
τῆς Ἀττικῆς εἶναι χώρας, ἐκβληθέντες δὲ ὑπὸ Αἰγέως
ἐξ Ἀθηνῶν ἐς Ἀρκαδίαν Φυγεῖν, καὶ ἱκέται γενόμενοι
ΚηΦέως οἰκῆσαι ἐνταῦθα. τὸ μὲν δὴ πόλισμα ἐπὶ
τοῦ πεδίου τῷ πέρατι ὀρῶν οὐκ ἄγαν ὑψηλῶν παρὰ
τοῖς ποσίν ἐςι. ΚαΦυάταις δὲ ἱερὰ θεῶν Ποσειδῶ-
νός ἐςι καὶ ἐπίκλησιν Κνακαλησίας Ἀρτέμιδος. ἔςι
δὲ αὐτοῖς καὶ ὄρος Κνάκαλος, ἔνθα ἐπέτειον τελετὴν
ἄγουσι τῇ Ἀρτέμιδι. ὀλίγον δὲ ὑπὲρ τὴν πόλιν πηγή
τέ ἐςι, καὶ ἐπὶ τῇ πηγῇ πλάτανος μεγάλη καὶ εὐειδὴς
πέΦυκε· καλοῦσι δὲ αὐτὴν Μενελαΐδα· Μενέλαον
γὰρ ςρατὸν ἀθροίζοντα ἐς Τροίαν ἀΦικέσθαι τε ἐν-
ταῦθα καὶ ἐπὶ τῇ πηγῇ τὴν πλάτανον Φυτεῦσαι λέ-
γοντες· ἐΦ' ἡμῶν δὲ καὶ τὴν πηγὴν κατὰ ταυτὰ τῇ
πλατάνῳ καλοῦσι Μενελαΐδα. Εἰ δὲ Ἑλλήνων τοῖς 4
λόγοις ἑπόμενον καταριθμήσασθαι δεῖ με, ὁπόσα
δένδρα σῶα ἔτι καὶ τεθηλότα λείπεται, πρεσβύτατον
μὲν ἡ λύγος ἐςὶν αὐτῶν, ἡ ἐν τῷ Σαμίων πεΦυκυῖα
ἱερῷ Ἡραίῳ [4])· μετὰ δὲ αὐτὴν ἡ ἐν Δωδώνῃ δρῦς,
καὶ ἐλαία τε ἡ ἐν Ἀκροπόλει, καὶ ἡ παρὰ Δηλίοις [5])·
τρίτα

4) ἡ λύγος — ἱερῷ Ἡραίῳ] De quo vide Pausan. L. VII. C. 4., ex quo loco, nec non ex *Amasaei* interpretatione ac *Camerarii* lectione restitui Ἡραίῳ pro mendose vulgato ἡρωϊ.

5) ἡ παρὰ Δηλίοις] scil. ἐλαία. De oliva in Delo vide Aelian. V. H L. V. C. 4 et Hygin. fab. 140. ibique interpret. *Amas.* palmam Deliacam intelligit, de qua vidend. Homer. Odyss. ζ. v. 162. 163., Paus. L. VIII. C. 48. et alii.

τρίτα δὲ ἕνεκα ἀρχαιότητος νέμοιεν ἂν τῇ δάφνῃ τῇ
παρά σφισιν οἱ Σύριοι· τῶν δὲ ἄλλων ἡ πλάτανός
5 ἐστιν αὕτη παλαιότατον. Καφυῶν δὲ ἀφέστηκεν ὅσον
στάδιον Κονδύλεα[6]) χωρίον, καὶ Ἀρτέμιδος ἄλσος·
καὶ ναός ἐστιν ἐνταῦθα καλουμένης Κονδυλεάτιδος τὸ
ἀρχαῖον· μετονομασθῆναι δὲ ἐπὶ αἰτίᾳ τὴν θεόν φασι
τοιαύτῃ. παιδία περὶ τὸ ἱερὸν παίζοντα (ἀριθμὸν
δὲ αὐτῶν οὐ μνημονεύουσιν) ἐπέτυχε καλῳδίῳ· δή-
σαντα δὲ τὸ καλῴδιον τοῦ ἀγάλματος περὶ τὸν τρά-
χηλον, ἐπέλεγον, ὡς ἀπάγχοιτο ἡ Ἄρτεμις. Φωρά-
σαντες δὲ οἱ Καφυεῖς τὰ ποιηθέντα ὑπὸ τῶν παίδων,
καταλεύουσιν αὐτά· καί σφισι ταῦτα ἐργασαμένοις,
ἐπέπεσεν[7]) ἐς τὰς γυναῖκας νόσος, τὰ ἐν τῇ γαστρὶ
πρὸ τοκετοῦ τεθνεῶτα ἐκβάλλεσθαι, ἐς ὃ ἡ Πυθία
θάψαι τε τὰ παιδία ἀνεῖπε, καὶ ἐναγίζειν αὐτοῖς
κατὰ ἔτος· ἀποθανεῖν γὰρ αὐτὰ οὐ σὺν δίκῃ. Κα-
φυεῖς δὲ ποιοῦσι τά τε ἄλλα καὶ ἔτι καὶ νῦν κατ'
ἐκεῖνο τὸ μάντευμα, καὶ τὴν ἐν ταῖς Κονδυλέαις θεὰν[8])
(προσεῖναι γὰρ καὶ τόδε ἐπὶ τῷ χρησμῷ φασι) κα-
6 λοῦσιν Ἀπαγχομένην ἐξ ἐκείνου. Ἀνελθὼν δὲ ἐκ
Καφυῶν ὅσον σταδίους ἑπτὰ, ἐπὶ Νάσους καλουμένας
καταβήσῃ· πεντήκοντα δὲ προελθόντι αὐτόθι στα-
δίους ἐστὶν ὁ Λάδων. διαβήσῃ τε δὴ τὸν ποταμὸν,
καὶ ἐπὶ δρυμὸν ἀφίξῃ Σόρωνα, διά τε Ἀργεαθῶν
καὶ Λυκούντων καλουμένων καὶ Σκοτάνης· ἄγει μὲν
δὴ ὁ Σόρων τὴν ἐπὶ Ψωφῖδος. Θηρία δὲ οὗτός τε καὶ
ὅσοι δρυμοὶ τοῖς Ἀρκάσιν εἰσὶν ἄλλοι, παρέχονται
τοσάδε· ἀγρίους ὗς, καὶ ἄρκτους, καὶ χελώνας με-
γίστας

6) Κονδύλεα] Rectius esse videtur Κονδυλέαι. Sic enim paullo infra ἐν ταῖς Κονδυλέαις.

7) ἐπέπεσεν] Dedi pro vitiose vulgato ἐπιέπεσεν. Cod. Mosc. exhibet ἔπεσεν.

8) θεὰν] Cod. Mosc. θεόν.

γίςας μεγέθει· λύρας ἂν ποιήσαιο ἐξ αὐτῶν χελώνης Ἰνδικῆς λύρᾳ παρισουμένας. τοῦ Σόρωνος δὲ πρὸς τοῖς πέρασιν ἔςι μὲν Πάου κώμης ἐρείπια· εἰσὶ δὲ οὐ πολὺ ἀπωτέρω καλούμεναι Σειραί· ὅροι δὲ Κλειτορίοις τῆς χώρας πρὸς Ψωφιδίους εἰσὶν αἱ Σειραί.

## CAPUT XXIV.

De Psophide urbe ejusque conditore — Psophide, Zacynthiorum arce, fluviis Aroanio et Erymantho, monte Lampea atque apro Erymanthio — memorandis urbis Psophidis, templo Veneris Erycinae — Alcmaeone, Amphiarai filio, et Eriphyles monili — insulis Echinadibus — Erymanthi fluvii templo et signo, ac Nili signis e nigro lapide — de Aglai Psophidii felicitate narratio.

Ψωφῖδος δὲ οἱ μὲν φασιν οἰκιςὴν γενέσθαι Ψωφῖδα τὸν Ἄρρωνος τοῦ Ἐρυμάνθου τοῦ Ἀρίςα τοῦ Παρθάονος τοῦ Περιφήτου τοῦ Νυκτίμου [1])· τοῖς δέ ἐςιν εἰρημένα, θυγατέρα Ψωφῖδα εἶναι Ξάνθου τοῦ Ἐρυμάνθου τοῦ Ἀρκάδος. τὰ μὲν οὖν κατὰ τὴν Ἀρκάδων ἐς τοὺς βασιλέας ἔχει μνήμην [2])· ὁ δὲ ἀληθέςατος τῶν λόγων ἐςὶν, Ἔρυκος [3]) τοῦ ἐν Σικανίᾳ δυναςεύσαντος

1) Νυκτίμου] Cod. Mosc. Φρουνίμου.

2) τὰ μὲν οὖν — μνήμην] *sic se habent, quae Arcades de regibus suis memoriae prodiderunt.* Sed Cod. Mosc. exhibet τὰ μὲν οὖν εὐ etc.

3) Ἔρυκος] Aldin., Amas., Stephan. Niger et Cod. Mosc. exhibent Ἔρωτος, pro quo *Hartungus* ex conjectura reposuit Ἔρυκος, quod etiam Stephan. Byzant. habet v. Ψωφίς.

σαντος παῖδα εἶναι τὴν Ψωφῖδα· ἣν ἐς τὸν οἶκον οὐκ ἠξίου ἄγειν, καταλείπει [4]) δὲ ἔχουσαν ἐν τῇ γαστρὶ παρὰ Λυκόρτᾳ, ξένῳ μὲν ὄντι αὐτοῦ, παροικοῦντι δὲ ἐν πόλει Φηγίᾳ, πρὸ δὲ τοῦ Φηγέως τῆς βασιλείας Ἐρυμάνθῳ καλουμένῃ [5]). ἐπιτραφέντες δὲ αὐτόθι Ἐχέφρων καὶ Πρόμαχος Ἡρακλέους τε ὄντες καὶ τῆς γυναικὸς τῆς Σικανῆς, μετέθεντο τῇ Φηγίᾳ τὸ ὄνομα
2 Ψωφῖδα ἀπὸ τῆς μητρός. Ἔστι δὲ καὶ Ζακυνθίων τῇ ἀκροπόλει Ψωφὶς ὄνομα, ὅτι ναυσὶν ἐς τὴν νῆσον ἐπεραιώθη πρῶτος, καὶ ἐγένετο οἰκιστὴς ἀνὴρ Ψωφίδιος, Ζάκυνθός γε ὁ Δαρδάνου. Σιραίων [6]) μὲν δὴ σταδίοις ἐστὶν ἀπωτέρω τριάκοντα ἡ Ψωφίς· παρὰ δὲ αὐτὴν ὅ τε Ἀροάνιος ποταμὸς, καὶ ὀλίγον ἀπωτέρω τῆς πόλεως Ἐρύμανθος ῥέουσιν. ἔχει δὲ τὰς πηγὰς ὁ Ἐρύμανθος ἐν ὄρει Λαμπείᾳ· τὸ δὲ ὄρος τοῦτο ἱερὸν εἶναι Πανὸς λέγεται· εἴη δ᾽ ἂν τοῦ ὄρους τοῦ Ἐρυμάνθου μοῖρα ἡ Λάμπεια. ἐποίησε δὲ Ὅμηρος, ὡς ἐν Ταϋγέτῳ τε καὶ Ἐρυμάνθῳ θηρευτὴς ἦν τῆς Λαμπείας ὁ Ἐρύμανθος [7]), καὶ Ἀρκαδίαν διεξελθὼν, ἐν δεξιᾷ μὲν

τὸ

4) ἣν — ἄγειν, καταλείπει] Ad Erycem patrem hoc vulgo refertur. Sed Palmer. Exercit. p. 418. post ἄγειν excidisse Ἡρακλῆς haud absurde conjecit.

5) Φηγίᾳ, — καλουμένῃ] In Stephano Byz., qui eadem habet, legitur Φήγεια.

6) Σιραίων] Forte Σειρῶν scribendum sit ex Cap. praecedentis fine.

7) ἐποίησε δὲ Ὅμηρος, ὡς — θηρευτὴς ἦν — ὁ Ἐρ.] En locum mutilum et morbosum! De Erymantho venatore seu amatore Lampiae nil habet Homerus, sed Dianam in Taygeto et Erymantho feras sectari memorat Odyss. ζ. v. 102. 103. Inde quaedam excidisse facile patet, et *Kuhn.* illa ita restituenda censet: ἐπ. δὲ Ὅμ., ὡς ἐν Ταϋγ. τε καὶ Ἐρ. θήρα τις ἦν. ἐκ τῆς Λαμπείας ὁ Ἐρ. Ἀρκαδίαν διεξ. etc. At cum Cod. Mosc. ὡς omittat et pro ἦν exhibeat οὖν, mallem lacunam statuere post Ἐρυμάνθῳ, et reliqua sic emendata legere: ῥεῖ οὖν ἐκ τῆς Λαμπείας ὁ Ἐρύμανθος etc.

τὸ ὄρος ἔχων τὴν Φολόην, ἐν ἀριϛερᾷ δὲ πάλιν
Θέλπουσαν[8]) χώραν, κάτεισιν ἐς τὸν Ἀλφειόν.
λέγεται δὲ, ὡς Ἡρακλῆς κατὰ πρόϛαγμα Εὐρυ-
σθέως παρὰ τῷ Ἐρυμάνθῳ θηράσειεν ὗν μεγέθει
καὶ ἀλκῇ τοὺς ἄλλους ὑπερηρκότα. Κυμαῖοι δὲ οἱ ἐν
Ὀπικοῖς συὸς ὀδόντας ἀνακειμένους παρὰ σφίσιν ἐν
Ἀπόλλωνος ἱερῷ λόγῳ μὲν λέγουσιν, ὡς οἱ ὀδόντες
ὑὸς εἶεν τοῦ Ἐρυμανθίου· τῷ λόγῳ δὲ αὐτῶν οὐδ'
ἐπ' ὀλίγον μέτεϛι τοῦ εἰκότος. Ψωφιδίοις δὲ ἐν 3
τῇ πόλει, τοῦτο μὲν Ἀφροδίτης ἱερὸν Ἐρυκίνης[9]) ἐϛὶν
ἐπίκλησιν, ἧς ἐρείπια ἐφ' ἡμῶν ἐλείπετο αὐτοῦ
μόνα· ἐλέγετο δὲ τὴν Ψωφῖδα Ἔρυκος αὐτὰ ἱδρύσα-
σθαι παῖδα· καὶ ἐν τῷ λόγῳ τὸ εἰκὸς πρόσεϛι[10]).
ἔϛι γὰρ καὶ ἐν Σικελίᾳ τῆς Ἐρυκίνης ἱερὸν ἐν τῇ χώρᾳ
τῇ Ἔρυκος, ἁγιώτατόν τε ἐκ παλαιοτάτου καὶ οὐκ
ἀποδέον πλούτῳ τοῦ ἱεροῦ τοῦ ἐν Πάφῳ. Προμάχου
δὲ καὶ Ἐχέφρονος τῶν Ψωφῖδος οὐκ ἐπιφανῆ κατ' ἐμὲ
ἔτι ἦν τὰ ἡρῷα. Τέθαπται δὲ καὶ Ἀλκμαίων ἐν 4
Ψωφῖδι ὁ Ἀμφιαράου, καί οἱ τὸ μνῆμά ἐϛιν οἴκημα
οὔτε μεγέθει, οὔτε ἄλλως κεκοσμημένον· περὶ δὲ
αὐτὸ κυπάρισσοι πεφύκασιν ἐς τοσοῦτον ὕψος ἀνή-
κουσαι, ὥϛτε καὶ τὸ ὄρος τὸ πρὸς τῇ Ψωφῖδι κατ-

 εσκιά-

8) Θέλπουσαν] Vide C. 25. et ibi not.

9) τοῦτο μὲν Ἀφρ. ἱερὸν Ἐρ.] Amas. interpretatur: *templa duo, Veneris Eryc. cognomento alterum*, et sequens αὐτά, duo templa memorata fuisse, innuere videtur. Inde *Kuhn.* emendat τοῦτο μὲν Ἀφρ. ἱερὸν, τοῦτο δὲ Ἐρυκίνης. Equidem de uno tantum templo Pausaniam loqui censeo, et αὐτὰ mutandum esse cum αὐτό. Insolentius quoque dictum ἧς (scil. Ἀφροδίτης) ἐρείπια, pro οὗ (sc. ἱεροῦ) ἐρείπια.

10) καὶ ἐν τῷ λ. — πρόσεϛι] Tollendum esse ἐν, cum rei criticae ratio, tum constans verbi πρόσεϛι constructio cum dativo satis declarat.

εσκιάζετο ὑπ' αὐτῶν. ταύτας οὐκ ἐθέλουσιν ἐκκόπτειν ἱερὰς τοῦ Ἀλκμαίωνος νομίζοντες· καλοῦνται δὲ ὑπὸ τῶν ἐπιχωρίων παρθένοι [11]). Ὁ δὲ Ἀλκμαίων ἡνίκα τὴν μητέρα ἀποκτείνας ἔφυγεν ἐξ Ἄργους, τότε εἰς τὴν Ψωφῖδα ἐλθὼν, Φηγίαν ἔτι ἀπὸ τοῦ Φηγέως ὀνομαζομένην, συνῴκησεν Ἀλφεσιβοίᾳ τῇ Φηγέως θυγατρὶ, καὶ αὐτῇ δῶρα (ὡς τὸ εἰκὸς) καὶ ἄλλα καὶ τὸν ὅρμον δίδωσιν. ὡς δὲ οἰκοῦντι αὐτῷ παρὰ τοῖς Ἀρκάσιν οὐδὲν ἐγίνετο ἡ νόσος ῥᾷον [12]), κατέφυγεν ἐπὶ τὸ μαντεῖον τὸ ἐν Δελφοῖς. καὶ αὐτὸν ἡ Πυθία διδάσκει τὸν Ἐριφύλης ἀλάστορα ἐς ταύτην οἱ χώραν οὐ συνακολουθήσειν, ἥτις ἐστὶ νεωτάτη, καὶ ἡ θάλασσα τοῦ μητρῴου μιάσματος ἀνέφηνεν ὕστερον αὐτήν. καὶ ὁ μὲν ἐξευρὼν τοῦ Ἀχελώου τὴν πρόσχωσιν [13]), ἐνταῦθα ᾤκησε καὶ γυναῖκα ἔσχε Καλλιρόην τοῦ Ἀχελώου θυγατέρα λόγῳ τῷ Ἀκαρνάνων· καί οἱ παῖδες Ἀκαρνάν τε καὶ Ἀμφότερος ἐγένοντο. ἀπὸ δὲ τοῦ Ἀκαρνᾶνος τοῖς ἐν τῇ ἠπείρῳ ταύτῃ τὸ ὄνομα τὸ νῦν γενέσθαι λέγουσι τὰ πρὸ τοῦ [14]) Κούρησι καλουμένοις. ἐς ἐπιθυμίας δὲ ἀνοήτους πολλοὶ μὲν ἄνδρες, γυναῖκες δὲ πλέον ἐξοκέλλουσιν. ἐπεθύμησεν ἡ Καλλιρόη τῆς Ἐριφύλης οἱ γενέσθαι τὸν ὅρμον, καὶ δι' αὐτὸ ἐς τὴν Φηγίαν τὸν Ἀλκμαίωνα ἔστειλεν ἄκοντα, καὶ αὐτὸν ὑπὸ Φηγέως τῶν παίδων Τημένου καὶ Ἀξίονος δολοφονηθέντα ἐπέλαβεν ἡ τελευτή· τοῦ

Φηγέως

11) παρθένοι] *intactae*, *incaeduae*. Vid. Valken. ad Euripid. Hippol. v. 1005. et Ruhnk. V. C. ad Homeri Hymn. in Cer. v. 99.

12) ῥᾷον] *Sylburg.* mavult ῥᾴων.

13) τὴν πρόσχωσιν] Sic etiam Thucydid. L. II. ſ. 102. in fine. Apollodor. L. III. C. 7. §. 5. exhibet τὰς πηγάς.

14) τὰ πρὸ τοῦ] Mallem τὰ πρὸ τούτου.

Φηγέως δὲ οἱ παῖδες τῷ Ἀπόλλωνι ἀναθεῖναι [15]) τῷ
ἐν Δελφοῖς λέγονται τὸν ὅρμον. καὶ ἐπὶ τῶν βασι-
λευόντων ἐν Φηγίᾳ, τότε ἔτι καλουμένῃ τῇ πόλει Φηγίᾳ,
στρατεῦσαί φασιν Ἕλληνας ἐς Τροίαν· σφᾶς δὲ οἱ
Ψωφίδιοι τοῦ στόλου φασὶν οὐ μετασχεῖν, ὅτι αὐτῶν
τοῖς βασιλεῦσιν οἱ Ἀργείων ἀπηχθάνοντο ἡγεμόνες,
κατὰ γένος τε τῷ Ἀλκμαίωνι οἱ πολλοὶ προσήκον-
τες, καὶ τῆς ἐπιστρατείας αὐτῷ κοινωνήσαντες ἐς Θήβας.
Τὰς δὲ Ἐχινάδας νήσους ὑπὸ τοῦ Ἀχελώου μὴ σφᾶς 5
ἤπειρον ἄχρι ἡμῶν ἀπειργάσθαι, γέγονεν αἰτία τὸ
Αἰτωλῶν ἔθνος [16])· γεγόνασι δὲ αὐτοί τε ἀνάστατοι
καὶ ἡ γῆ σφίσι πᾶσα ἠρήμωται. ταῖς Ἐχινάσιν οὖν,
ἅτε ἀσπόρου μενούσης τῆς Αἰτωλίας, οὐχ ὁμοίως ὁ
Ἀχελῷος ἐπάγει τὴν ἰλύν. μαρτύριον δέ μοι τοῦ
λόγου· ὁ γὰρ Μαίανδρος διὰ τῆς Φρυγῶν καὶ Καρῶν
ἀρουμένης ἔτι ῥέων, τὴν μεταξὺ Πριήνης καὶ Μιλήτου
θάλασσαν ἐν οὐ πολλῷ χρόνῳ πεποίηκεν ἤπειρον.
Ψωφιδίοις δὲ καὶ παρὰ τῷ Ἐρυμάνθῳ ναός ἐστιν 6
Ἐρυμάνθου καὶ ἄγαλμα [17]). ποιεῖται δὲ πλὴν τοῦ
Αἰγυπτίου Νείλου ποταμοῖς τοῖς ἄλλοις λίθου λευκοῦ
τὰ ἀγάλματα· τῷ Νείλῳ δὲ, ἅτε διὰ τῆς Αἰθιόπων
κατιόντι ἐς θάλασσαν, μέλανος λίθου τὰ ἀγάλματα
ἐργάζεσθαι νομίζουσιν. Ὃν δὲ ἤκουσα ἐν Ψωφῖδι 7
ἐπὶ Ἀγλαῷ λόγον ἀνδρὶ Ψωφιδίῳ κατὰ Κροῖσον τὸν
Λυδὸν [18]), ὡς ὁ Ἀγλαὸς τὸν χρόνον τοῦ βίου πάντα



15) ἀναθεῖναι] Cod. Mosc. ἀναθῆναι.

16) Τὰς δὲ Ἐχινάδας — ἔθνος] De Echinadibus iisque, quae huc pertinent, vide Berkel. ad Stephan. Byz. v. Ἐχῖναι.

17) Ἐρυμάνθου καὶ ἄγαλμα] Hoc signum viri persona expressum fuisse, Aelian. refert V. H. L. II. C. 33., ubi plura de fluviorum imaginibus.

18) κατὰ Κροῖσον τὸν Λυδὸν] Amas. interpretatur: *sicuti et Croesum,*

γένοιτο εὐδαίμων, οὔ με ἔπειθεν ὁ λόγος. ἀλλὰ ἀνθρώπων μὲν τῶν ἐφ' ἑαυτοῦ κακὰ ἄν τις ἐλάσσονα ἀναδέξαιτο, καθὰ καὶ ναῦς ἧσσον ἂν χειμασθείη νεὼς ἄλλης· ἄνδρα δὲ συμφορῶν ἀεὶ ϛάντα ἐκτὸς ἢ τὰ πάντα οὐρίῳ ναῦν χρησαμένην πνεύματι οὐκ ἔϛιν ὅπως δυνησόμεθα ἐξευρεῖν. ἐπεὶ καὶ Ὅμηρος κατακείμενον παρὰ τῷ Διῒ ἀγαθῶν πίθον, τὸν δὲ ἕτερον κακῶν ἐποίησεν [19]), ὑπὸ τοῦ ἐν Δελφοῖς θεοῦ δεδιδαγμένος, ὃς αὐτόν ποτε Ὅμηρον κακοδαίμονά τε προσεῖπε καὶ ὄλβιον, ὡς φύντα ἐπὶ ἀμφοτέροις ὁμοίως.

*Croesum, Lydorum regem.* Mallem equidem κατὰ ad tempus declarandum referre, uti saepius a Pausania usurpatur: *tempore Croesi, Lydorum regis.* De Aglai felicitate vide Plin. H. N. L. VII. C. 46. et Valer. Max. L. VII. C. 1., quorum uterque a Gyge rege oraculum consultum esse memorat.

19) Ὅμηρος — ἐποίησεν] Vid. Iliad. ω. v. 527. sq. Oraculum Homero datum Pausan. exhibet L. X. C. 24. init. et auctor libell. de vita et poësi Homeri.

CAPUT

## CAPUT XXV.

Memoranda ad viam a Pſophide Thelpuſam verſus, Tropaea, Aphrodiſium — de urbe Thelpuſa, et fluvii Ladonis meatu ac memorandis ad illum — templo XII. deorum Thelpuſae et templo Cereris Erinnyos in Oncio — origine cognominum Cereris Erinnyos et Luſiae, ac Neptuni Hippii — Arione equo — de Trygone, Aeſculapii nutrice, narratio — de amne Tuthoa et inſulis Ladonis.

Ἐς δὲ Θέλπουσαν [1]) ἰόντι ἐκ Ψωφῖδος πρῶτα μὲν χωρίον Τρόπαιά ἐστιν ὀνομαζόμενον ἐν ἀριστερᾷ τοῦ Λάδωνος· Τροπαίων δὲ ἔχεται δρυμὸς Ἀφροδίσιον. τρητὰ δέ ἐστιν ἀρχαῖα ἐν στήλῃ γράμματα [2]), ὅροι Ψωφιδίοις πρὸς τὴν Θελπουσίαν χώραν. ἐν δὲ τῇ γῇ τῇ Θελπουσίᾳ ποταμός ἐστιν Ἄρσην καλούμενος. τοῦτον δὴ διαβήσῃ, καὶ ὅσον πέντε ἀπ᾽ αὐτοῦ σταδίους ἀφίξῃ καὶ εἴκοσι ἐπὶ ἐρείπια Καλοῦντος κώμης, ὃ καὶ ἱερὸν Ἀσκληπιοῦ καλοῦσι [3]) πεποιημένον ἐν τῇ ὁδῷ.

 Τοῦ

1) Θέλπουσαν] Stephan. Byz. Θάλπουσα et Τέλφουσσα habet et utramque urbem in Arcadia collocat, Τέλφουσσαν a Ladonis filia Τελφούσσῃ nomen accepiſſe affirmans. Inde *Sylb.* primum et verum nomen Θάλπουσα fuiſſe colligit, unde Θέλπουσα et Τέλφουσσα factum ſit.

2) τρητὰ — γράμματα] Amaſ. τρητὰ interpretatur *inciſae literae;* rectius Kuhn. *pertuſae literae, durchgebrochene Buchſtaben.* Mox pro Ψωφιδίοις Cod. Moſc. dat Ψωφῖδι.

3) ἐρείπια Καλοῦντος κώμης, ὃ καὶ ἱερὸν Ἀσκλ. καλοῦσι etc.] Cod. Caſaub., Hartung. et Amaſ. legunt Ἁλοῦντος, quod paullo infra ſequitur et *Kuhnio* probatur. Sed ad *Sylburgii* potius ſententiam accedendum puto, qui ex Stephano Byz. v. Καοῦς hunc Pauſaniae locum excitante Καοῦντος ſcribendum putat. In reliquis verba ὃ et καλοῦσι a ſententia aliena et corrupta eſſe, nemini non liquet. Scilicet ὃ vel tollendum, vel pro eo οὗ legendum eſt, quod *Kuhn.* jam vidit, ac porro Ἁλοῦσι emendavit pro καλοῦσι.

Equi-

2 Τοῦ δὲ ἱεροῦ τούτου σταδίους τεσσαράκοντα μάλιστα ἀφέστηκεν ἡ πόλις· τεθῆναι δὲ αὐτῇ ὄνομα ἀπὸ νύμφης λέγουσι Θελπούσης, ταύτην δὲ θυγατέρα εἶναι Λάδωνος. τῷ δὲ Λάδωνι ἄρχεται μὲν τὸ ὕδωρ ἐν πηγαῖς τῆς Κλειτορίας, καθὰ ὁ λόγος ἐδήλωσεν ἤδη μοι [4])· ῥεῖ δὲ πρῶτον μὲν παρὰ Λευκάσιον χωρίον καὶ Μεσοβόα, καὶ διὰ τῶν Νάσων, ἐπί τε Ὄρυγά τε καὶ Ἁλοῦντα ὀνομαζόμενον· ἐξ Ἁλοῦντος δὲ ἐπὶ Θαλιάδας γε καὶ ἐπὶ Δήμητρος ἱερὸν κάτεισιν Ἐλευσινίας. τὸ δὲ ἱερὸν τοῦτο, ἔστι μὲν Θελπουσίων ἐν ὅροις· ἀγάλματα δὲ ἐν αὐτῷ, ποδῶν ἑπτὰ οὐκ ἀποδέον ἕκαστον, Δήμητρος ἔστι τε ἡ παῖς καὶ [5]) ὁ Διόνυσος, τὰ πάντα ὁμοίως λίθου. μετὰ δὲ τῆς Ἐλευσινίας τὸ ἱερὸν καὶ Θέλπουσαν τὴν πόλιν ὁ Λάδων παρέξεισιν ἐν ἀριστερᾷ, κειμένην μὲν ἐπὶ λόφου μεγάλου, τὰ πλείω δὲ ἐφ' ἡμῶν ἔρημον· ὥστε καὶ τὴν ἀγορὰν ἐπὶ τῷ πέρατι οὖσάν φασιν ἐν τῷ μεσαιτάτῳ ποιηθῆναι τῷ ἐξ ἀρχῆς [6]).

3 Ἔστι δὲ ἐν Θελπούσῃ ναὸς Ἀσκληπιοῦ, καὶ θεῶν ἱερὸν τῶν δώδεκα· τούτου τὰ πολλὰ ἐς ἔδαφος ἔκειτο ἤδη. μετὰ δὲ Θέλπουσαν ἐπὶ τὸ ἱερὸν τῆς Δήμητρος ὁ Λάδων κάτεισι τὸ ἐν Ὀγκείῳ [7])· καλοῦσι δὲ Ἐριννῦν οἱ Θελπούσιοι

Equidem tamen pro καλοῦσι reſcribendum eſſe Καουσίου nullus dubito, quum Steph. l. c. hoc manifeſto declaret: ἐκεῖ γὰρ οὕτως Ἀσκληπιὸς ἐτιμᾶτο Καούσιος, ὡς Παυσανίας ὀγδόῳ.

4) καθὰ — ἤδη μοι.] Vide paullo ſupra C. 21.

5) Δήμητρος ἔστι τε ἡ παῖς καὶ] Cod. Moſc. Δήμητρ. ἔστι καὶ ἡ π. κ. *Sylb.* vero emendat: Δημήτηρ τε ἔστι καὶ Δήμητρος ἡ παῖς καὶ etc.

6) τῷ ἐξ ἀρχῆς] Ferri quidem poteſt τῷ, ſi ad μεσαιτάτῳ referre velis; rectius tamen videtur, cum *Sylburgio* ſcribere τὸ ἐξ ἀρχῆς, quod ſaepius in Pauſania pro ἐξ ἀρχῆς reperitur.

7) Ὀγκείῳ] Hic et in ſequentibus pro ι reſcripſi ει ex Cod. Moſc. et Stephano, qui Ὄγκειον ex Pauſania laudat.

πούσιοι τὴν θεόν· ὁμολογεῖ δέ σφισι καὶ Ἀντίμαχος [8]) ἐπιστρατείαν Ἀργείων ποιήσας ἐς Θήβας· καί οἱ τὸ ἔπος ἔχει·

Δήμητρος τόθι φασὶν Ἐριννύος εἶναι ἕδεθλον.

ὁ μὲν δὴ Ὄγκος [9]) Ἀπόλλωνός ἐστι κατὰ τὴν φήμην, καὶ ἐν τῇ Θελπουσίᾳ περὶ τὸ χωρίον ἐδυνάστευε τὸ Ὀγκεῖον. Τῇ θεῷ δὲ Ἐριννὺς γέγονεν ἐπίκλησις· 4
πλανωμένῃ γὰρ τῇ Δήμητρι, ἡνίκα τὴν παῖδα ἐζήτει, λέγουσιν ἕπεσθαί οἱ τὸν Ποσειδῶνα ἐπιθυμοῦντα αὐτῇ μιχθῆναι, καὶ τὴν μὲν ἐς ἵππον μεταβάλλουσαν ὁμοῦ ταῖς ἵπποις νέμεσθαι ταῖς Ὀγκείου· Ποσειδῶν δὲ συνίησιν ἀπατώμενος, καὶ συγγίνεται τῇ Δήμητρι, ἄρσενι ἵππῳ καὶ αὐτὸς εἰκασθείς· τὸ μὲν δὴ παραυτίκα τὴν Δήμητρα ἐπὶ τῷ συμβάντι ἔχειν ὀργίλως, χρόνῳ δὲ ὕστερον τοῦ τε θυμοῦ παύσασθαι, καὶ τῷ Λάδωνι ἐθελῆσαί φασιν αὐτὴν λούσασθαι. ἐπὶ τούτῳ καὶ ἐπικλήσεις τῇ θεῷ γεγόνασι, τοῦ μηνίματος εἵνεκα Ἐριννὺς, ὅτι τῷ θυμῷ χρῆσθαι καλοῦσιν ἐριννύειν οἱ Ἀρκάδες [10]), Λουσία δὲ ἐπὶ τῷ λούσασθαι τῷ Λάδωνι. τὰ δὲ ἀγάλματά ἐστι τὰ ναοῦ ξύλου, πρόσωπα [11]) δέ σφισι καὶ χεῖρες ἄκραι καὶ πόδες εἰσὶ Παρίου λίθου· τὸ μὲν δὴ τῆς Ἐριννύος,



8) Ἀντίμαχος] De hoc poëta Colophonio vide *Schellenberg* in editione Antimachi reliquiarum Halae 1786., ubi versus mox excitatus p. 64.

9) Ὄγκος] Pro vulgata absurda οἶκος *Palmer.* et *Kuhnio* ducibus reposui Ὄγκος ex Steph. Byz., in quo v. Ὀγκεῖον haec leguntur: ἀπὸ Ὄγκου δυναστεύσαντος, ὡς Παυσανίας ὀγδόῳ.

10) τῷ θυμῷ χρῆσθαι — Ἀρκάδες] Etymolog. M. p. 374. ἐριννύειν ab Arcadibus pro ὀργίζεσθαι dici notat.

11) πρόσωπα] Pro vulgata mutilata πρόσω illud restituendum esse, jam *Sylb.* et *Palmer.* notaverunt.

τήν τε κίστην καλουμένην[12]) ἔχει, καὶ ἐν τῇ δεξιᾷ δᾶδα· μέγεθος δὲ εἰκάζομεν ἐννέα εἶναι ποδῶν αὐτήν· ἡ Λουσία δὲ ποδῶν ἓξ ἐφαίνετο εἶναι. ὅσοι δὲ Θέμιδος, καὶ οὐ Δήμητρος τῆς Λουσίας, τὸ ἄγαλμα εἶναι νομίζουσι, μάταια ἴστωσαν ὑπειληφότες. Τὴν δὲ Δημήτερα τεκεῖν φασιν ἐκ τοῦ Ποσειδῶνος θυγατέρα, ἧς τὸ ὄνομα ἐς ἀτελέστους λέγειν οὐ νομίζουσι, καὶ ἵππον τὸν Ἀρίονα· ἐπὶ τούτῳ δὲ παρὰ σφίσιν Ἀρκάδων πρώτοις Ἵππειον Ποσειδῶνα ὀνομασθῆναι. ἐπάγονται δὲ ἐξ Ἰλιάδος ἔπη, καὶ ἐκ Θηβαΐδος μαρτυρίας σφίσιν εἶναι τῷ λόγῳ. ἐν μὲν Ἰλιάδι[13]) ἐς αὐτὸν Ἀρίονα πεποιῆσθαι·

Οὐδ' εἴκεν μετόπισθεν Ἀρίονα δῖον ἐλαύνειν
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν.

ἐν δὲ τῇ Θηβαΐδι[14]), ὡς Ἄδραστος ἔφευγεν ἐκ Θηβῶν·

Εἵματα λυγρὰ φέρων σὺν Ἀρίονι κυανοχαίτῃ.

αἰνίσσεσθαι οὖν ἐθέλουσι τὰ ἔπη, Ποσειδῶνα Ἀρίονι εἶναι πατέρα. Ἀντίμαχος δὲ παῖδα εἶναι γῆς φησιν·

Ἄδραστος Ταλαῶ υἱὸς Κρηθηϊάδαο
Πρώτιστος Δαναῶν περ ἐπαινετὼ ἤλασεν ἵππω,
Καιρόν τε κραιπνὸν καὶ Ἀρίονα Θελπουσαῖον·
Τόν ῥά τ' Ἀπόλλωνος σχεδὸν ἄλσεος Ὀγκαίοιο
Αὐτὴ γαῖ' ἀνέδωκε σέβας θνητοῖσιν ἰδέσθαι.

δύναιτο

12) τήν τε κίστην καλ.] De hac cista μυστικῇ vid. Clem. Alex. Admonit. ad gent. p. 14. A.

13) ἐν μὲν Ἰλιάδι] Vide Il. ψ. v. 346., unde pro ἐλαύνειν rescribendum est ἐλαύνοι.

14) ἐν δὲ τῇ Θηβαΐδι] scilicet Antimachi, de cujus versibus mox laudatis vide *Schellenberg* ad Antimachi reliqu. p. 65. 66. Pro Ἀρίονι Cod. Mosc. exhibet Ἀρείονι, quae rectior scriptura esse videtur docto reliquiar. editori l. c.

δύναιτο δὲ καὶ ἀναφύντι ἐκ γῆς τῷ ἵππῳ ἐκ θεοῦ τε
εἶναι τὸ γένος, καὶ αἱ τρίχες οἱ τὴν χροιὰν ἐοικέναι
κυανῷ. λέγεται δὲ καὶ τοιάδε· Ἡρακλέα πολε-
μοῦντα Ἠλείοις αἰτῆσαι παρ' Ὄγκου τὸν ἵππον, καὶ
ἑλεῖν τὴν Ἦλιν ἐπὶ τῷ Ἀρίονι ὀχούμενον ἐς τὰς μάχας.
δοθῆναι δὲ ὑπὸ Ἡρακλέους ὕστερον Ἀδράστῳ τὸν ἵππον.
ἐπὶ τούτῳ δὲ ἐς τὸν Ἀρίονα ἐποίησεν Ἀντίμαχος·

Ὅς ῥά ποτ' Ἀδράστῳ τριτάτῳ γ' ἐδμήθ' [15]) ὑπ'
ἄνακτι.

Ὁ δὲ Λάδων τῆς Ἐριννύος τὸ ἱερὸν ἀπολιπὼν, ἐν ἀρι- 6
στερᾷ παρέξεισιν, ἐν ἀριστερᾷ μὲν τοῦ Ἀπόλλωνος τοῦ
Ὀγκαιάτου τὸν ναόν· τὰ δὲ ἐν δεξιᾷ παρ' Ἀσκληπιοῦ
παιδὸς ἱερὸν, ἔνθα ἐστὶ [16]) Τρυγόνος μνῆμα τροφοῦ·
τροφὸν δὲ Ἀσκληπιοῦ τὴν Τρυγόνα εἶναι λέγουσιν.
ἐν γὰρ τῇ Θελπούσῃ τῷ Ἀσκληπιῷ παιδὶ ἐκκειμένῳ
φασὶν ἐπιτυχόντα Αὐτόλαον Ἀρκάδος υἱὸν νόθον ἀνα-
θέσθαι τὸ παιδίον [17]). καὶ ἐπὶ τούτῳ παῖδα Ἀσκλη-
πιὸν εἰκότα εἶναι μᾶλλον ἡγούμην, ὃ καὶ ἐδήλωσα ἐν
τοῖς Ἐπιδαυρίων. Ἔστι δὲ Τουθόα ποταμός· ἐμβάλ- 7
λει δὲ ἐς τὸν Λάδωνα καὶ ἡ Τουθόα, κατὰ τὸν Θελ-
πουσίων ὅρον πρὸς Ἡραιεῖς, καλούμενον δὲ ὑπὸ Ἀρκά-
δων Πεδίον. καθότι δὲ αὐτὸς ὁ Λάδων ἐκδίδωσιν ἐς
τὸν Ἀλφειὸν, Κοράκων ὠνόμασται Νᾶσος. Οἱ δὲ
ἥγηνται, τὴν Ἐνίσπην καὶ Στρατίην τε καὶ Ῥίπην τὰς
ὑπὸ

15) ποτ' — γ' ἐδμήθ'] *Schellenb.* l. c. p. 68. pro his mavult τότ' — δέδμηθ'. Pro τριτάτῳ Cod. Mosc. dat τιτάνῳ.

16) ἔνθα ἐστὶ] In Codice M. deest ἔνθα, nec male.

17) ἀναθέσθαι τὸ π.] *Sylb.* ἀναθ. explicat *educandum suscepisse*, vel *consecrasse*, h. e. *divinos ei honores tribuisse*. Sed praestare mihi videtur *Kuhnii* emendatio scribentis ἀνελέσθαι, quod verbum de infante Aesculapio usurpavit Pausan. supra L. II. C. 26., qui locus ad hunc est conferendus.

ὑπὸ τοῦ Ὁμήρου [18]) κατειλεγμένας γενέσθαι νήσους ποτὲ ἐν τῷ Λάδωνι ὑπὸ ἀνθρώπων οἰκουμένας· ἃ οἱ πεπιστευκότες μάταια ἴστωσαν [19])· οὐ γὰρ ἄν ποτε οὐδὲ νηὶ παρισουμένας πορθμίδι παράσχοιτο ὁ Λάδων νήσους. κάλλους μὲν γὰρ εἵνεκα οὐδενὸς ποταμῶν δεύτερος, οὔτε τῶν βαρβαρικῶν ἐστιν οὔτε Ἕλληνος, μέγεθος δὲ οὐ τοιοῦτος, ὡς ἐν αὐτῷ καὶ νήσους ἀναφαίνεσθαι, καθάπερ ἐν Ἴστρῳ τε καὶ Ἠριδανῷ.

## CAPUT XXVI.

De Heraea urbe ejusque memorandis — templis Bacchi Politae et Axitae — Coroebi ſepulcro — urbe Aliphera ejusque memorandis, Jovis Lecheatae ara, fonte Tritonide et Myiagri herois ſacris — urbe Melaeneis et Buphagio.

Ἡραιεῦσι δὲ οἰκιστὴς μὲν γέγονεν Ἡραιεὺς ὁ Λυκάονος, κεῖται δὲ ἡ πόλις ἐν δεξιᾷ τοῦ Ἀλφειοῦ, τὰ μὲν πολλὰ ἐν ἠρέμα προσάντει, τὰ δὲ καὶ ἐπ' αὐτὸν καθήκει τὸν Ἀλφειόν. δρόμοι τε παρὰ τῷ ποταμῷ πεποίηνται μυρσίναις καὶ ἄλλοις ἡμέροις διακεκριμένοι δένδροις·

18) *ὑπὸ τοῦ Ὁμήρου*] In Cod. Moſc. *τοῦ* abeſt. Locus Homeri eſt Iliad. β. v. 606.

19) *ἃ οἱ πεπιστευκότες μ. ἴστωσαν*] Repoſui ex Codice Moſc. *ἃ* pro vulgato *ᾧ*, ſicuti *Sylb.* jam conjecerat. Ceterum *Kuhnii* notam exſcriptam hic apponam. „*ἀπὸ κοινοῦ* repetendum *πεπιστευκότες*· *qui crediderunt, hanc rem ita ſe habere, fruſtra ſe credidiſſe iſta ſciant.* Ita Euripides: *οὐ δεινὰ, πάσχειν δεινὰ τοὺς εἰργασμένους*, ſcil. *δεινὰ*, *non malum eſt, mala pati, mala qui fecerint.* De quo ſchemate locutionis Euſtath. in Iliad. p. 884. ed. Rom.“ Locus Euripidis a *Kuhnio* laudatus eſt Oreſt. v. 513., ubi tamen iſta verba interrogative quoque explicari poſſe in notis declaravi. Vid. Euripidis Oreſtes. Var. lect. et animadverſ. illuſtravit J. F. Facius. Coburgi 1778. 8.

δένδροις· καὶ τὰ λουτρὰ αὐτόθι. Εἰσὶ δὲ καὶ Διονύσῳ 2
ναοὶ, τὸν μὲν καλοῦσι Πολίτην, τὸν δὲ Ἀξίτην [1])·
καὶ οἴκημά ἐςί σφισιν, ἔνθα τῷ Διονύσῳ τὰ ὄργια
ἄγουσιν. ἔςι καὶ ναὸς ἐν τῇ Ἡραίᾳ Πανὸς, ἅτε τοῖς
Ἀρκάσιν ἐπιχωρίου. τῆς δὲ Ἥρας τοῦ ναοῦ καὶ ἄλλα
ἐρείπια καὶ κίονες ἔτι ἐλείποντο. ἀθλητὰς δὲ, ὁπόσοι
γεγόνασιν Ἀρκάσιν, ὑπερῆρκε τῇ δόξῃ Δημάρατος
Ἡραιεὺς, ὃς τὸν ὁπλίτην δρόμον ἐνίκησεν Ὀλυμπίᾳ
πρῶτος [2]). ἐς δὲ τὴν Ἠλείαν κατιὼν ἐξ Ἡραίας,
ςάδια μέν που πεντεκαίδεκα ἀποσχὼν Ἡραίας,
διαβήσῃ τὸν Λάδωνα· ἀπὸ τούτου δὲ ἐς Ἐρύμαν-
θον ὅσον εἴκοσι ἀφίξῃ ςαδίους. Τῇ δὲ Ἡραίᾳ ὅροι 3
πρὸς τὴν Ἠλείαν λόγῳ μὲν τῶν Ἀρκάδων ἐςὶν ὁ Ἐρύ-
μανθος· Ἠλεῖοι δὲ τὸν Κοροίβου τάφον [3]) φασὶ τὴν
χώραν σφίσιν ὁρίζειν. ἡνίκα δὲ τὸν ἀγῶνα τὸν Ὀλυμ-
πικὸν ἐκλείποντα ἐπὶ χρόνον πολὺν ἀνεσώσατο Ἴφιτος,
καὶ αὖθις ἐξ ἀρχῆς Ὀλύμπια ἤγαγον, τότε δρόμου
σφίσιν ἆθλα ἐτέθη μόνον, καὶ ὁ Κόροιβος ἐνίκησε·
καὶ ἔςιν ἐπίγραμμα ἐπὶ τῷ μνήματι, ὡς Ὀλυμπιάσιν
ὁ Κόροιβος ἐνίκησε, καὶ ἀνθρώπων πρῶτος, καὶ ὅτι
τῆς Ἠλείας ἐπὶ τῷ πέρατι ὁ τάφος αὐτῷ πεποίηται.
Ἔςι δὲ Ἀλιφήρα [4]) πόλισμα οὐ μέγα· ἐξελείφθη 4
γὰρ ὑπὸ οἰκητόρων πολλῶν, ὑπὸ τὸν συνοικισμὸν τῶν
Ἀρκάδων ἐς Μεγάλην πόλιν. ἐς τοῦτο οὖν τὸ πόλισμα
ἐρχόμενος ἐξ Ἡραίας, τόν τε Ἀλφειὸν διαβήσῃ, καὶ
ςαδίων μάλιςά που δέκα διελθὼν πεδίον, ἐπὶ ὄρος
ἀφίξῃ·

1) Ἀξίτην] *Goldhagen* in verſ. german. Ἀσκίτην conjectat ab ἀσκὸς, *uter.*

2) Δημάρατος — πρῶτος] Vide ſupra L. V. C. 8. et L. VI. C. 10., ubi tamen Δαμάρετος legitur.

3) Κοροίβου τάφον] Vide ſupra L. V. C. 8.

4) Ἀλιφήρα] In Stephano et Polybio legitur Ἀλίφειρα.

ἀφίξῃ· καὶ αὖθις ϛάδια ὅσον τριάκοντα ἐς τὸ πόλισμα ἀναβήσῃ διὰ τοῦ ὄρους. Ἀλιφηρεῦσι δὲ τὸ μὲν ὄνομα τῇ πόλει γέγονεν ἀπὸ Ἀλιφήρου Λυκάονος παιδός. ἱερὰ δὲ Ἀσκληπιοῦ τέ ἐϛι καὶ Ἀθηνᾶς, ἣν θεῶν σέβονται μάλιϛα, γενέσθαι καὶ τραφῆναι παρὰ σφίσιν αὐτὴν λέγοντες· καὶ Διός τε ἱδρύσαντο Λεχεάτου βωμὸν, ἅτε ἐνταῦθα τὴν Ἀθηνᾶν τεκόντος· καὶ κρήνην καλοῦσι Τριτωνίδα τὸν ἐπὶ τῷ ποταμῷ Τρίτωνι οἰκειούμενοι λόγον [5]). τῆς δὲ Ἀθηνᾶς τὸ ἄγαλμα πεποίηται χαλκοῦ, Ὑπατοδώρου τε ἔργον, θέας ἄξιον μεγέθους τε εἵνεκα καὶ ἐς τὴν τέχνην. ἄγουσι δὲ καὶ πανήγυριν ὅτῳ δὴ θεῶν· δοκῶ δὲ σφᾶς ἄγειν τῇ Ἀθηνᾷ. ἐν ταύτῃ τῇ πανηγύρει Μυιάγρῳ προθύουσιν, ἐπευχόμενοί τε κατὰ τῶν ἱερείων τῷ ἥρωϊ, καὶ ἐπικαλούμενοι τὸν Μυίαγρον· καί σφισι ταῦτα
5 δράσασιν, οὐδὲν ἔτι ἀνιαρόν εἰσιν αἱ μυῖαι. Κατὰ δὲ τὴν ἐξ Ἡραίας ἄγουσαν ἐς Μεγάλην πόλιν εἰσὶ Μελαινεαί· ταύτας ᾤκισε μὲν Μελαινεὺς ὁ Λυκάονος· ἔρημος δὲ ἦν ἐφ' ἡμῶν, ὕδατι δὲ καταῤῥεῖται. Μελαινέων δὲ τεσσαράκοντά ἐϛιν ἀνωτέρω ϛαδίοις Βουφάγιον, καὶ ὁ ποταμὸς ἐνταῦθα ἔχει πηγὰς ὁ Βούφαγος κατιὼν ἐς τὸν Ἀλφειόν [6]). τοῦ Βουφάγου δὲ περὶ τὰς πηγὰς ὅροι πρὸς Μεγαλοπολίτας Ἡραιεῦσίν εἰσιν.

5) τὸν — λόγον] Conf. L. IX. C. 33. in fine.

6) ὁ Βούφαγος — Ἀλφειόν] Supra L. V. C. 7. init. male vulgatum fuit Πούφαγος.

CAPUT

## CAPUT XXVII.

De Megalopoli urbe — Megalopolis conditore — nomina civitatum enumerantur, quarum incolae Megalopolin migrarunt — de Trapezuntiis emigrantibus — Megalopolitanorum vicis — tempore Megalopolis conditae — Megalopolitani a Lacedaemoniis ejiciuntur — Aristodemo Megalopolitan. imperium obtinente Lacedaemonii Megalopolin invadunt et superantur — Lydiade Megalopolitanis imperante Lacedaemonii Megalopolin obsident — Cleomenes Megalopolin expugnat — de Buphago amne et heroë.

Ἡ δὲ Μεγάλη πόλις νεωτάτη πόλεών ἐστιν, οὐ τῶν Ἀρκαδικῶν μόνων[1]), ἀλλὰ καὶ τῶν ἐν Ἕλλησι, πλὴν ὅσον κατὰ συμφορὰν ἀρχῆς τῆς Ῥωμαίων μεταβεβήκασιν οἰκήτορες[2]). συνῆλθον δὲ ὑπὲρ ἰσχύος ἐς αὐτὴν οἱ Ἀρκάδες, ἅτε καὶ Ἀργείους ἐπιστάμενοι τὰ μὲν ἔτι παλαιότερα μονονοὺ κατὰ μίαν ἡμέραν ἑκάστην κινδυνεύοντας ὑπὸ Λακεδαιμονίων παραστάθῆναι τῷ πολέμῳ· ἐπεὶ δὲ ἀνθρώπων πλήθει τὸ Ἄργος ἐπηύξησαν καταλύσαντες Τίρυνθα καὶ Ὑσιάς τε καὶ Ὀρνεὰς καὶ Μυκήνας καὶ Μιδέαν[3]), καὶ εἰ δή τι ἄλλο πόλι-

1) μόνων] Forte rectius sit μόνον.

2) πλὴν ὅσον — οἰκήτορες] *Amas.*, qui interpretatur *iis tamen exceptis*, legisse videtur ὅσων. *Kuhn.* rem ipsam putat bellum Actiacum spectare eaque, quae Pausan. habet L. IV. C. 31. init. Mihi potius ad Corinthum a Caesare restitutam et colonis Romanis auctam ista pertinere videntur (vid. supra L. II. C. 1. init.), sicuti *Amasaeus* quoque interpretatus est: *iis tamen exceptis, in quas ab urbe Roma coloni immigrarunt.* *Goldhagen* in versione germanica Nicopolin innui censet ab Augusto conditam.

3) Μιδέαν] Cod. Mosc. Μίδειαν, quae scripturae varietas ex Stephano Byz. et aliis nota est. Vide supra L. VI. C. 20.

πόλισμα οὐκ ἀξιόλογον ἐν τῇ Ἀργολίδι ἦν, τά τε ὑπὸ Λακεδαιμονίων ἀδεέστερα τοῖς Ἀργείοις ὑπάρξαντα, καὶ ἅμα ἐς τοὺς περιοίκους ἰσχὺν γενομένην [4]) αὐτοῖς· γνώμῃ μὲν τοιαύτῃ συνῳκίζοντο οἱ Ἀρκάδες.
2 Τῆς πόλεως δὲ οἰκιστὴς Ἐπαμινώνδας ὁ Θηβαῖος σὺν τῷ δικαίῳ καλοῖτο ἄν· τούς τε γὰρ Ἀρκάδας οὗτος ἦν ὁ ἐπαγείρας ἐς τὸν συνοικισμὸν, Θηβαίων τε χιλίους λογάδας, καὶ Παμμένην [5]) ἀπέστειλεν ἡγεμόνα ἀμύνειν τοῖς Ἀρκάσιν, εἰ κωλύειν πειρῶνται οἱ Λακεδαιμόνιοι τὸν οἰκισμόν. ᾑρέθησαν δὲ καὶ ὑπὸ τῶν Ἀρκάδων οἰκισταὶ, Λυκομήδης καὶ Ὁπολέας [6]), καὶ Τίμων τε καὶ Πρόξενος· οὗτοι μὲν ἐκ Τεγέας, Λυκομήδης δὲ καὶ Ὁπολέας Μαντινεῖς· Κλειτορίων δὲ Κλεόλαος καὶ Ἀκρίφιος· Εὐκαμπίδας δὲ καὶ Ἱερώνυμος ἐκ Μαινάλου· Παῤῥασίων δὲ Πασικράτης τε
3 καὶ Θεόξενος. Πόλεις δὲ τοσαίδε ἦσαν, ὁπόσας ὑπό τε προθυμίας καὶ διὰ τὸ ἔχθος τὸ Λακεδαιμονίων πατρίδας σφίσιν οὔσας ἐκλιπεῖν ἐπείθοντο οἱ Ἀρκάδες· Ἀλέαν, Παλλάντιον, Εὐταία, Σουμάτειον [7]), Ἰασαία [8]), Ἀπερέθεις [9]), Ἑλισσὼν, Ὀρεσθάσιον, Δίπαια

4) τά τε — ὑπάρξαντα, — γενομένην] Haec apodosin exhibent et a superiori ἐπιστάμενοι pendent.

5) Παμμένην] Cod. Mosc. Παμένην.

6) Ὁπολέας] *Aldina* et *Amas.* ὁ Πολέας. Apollodor. L. III. C. 8. §. 1. inter Lycaonis filios Ὀπλέα memorat.

7) Εὐταία, Σουμάτειον] Ita *Sylb.* mendose vulgata Εὐτάσου Ἀμάτειον haud absurde emendavit. Σουμάτειον vel Σουμάτεια supra memoratur C. 3., et Εὐταία, Arcadiae civitas, exstat in Stephano, ubi vid. Berkel.

8) Ἰασαία] Cum urbs hujus nominis nullibi memoretur, *Sylb.* Ἀσέα (vid. C. 44.) forte scribendum censet. Mallem Ἀσαία, uti supra C. 3.

9) Ἀπερέθεις] Rectius forte Περαιθεῖς, quod supra C. 3. et infra C. 36. est.

Δίπαια[10]), Ἀλυκαία[11]), ταύτας μὲν ἐκ Μαινάλου· ἐκ δὲ Εὐτρησίων, Τρικόλωνοι, καὶ Ζοίτιον[12]), καὶ Χαρίσια[13]), καὶ Πτολέδερμα, καὶ Κναῦσον, καὶ Παρωρία[14])· παρὰ δὲ Αἰγυπτίων[15]), καὶ Σκιρτώνιον, καὶ Μαλαία, καὶ Κρῶμοι, καὶ Βλένινα[16]), καὶ Λεῦκτρον· Παῤῥασίων, Λυκοσουρεῖς, Θωκνεῖς[17]), Τραπεζούντιοι, Προσεῖς, Ἀκακήσιον, Ἀκόντιον, Μακαρία[18]), Δασέα· ἐκ δὲ Κυνουραίων[19]) τῶν ἐν Ἀρκαδίᾳ, Γόρτυς, καὶ Θίσα

10) Δίπαια] Scripsi pro Δειπαία ex Stephano et Pausan. L. III. C. 11. οἱ δὲ Διπαιεῖς etc. atque infra huj. Libri C. 30.

11) Ἀλυκαία] A ex praecedenti voce male adhaesit, et Λύκαια scribendum, quod paullo post et C. 30. nec non in Stephano est. Conf. supra not. ad C. 3.

12) Ζοίτιον] Infra C. 35. Ζοιτία singulari numero. Stephan. Ζοίτειον, πόλις Ἀρκαδίας, Παυσανίας ὀγδόῳ· λέγεται καὶ Ζοίτεια.

13) Χαρίσια] Vide supra not. ad C. 3.

14) Παρωρία] Vide Steph. v. Παρώρεια.

15) Αἰγυπτίων] Vocem corruptam esse, nemo in dubium vocare ausit; nam Aegyptiis nullus hic esse potest locus. *Amas.*: *ab Aegiensibus*. Sed *Sylb.* et *Kuhn.* probabilius emendant Αἰπυτίων ab Aepyto rege, de quo supra C. 10., ac similiter C. 34. in fine mendose legi contendunt γῆς — Αἰγυπτίδος, ubi *Amas.* dat Αἰπυτίδος. *Palmer.* tamen Exercit. p. 420. 421. ab illis dissentit et Αἰγυτίων corrigit ab Αἶγυς, regiuncula Megalopolitidi vicina, de qua vid. supra L. III. C. 2. §. 5.

16) Βλένινα] Infra C. 35. legitur Βελεμίνα. Vide not. 5. ad L. III. C. 21. Mox ad vocem Παῤῥασίων supple παρὰ vel ἐκ.

17) Λυκοσουρεῖς, Θωκνεῖς] Sic bene emendavit *Sylburg.* pro monstrose vulgatis Λύκος, Ὀρεισθωκνεῖς. Paulo inferius memorantur Λυκοσουρεῖς, et Θωκνία C. 29. in fine, nec non Θώκνεια et Θωκνεῖς in Stephano Byz. Conf. C. 3. not. ad Θωκνός.

18) Ἀκόντιον, Μακαρία] Haec recte quoque restituit *Sylburgii* ingenium; male enim vulgatum fuit Ακοντιμακαρία. Stephanus exhibet Ἀκόντιον, et de Μακαρίᾳ vidend. C. 3.

19) Κυνουραίων] *Sylb.* mavult Κυνουρέων. Sic supra L. III. C. 2. Κυνουρεῖς Argolidis memorantur.

Θίσα ἡ[20]) πρὸς Λυκαίῳ, καὶ Λυκόται[21]), καὶ Ἀλίφηρα[22])· ἐκ δὲ τῶν συντελούντων ἐς Ὀρχομενὸν, Θισόα[23]), Μεθύδριον, Τευθίς· προσεγένετο δὲ καὶ Τρίπολις ὀνομαζομένη, Καλλία[24]), καὶ Δίποινα, καὶ Νώνακρις. τὸ μὲν δὴ ἄλλο Ἀρκαδικὸν οὔτε τι παρέλυε τοῦ κοινοῦ δόγματος, καὶ συνελέγοντο ἐς τὴν Μεγάλην πόλιν σπουδῇ· Λυκαιᾶται δὲ καὶ Τρικολωνεῖς καὶ Λυκοσουρεῖς τε καὶ Τραπεζούντιοι, μετεβάλλοντο Ἀρκάδων μόνοι, καὶ (οὐ γὰρ συνεχώρουν ἔτι τὰ ἄστεα τὰ ἀρχαῖα ἐκλιπεῖν) οἱ μὲν αὐτῶν καὶ ἄκοντες ἀνάγκῃ κατήγοντο ἐς τὴν Μεγάλην πόλιν.
4 Τραπεζούντιοι δὲ ἐκ Πελοποννήσου τὸ παράπαν ἐξεχώρησαν· ὅσοι τε αὐτῶν ἐλείφθησαν καὶ μὴ σφᾶς ὑπὸ τοῦ θυμοῦ παραυτίκα διεχρήσαντο οἱ Ἀρκάδες, τοὺς δὲ αὐτῶν ἀνασωθέντας ἀναπλεύσαντας ναυσὶν ἐς τὸν Πόντον, συνοίκους ἐδέξαντο μητρόπολιν τάττοντες καὶ ὁμωνύμους[25]) οἱ Τραπεζοῦντα ἔχοντες τὴν ἐν

20) Θίσα ἡ] Cod. Mosc. αι Θισόα, omisso ἡ. Vide not. ad Θισόα.

21) Λυκόται] Rectius scribi videtur Λυκοάται vel Λυκαιάται, quod utrumque in Stephano reperitur. Conf. supra C. 3. not. ad v. Λυκεάται.

22) Ἀλίφηρα] Steph. Ἀλίφειρα. Conf. supra C. 3. not. ad voc. Ἁλίφθορος.

23) Θισόα] Paullo inferius est Θεισσόα et C. 38. Θεισώα, in Stephano Θείσοα. Forte duae fuere Thisoae, altera πρὸς Λυκαίῳ, et altera πρὸς τῷ Ὀρχομενῷ, uti haec statim dicitur.

24) Καλλία] Scribendum videtur Καλλίαι. Sic enim inferius accusativ. plural. Καλλιάς et in Stephano Καλλίαι.

25) ἀνασωθέντας ἀναπλεύσ.— μητρόπολιν τάττοντες καὶ ὁμων.] Minime necessaria est emendatio *Kuhnii* legentis ἀποσωθ. καὶ ἀναπλ. Verba autem μητρ. τάττ. κ. ὁμ. *Sylb.* et *Kuhn.* explicant: *quum existimarent Trapezuntii, illos ipsorum metropoli oriundos et ejusdem nominis esse.* Sic vero ἐς μητρ. τάττ. κ. ὁμ. a Pausaniae manu esse deberet; nam τάττειν ἐς τι denotat *referre in numerum, annumerare* etc. Sed verba

ἐν τῷ Εὐξείνῳ. Λυκοσουρεῦσι δὲ καὶ ἀπειθήσασιν
ἐγένετο ὅμως παρὰ τῶν Ἀρκάδων αἰδὼς, Δήμητρός τε
εἵνεκα καὶ Δεσποίνης ἐλθόντας τὸ ἱερόν [26]). Τῶν δὲ 5
ἄλλων τῶν κατειλεγμένων πόλεων, αἱ μὲν ἐς ἅπαν
εἰσὶν ἐφ᾽ ἡμῶν ἔρημοι, τὰς δὲ ἔχουσιν οἱ Μεγαλοπο-
λῖται κώμας, Γόρτυνα, Διποίνας, Θεισσόαν τὴν
πρὸς τῷ Ὀρχομενῷ, Μεθύδριον, Τευθὶν, Καλλιὰς,
Ἑλισσόντα. μόνη δὲ ἐξ αὐτῶν Παλλάντιον ἔμελλεν
ἄρα ἠπιωτέρου πειρᾶσθαι καὶ τότε τοῦ δαίμονος.
τοῖς δὲ Ἀλιφηρεῦσι παραμεμένηκεν ἐξ ἀρχῆς πόλιν
σφᾶς καὶ ἐς τόδε νομίζεσθαι. Συνῳκίσθη δὲ ἡ 6
Μεγάλη πόλις ἐνιαυτῷ τε τῷ αὐτῷ, καὶ μησί τε ὀλί-
γοις ὕστερον, ἢ τὸ πταῖσμα ἐγένετο Λακεδαιμονίων τὸ
ἐν Λεύκτροις, Φρασικλείδου μὲν Ἀθήνησιν ἄρχοντος,
δευτέρῳ δὲ ἔτει τῆς ἑκατοστῆς ὀλυμπιάδος καὶ δευτέ-
ρας, ἣν Δάμων Θούριος ἐνίκα στάδιον. Μεγαλοπο- 7
λίταις δὲ ἐς τὴν Θηβαίων συμμαχίαν ἐγγραφεῖσιν,
ἀπὸ Λακεδαιμονίων δεῖμα ἦν οὐδέν. ὡς δὲ ἐς τὸν
πόλεμον τὸν ἱερὸν ὀνομασθέντα οἱ Θηβαῖοι κατέστησαν,
καὶ αὐτοῖς ἐπέκειντο οἱ Φωκεῖς, τήν τε ὅμορον τὴν
Βοιωτῶν ἔχοντες καὶ ὄντες οὐκ ἀδύνατοι χρήμασιν,
ἅτε τὸ ἱερὸν τὸ ἐν Δελφοῖς κατειληφότες, τηνικαῦτα



verba ista, uti se habent, ita potius cum *Amasaeo* sunt interpretanda: *eos in domicilii et nominis societatem receperunt, qui Trapezuntem in Euxini ora tenebant, et metropolin* (h. e. *caput regionis*) *condebant.* Quidni τάττειν, *statuere*, de urbe condenda dici possit? Primos autem illos Trapezuntios Sinopensium coloniam fuisse, ex Xenophonte patet Cyri exped. L. IV. C. 8. §. 22.

26) καὶ Δεσποίνης ἐλθόντας τὸ ἱερόν] ἐλθόντας non ad Λυκοσουρεῦσι relatum, sed pro more Pausaniae absolute positum est: *tum quod in Despoenae templum confugerant.* Mallem tamen scribere — Δεσποίνης ἐσελθόντας τὸ ἱερόν.

οἱ Λακεδαιμόνιοι προθυμίας μὲν εἵνεκα Ἀρκάδας τε ἂν τοὺς ἄλλους, καὶ τοὺς Μεγαλοπολίτας ἐποίησαν ἀναστάτους. ἀμυνομένων δὲ τῶν τότε οὐκ ἀθύμως, καὶ ἅμα τῶν περιοίκων ἀπροφασίστως σφίσιν ἐπικουρούντων, λόγου μὲν συνέπεσεν οὐδὲν ἄξιον γενέσθαι παρὰ οὐδετέρων. Φίλιππον δὲ τὸν Ἀμύντου καὶ Μακεδόνων τὴν ἀρχὴν οὐχ ἥκιστα αὐξηθῆναι τὸ ἔχθος τὸ Ἀρκάδων ἐς Λακεδαιμονίους ἐποίησε· καὶ Ἕλλησιν ἐν Χαιρωνείᾳ, καὶ αὖθις περὶ Θεσσαλίαν τοῦ
8 ἀγῶνος οὐ μετέσχον οἱ Ἀρκάδες. Χρόνον δὲ οὐ μετὰ πολὺν Ἀριστόδημος Μεγαλοπολίταις ἀνέφυ τύραννος, Φιγαλεὺς μὲν γένος καὶ υἱὸς Ἀρτύλα, ποιησαμένου δὲ αὐτὸν[27]) Τριταίου τῶν οὐκ ἀδυνάτων ἐν Μεγάλῃ πόλει· τούτῳ τῷ Ἀριστοδήμῳ καὶ τυραννοῦντι ἐξεγένετο ὅμως ἐπικληθῆναι χρηστῷ. ἐπὶ τούτῳ τυραννοῦντι ἐσβάλλουσιν ἐς τὴν Μεγαλοπολῖτιν στρατιᾷ Λακεδαιμόνιοι, καὶ τοῦ βασιλέως Κλεομένους ὁ πρεσβύτατος τῶν παίδων Ἀκρότατος. ἐγενεαλόγησα δὲ[28]) ἤδη τά τε ἐς τοῦτον καὶ ἐς τὸ πᾶν γένος τῶν ἐν Σπάρτῃ βασιλέων. γενομένης δ' ἰσχυρᾶς μάχης καὶ ἀποθανόντων πολλῶν παρ' ἀμφοτέρων, κρατοῦσιν οἱ Μεγαλοπολῖται τῇ συμβολῇ· καὶ ἄλλοι τε διεφθάρησαν Σπαρτιατῶν, καὶ Ἀκρότατος, οὐδέ οἱ
9 τὴν πατρῴαν παραλαβεῖν ἐξεγένετο ἀρχήν. Μετὰ δὲ Ἀριστόδημον τελευτήσαντα δύο μάλιστα ὕστερον γενεαῖς, ἐτυράννησε Λυδιάδης οἴκου μὲν ἀφανοῦς, φύσιν δὲ φιλότιμος ὢν καὶ οὐχ ἥκιστα, ὡς ἐπέδειξεν ὕστερον,

27) ποιησαμένου δὲ αὐτὸν] scil. υἱόν· *quem autem adoptaverat Tritaeus etc.*

28) ἐγενεαλόγησα δὲ etc.] Vide L. III. C. 6. Acrotatum, Cleomenis filium, hic a Pausania cum Acrotato, Arei filio, confusum esse, Palmer. demonstrat Exercit. p. 421.

ὕστερον, καὶ Φιλόπολις. ἔσχε μὲν γὰρ ἔτι νέος ὢν τὴν ἀρχήν· ἐπεὶ δὲ ἤρχετο φρονεῖν, κατέπαυσεν ἑαυτὸν ἑκὼν τυραννίδος, καίπερ ἐς τὸ ἀσφαλὲς ἤδη οἱ τῆς ἀρχῆς καθωρμισμένης. Μεγαλοπολιτῶν δὲ συντελούντων ἤδη τότε ἐς τὸ Ἀχαϊκὸν, ὁ Λυδιάδης ἔν τε αὐτοῖς Μεγαλοπολίταις καὶ ἐν τοῖς πᾶσιν Ἀχαιοῖς ἐγένετο οὕτω δόκιμος, ὡς Ἀράτῳ παρισωθῆναι τὰ ἐς δόξαν. Λακεδαιμόνιοι δὲ αὐτοί τε πανδημεὶ καὶ ὁ τῆς οἰκίας βασιλεὺς τῆς ἑτέρας Ἆγις ὁ Εὐδαμίδου στρατεύουσιν ἐπὶ Μεγάλην πόλιν παρασκευῇ μείζονι, καὶ ἀξιολογωτέρᾳ τῆς ὑπὸ Ἀκροτάτου συναχθείσης· καὶ μάχῃ τε ὑπεξελθόντας τοὺς Μεγαλοπολίτας ἐνίκησαν, καὶ μηχάνημα ἰσχυρὸν προσάγοντες τῷ τείχει, τὸν πύργον τὸν ταύτῃ δι' αὐτοῦ σείουσιν, καὶ ἐς τὴν ὑστεραίαν καταῤῥίψειν τῷ μηχανήματι ἤλπιζον. ἔμελλε δ' ἄρα οὐχ Ἕλλησιν ὁ Βορέας ἔσεσθαι μόνον τοῖς πᾶσιν ὄφελος, τοῦ Μήδων ναυτικοῦ ταῖς Σηπιάσι προσράξας τὰς πολλὰς[29]), ἀλλὰ καὶ Μεγαλοπολίτας ὁ ἄνεμος οὗτος ἐῤῥύσατο μὴ ἁλῶναι· κατέλυσέ τε γὰρ τὸ μηχάνημα τοῦ Ἄγιδος καὶ διεφόρησεν ἐς ἀπώλειαν παντελῆ, βιαίῳ τῷ πνεύματι ὁμοῦ καὶ συνεχεῖ. ὁ δὲ Ἆγις, ὅτῳ τὰ ἐκ τοῦ Βορέου μὴ ἑλεῖν τὴν Μεγάλην πόλιν ἐγένετο ἐμποδὼν, ἔστιν ὁ τὴν ἐν Ἀχαΐᾳ Πελλήνην ἀφαιρεθεὶς ὑπὸ Ἀράτου καὶ Σικυωνίων, καὶ ὕστερον πρὸς Μαντινείᾳ χρησάμενος τῷ τέλει[30]). Μετὰ δὲ οὐ πολὺν χρόνον Κλεομένης ὁ Λεω- 10
νίδου Μεγαλόπολιν κατέλαβεν ἐν σπονδαῖς. Μεγαλοπο-



29) ὁ Βορέας — τὰς πολλὰς] scil. ναῦς. De re ipsa vid. Herodot. L. VII. f. 188 — 193., et de Sepiadibus scopulis Strab. L. IX. p. 675. C. et ibi Casaub.

30) ἔστιν ὁ — τῷ τέλει] De Pellene capta vid. supra L. II. C. 8. §. 4. et de Agidis morte L. VIII. C. 10. prope fin.

λοπολιτῶν δὲ οἱ μὲν ἐν τῇ νυκτὶ εὐθὺς τότε ἀμύνοντες τῇ πατρίδι ἐπεπτώκεσαν, ἔνθα καὶ Λυδιάδην ἀγωνιζόμενον ἀξίως λόγου κατέλαβεν ἐν τῇ μάχῃ τὸ χρεών[31]) τοὺς δὲ αὐτῶν Φιλοποίμην ὁ Κράντιδος[32]) ὅσον τε τὰ δύο μέρη τῶν ἐν ἡλικίᾳ καὶ παῖδας ἅμα ἔχων καὶ γυναῖκας, διέφυγεν ἐς τὴν Μεσσηνίαν. Κλεομένης δὲ τούς τε ἐγκαταλειφθέντας ἐφόνευε καὶ κατέσκαπτέ τε καὶ ἔκαιε τὴν πόλιν[33]). Μεγαλοπολῖται μὲν δὴ τρόπον ὁποῖον ἀνεσώσαντο τὴν αὐτῶν, καὶ ὁποῖα κατελθοῦσιν αὖθις ἐπράχθη σφίσι, δηλώσει τοῦ λόγου μοι τὰ ἐς Φιλοποίμενα[34]). Λακεδαιμονίων δὲ τῷ δήμῳ τοῦ τῶν Μεγαλοπολιτῶν παθήματος μέτεστιν αἰτίας οὐδὲν, ὅστις σφίσιν[35]) ἐκ βασιλείας μετέστησεν ἐς τυραννίδα ὁ Κλεομένης τὴν πολι-
11 τείαν. Μεγαλοπολίταις δὲ καὶ Ἡραιεῦσι κατὰ τὰ εἰρημένα ἤδη μοι[36]) τοῦ Βουφάγου ποταμοῦ περὶ τὰς πηγάς εἰσιν ὅροι τῆς χώρας. γενέσθαι δὲ τῷ ποταμῷ τὸ ὄνομα ἀπὸ Βουφάγου φασὶν ἥρωος, εἶναι δὲ Ἰαπετοῦ τε παῖδα αὐτὸν καὶ Θόρνακος· ταύτην καὶ ἐν τῇ Λακωνικῇ Θόρνακα ὀνομάζουσι[37]). λέγουσι δὲ

31) καὶ Λυδιάδην — τὸ χρεών] De morte Lydiadis vide Polyb. L. II. f. 51., ubi legitur Λυδιάδας.

32) Κράντιδος] Scribendum Κραυγίδος. Sic enim infra C. 49. init. et C. 51. in fine. Plutarch. Philopoem. f. 1. illum Κραῦσιν vocat.

33) καὶ ἔκαιε τὴν πόλιν] Sic cum *Kuhnio* emendare non dubitavi mendofe vulgata καὶ ἑκάστην πόλιν.

34) δηλώσει — Φιλοποίμενα] Vide Cap. 49.

35) ὅστις σφίσιν etc.] Haec cum antecedentibus male cohaerent; quare *Kuhn.* pro ὅστις emendandum putat ὅτι. Mihi potius ante ὅστις quaedam excidiſſe videntur.

36) κατὰ τὰ εἰρημένα ἤδη μοι] Vide C. 26. in fine.

37) ταύτην — ὀνομάζουσι] Vid. L. III. C. 10. in fine.

δὲ καὶ ὡς ἐν Φολόῃ τῷ ὄρει τοξεύσειεν Ἄρτεμις Βου-
φάγον ἔργα τολμήσαντα οὐχ ὅσια ἐς τὴν θεόν.

## CAPUT XXVIII.

De Gortyne vico ejusque memorandis — fluvio Lufio seu Gortynio frigore reliquos amnes fuperante — Teuthide vico, et de Teuthide, Arcadum duce ad Trojam, narratio — monumento Paraebafio dicto et Berenthes urbis reliquiis.

Ἰόντι δὲ ἀπὸ τοῦ ποταμοῦ τῶν πηγῶν, πρῶτά μέν σε
ἐκδέξεται Μάραθα χωρίον· μετὰ δὲ αὐτὸ, Γόρτυς
κώμη τὰ ἐπ᾽ ἐμοῦ, τὰ δὲ ἔτι ἀρχαιότερα πόλις. ἔςι
δὲ αὐτόθι ναὸς Ἀσκληπιοῦ λίθου Πεντελησίου· καὶ
αὐτός γε οὐκ ἔχων πω γένεια, καὶ Ὑγείας [1]) ἄγαλμα·
Σκόπα δὲ ἦν ἔργα. λέγουσι δὲ οἱ ἐπιχώριοι καὶ
τάδε· ὡς Ἀλέξανδρος ὁ Φιλίππου τὸν θώρακα καὶ
δόρυ ἀναθείη τῷ Ἀσκληπιῷ· καὶ ἐς ἐμὲ ἔτι ὁ θώραξ
καὶ τοῦ δόρατος ἦν αἰχμή. Τὴν δὲ Γόρτυνα ποταμὸς 2
διέξεισιν, ὑπὸ μὲν τῶν περὶ τὰς πηγὰς ὀνομαζόμενος
Λούσιος, ἐπὶ λουτροῖς δὴ τοῖς Διὸς τεχθέντος· οἱ δὲ
ἀπωτέρω τῶν πηγῶν καλοῦσιν ἀπὸ τῆς κώμης Γορ-
τύνιον. οὗτος ὁ Γορτύνιος ὕδωρ ψυχρότατον παρέχεται
ποταμῶν. Ἴςρον μέ γε καὶ Ῥῆνον, ἔτι δὲ Ὕπανίν τε
καὶ Βορυσθένην, καὶ ὅσων ἄλλων ἐν ὥρᾳ χειμῶνος τὰ
ῥεύματα πήγνυται, τούτους μὲν χειμερίους κατὰ
ἐμὴν δόξαν ὀρθῶς ὀνομάσαι τις ἄν· οἳ ῥέουσι μὲν διὰ
γῆς τὸ πολὺ τοῦ χρόνου νιφομένης, ἀνάπλεως δὲ
κρυμοῦ καὶ ὁ περὶ αὐτούς ἐςιν ἀήρ. ὅσοι δὲ γῆν



1) Ὑγείας] Ex *Amafaei* interpretatione hoc refcripfi pro vitiofe vulgata Αὐγέας.

διεξίασι εὖ τῶν ὡρῶν ἔχουσαν, καὶ θέρους σφίσι τὸ ὕδωρ πινόμενόν τε καὶ λουομένους ἀνθρώπους ἀναψύχει, χειμῶνος δὲ ἀνιαρὸν οὐκ ἔτι[2]), τούτους ἐγώ φημι παρέχεσθαι σφᾶς[3]) ὕδωρ ψυχρόν. ψυχρὸν μὲν δὴ ὕδωρ καὶ Κύδνου τοῦ διεξιόντος Ταρσεῖς, καὶ Μέλανος τοῦ παρὰ Σίδην τὴν Παμφύλων· Ἀνελόντος[4]) δὲ τοῦ ἐν Κολοφῶνι καὶ ἐλεγείων ποιηταὶ τὴν ψυχρότητα ᾄδουσι. Γορτύνιος δὲ προήκει καὶ ἐς πλέον ψυχρότητος, μάλιστα δὲ ὥρᾳ θέρους. ἔχει μὲν δὴ τὰς πηγὰς ἐν Θεισόᾳ τῇ Μεθυδριεῦσιν ὁμόρῳ· καθότι δὲ τῷ
3 Ἀλφειῷ τὸ ῥεῦμα ἀνακοινοῖ, καλοῦσι Ῥαιτέας. Τῇ χώρᾳ δὲ τῇ Θεισόᾳ προσεχὴς κώμη Τευθίς ἐστι· πάλαι δὲ ἦν πόλισμα ἡ Τευθίς. ἐπὶ δὲ τοῦ πολέμου τοῦ πρὸς Ἰλίῳ ἰδίᾳ παρείχοντο οἱ ἐνταῦθα ἡγεμόνα· ὄνομα δὲ αὐτῷ Τεῦθις[5])· οἱ δὲ Ὄρνυτόν φασιν εἶναι. ὡς δὲ τοῖς Ἕλλησιν οὐκ ἐγένετο ἐπίφορα ἐξ Αὐλίδος πνεύματα, ἀλλὰ ἄνεμος σφᾶς βίαιος ἐπὶ χρόνον εἶχεν ἐγκλείσας, ἀφίκετο ὁ Τεῦθις Ἀγαμέμνονι ἐς ἀπέχθειαν, καὶ ὀπίσω τοὺς Ἀρκάδας, ὧν ἦρχεν, ἀπάξειν ἔμελλεν. ἐνταῦθα Ἀθηνᾶν λέγουσι Μέλανι τῷ Ὠπὸς[6]) εἰκασμένην ἀποτρέπειν τῆς ὁδοῦ Τεῦθιν

τῆς

2) ἀνιαρὸν οὐκ ἔτι] scil. ἐστί. Forte aliquis malit scribere ἀν. οὐκ ἔστι.

3) τούτους — σφᾶς] Redundare videtur σφᾶς, uti aliquoties in Pausania; vid. supra not. 1. ad C. 11.

4) Ἀνελόντος] *Amas.* Halesi, forte ex Plinio H. N. L. V. C. 29. p. 279. Sed *Sylburg.* et *Kuhn.* Ἄλεντος emendandum esse recte monent. Supra enim L. VII. C. 5. Ἄλης (seu Ἄλης) ποταμὸς ψυχρότατος τῶν ἐν Ἰωνίᾳ. Vid. et Schol. ad Lycophr. v. 868., ubi Venus ab eo Ἀλεντία dicitur. In Strabone L. XIV. p. 941. A. Mimnermi elegi exstant, in quibus Ἀστύεντος ποταμοῦ prope Colophonem mentio fit.

5) ὄνομα — Τεῦθις] Cod. Mosc. haud male exhibet Τεῦθιν, ut a sequentibus φασὶν εἶναι pendeat.

6) Ὠπὸς] Cod. Mosc. Ὄπος.

τῆς οἴκαδε. ὁ δὲ, ἅτε οἰδοῦντος αὐτῷ τοῦ θυμοῦ,
παίει τὴν θεὸν τῷ δόρατι ἐς τὸν μηρόν· ἀπήγαγε δὲ
καὶ ἐκ τῆς Αὐλίδος ὀπίσω τὸν στρατόν. ἀναστρέψας[7])
δὲ ἐς τὴν οἰκίαν, τὴν θεὸν ἔδοξεν αὐτὴν τετρωμένην
φανῆναί οἱ τὸν μηρόν. τὸ δὲ ἀπὸ τούτου κατέλαβεν
Τεῦθιν φθινώδης νόσος, μόνοις δὲ Ἀρκάδων τοῖς ἐν-
ταῦθα οὐκ ἀπεδίδου καρπὸν οὐδένα ἡ γῆ. χρόνῳ δὲ
ὕστερον ἄλλα τε ἐχρήσθη σφίσιν ἐκ Δωδώνης, ὁποῖα
δρῶντες ἱλάσασθαι τὴν θεὸν ἔμελλον, καὶ ἄγαλμα
ἐποιήσαντο Ἀθηνᾶς ἔχον τραῦμα ἐπὶ τοῦ μηροῦ.
τοῦτο καὶ αὐτὸς τὸ ἄγαλμα εἶδον, τελαμῶνι πορ-
φυρῷ τὸν μηρὸν κατειλημμένον. καὶ ἄλλα ἐν Τευ-
θίδι, Ἀφροδίτης τε ἱερὸν καὶ Ἀρτέμιδός ἐστι. ταῦτα
μὲν δὴ ἐνταῦθά ἐστι. Κατὰ δὲ τὴν ὁδὸν τὴν ἐκ Γόρ- 4
τυνος ἐς Μεγάλην πόλιν πεποίηται μνῆμα τοῖς ἀπο-
θανοῦσιν ἐν τῇ πρὸς Κλεομένην[8]) μάχῃ. τὸ δὲ μνῆμα
τοῦτο ὀνομάζουσιν οἱ Μεγαλοπολῖται Παραιβάσιον,
ὅτι ἐς αὐτοὺς παρεσπόνδησεν ὁ Κλεομένης[9]). Παραι-
βασίου δὲ ἔχεται πεδίον ἑξήκοντα σταδίων μάλιστα·
καὶ πόλεως ἐρείπια Βερένθης[10]) ἐστὶν ἐν δεξιᾷ τῆς
ὁδοῦ, καὶ ποταμὸς ἔξεισιν αὐτόθι Βερενθεάτης, ὅσον
δὲ σταδίους προελθόντι πέντε, κάτεισιν ἐς τὸν Ἀλφειόν.

7) ἀναστρέψας] Ex Codice Mosc. dedi pro vulgata ἀναστρέψαντι, quam Xyland. reposuerat pro Aldina lectione ἀναστρέψασαν.

8) Κλεομένην] Ex Cod. Mosc. pro Κλεομένη.

9) ὅτι — ὁ Κλεομένης] Vide L. VII. C. 7.

10) Βερένθης] Stephan. Byz. habet Βρένθη et Βρενθεάτης, quod fluvii nomen quoque supra fuit L. V. C. 7. init.

## CAPUT XXIX.

De Trapezuntis urbis reliquiis, loco Bathos dicto et fonte Olympiade — Gigantum pugna cum diis — de Orontis cadavere reperto narratio — de urbis Basilidis reliquiis et Thocnia urbe.

Διαβάντων δὲ Ἀλφειὸν χώρα τε καλουμένη Τραπε-
ζουντία, καὶ πόλεώς ἐστιν ἐρείπια Τραπεζοῦντος. καὶ
αὖθις ἐπὶ τὸν Ἀλφειὸν ἐν ἀριστερᾷ καταβαίνοντι ἐκ
Τραπεζοῦντος, οὐ πόῤῥω τοῦ ποταμοῦ, Βάθος ἐστὶν
ὀνομαζόμενον, ἔνθα ἄγουσι τελετὴν διὰ ἔτους τρίτου
θεαῖς μεγάλαις· καὶ πηγή τε αὐτόθι ἐστὶν Ὀλυμπιὰς
καλουμένη τὸν ἕτερον τῶν ἐνιαυτῶν [1]) οὐκ ἀποῤῥέουσα·
2 καὶ πλησίον τῆς πηγῆς πῦρ ἀνίησι. Λέγουσι δὲ οἱ
Ἀρκάδες τὴν λεγομένην Γιγάντων μάχην καὶ θεῶν ἐν-
ταῦθα, καὶ οὐκ ἐν τῇ Θρακίᾳ γενέσθαι Παλλήνῃ,
καὶ θύουσιν ἀστραπαῖς αὐτόθι καὶ θυέλλαις τε καὶ
βρονταῖς. Γιγάντων δὲ ἐν μὲν Ἰλιάδι οὐδεμίαν ἐποιή-
σατο ὁ Ὅμηρος μνήμην· ἐν Ὀδυσσείᾳ δὲ [2]) ἔγραψε
μὲν, ὡς ταῖς Ὀδυσσέως ναυσὶ Λαιστρυγόνες ἐπέλθοιεν
Γίγασι καὶ οὐκ ἀνδράσιν εἰκασμένοι· ἐποίησε δὲ καὶ [3])
τὸν βασιλέα τῶν Φαιάκων λέγοντα εἶναι τοὺς Φαία-
κας ἐγγὺς ὥσπερ Κύκλωπας, καὶ τὸ Γιγάντων ἔθνος.
ἔν τε οὖν τούτοις δηλοῖ θνητοὺς ὄντας καὶ οὐ θεῖον
γένος τοὺς Γίγαντας, καὶ σαφέστερον ἐν τῷδε ἔτι [4])·

Ὅς

1) τὸν ἕτερον τῶν ἐνιαυτῶν] Valkenar. Diatrib. p. 289. C. corrigit τὸν ε΄ τῶν ἐν., *anno quoque quinto*, ut nominis Olympiadis ratio reddatur. Praeter necessitatem.

2) ἐν Ὀδυσσείᾳ δὲ etc.] Vid. Odyss. κ. v. 118 — 120.

3) ἐποίησε δὲ καὶ etc.] Vid. Odyss. η. v. 206.

4) ἐν τῷδε ἔτι] Vid. Odyss. η. v. 59.

Ὃς ποθ' ὑπερθύμοισι Γιγάντεσσιν βασίλευεν·
Ἀλλ' ὁ μὲν ὤλεσε λαὸν ἀτάσθαλον, ὤλετο δ' αὐτός.

ἐθέλουσι δ' αὐτῷ λαὸς ἐν τοῖς ἔπεσιν ἀνθρώπων οἱ
πολλοὶ καλεῖσθαι. Δράκοντας[5]) δὲ ἀντὶ ποδῶν τοῖς 3
Γίγασιν εἶναι, πολλαχῇ τε ὁ λόγος ἄλλῃ καὶ ἐν τῷδε
ἐδείχθη μάλιστα ὡς ἔστιν εὐήθης. Ὀρόντην τὸν Σύρων
ποταμὸν οὐ τὰ πάντα ἐν ἰσοπέδῳ μέχρι θαλάσσης
ῥέοντα, ἀλλὰ ἐπὶ κρημνόν τε ἀποῤῥῶγα καὶ ἐς κάταντες ἀπ' αὐτοῦ φερόμενον, ἠθέλησεν ὁ Ῥωμαίων
βασιλεὺς ἀναπλεῖσθαι ναυσὶν ἐκ θαλάσσης ἐς Ἀντιόχειαν πόλιν· ἔλυτρον οὖν σὺν πόνῳ τε καὶ δαπάνῃ
χρημάτων ὀρυξάμενος ἐπιτήδειον ἐς τὸν ἀνάπλουν,
ἐξέτρεψεν ἐς τοῦτο τὸν ποταμόν. ἀναξηρανθέντος
δὲ τοῦ ἀρχαίου ῥεύματος κεραμέα τε ἐν αὐτῷ σορὸς
πλέον ἢ ἑνός τε καὶ δέκα εὑρέθη πηχῶν, καὶ ὁ νεκρὸς
μέγεθός τε ἦν κατὰ τὴν σορὸν, καὶ ἄνθρωπος διὰ
παντὸς τοῦ σώματος. τοῦτον τὸν νεκρὸν ἐν Κλάρῳ ὁ
θεὸς ἀφικομένων ἐπὶ τὸ χρηστήριον τῶν Σύρων εἶπεν
Ὀρόντην εἶναι, γένους δὲ αὐτὸν εἶναι τοῦ Ἰνδῶν. εἰ
δὲ τὴν γῆν τὸ ἀρχαῖον οὖσαν ὑγρὰν ἔτι καὶ ἀνάπλεων νοτίδος θερμαίνων ὁ ἥλιος τοὺς πρώτους
ἐποίησεν ἀνθρώπους, ποίαν εἰκός ἐστιν ἄλλην χώραν ἢ
προτέραν τῆς Ἰνδῶν, ἢ μείζονας ἀνεῖναι[6]) τοὺς ἀνθρώπους, ἥ γε καὶ ἐς ἡμᾶς ἔτι καὶ ὄψεως τῷ παραλόγῳ καὶ μεγέθει διάφορα ἐκτρέφει θηρία; Τοῦ δὲ 4
χωρίου τοῦ ὀνομαζομένου Βάθους σταδίους ὡς δέκα
ἀφέ-

5) Δράκοντας] Sic ſcripſi pro Δράκοντες, conſtructionis ratione accuſativum exigente, uti *Sylb.* jam monuerat.

6) ἀνεῖναι] *proferre, gignere.* Vitioſe vulgatum fuit ἂν εἶναι. Sed illud reponendum eſſe, *Amaſ.* et res ipſa docebat.

ἀφέστηκε καλουμένη Βασιλίς· ταύτης ἐγένετο οἰκιστὴς Κύψελος, ὁ Κρεσφόντῃ τῷ Ἀριστομάχου τὴν θυγατέρα ἐκδούς· ἐπ' ἐμοῦ δὲ ἐρείπια ἡ Βασιλὶς ἦν, καὶ Δήμητρος ἱερὸν ἐν αὐτοῖς ἐλείπετο Ἐλευσινίας. ἐντεῦθεν δὲ προϊὼν, τὸν Ἀλφειὸν αὖθις διαβήσῃ, καὶ ἐπὶ Θωκνίαν ἀφίξῃ, τὸ ὄνομα ἀπὸ Θώκνου τοῦ Λυκάονος ἔχουσαν, ἐς ἅπαν δὲ ἐφ' ἡμῶν ἔρημον· ἐλέγετο δὲ ὁ Θῶκνος ἐν τῷ λόφῳ κτίσαι τὴν πόλιν. ποταμὸς δὲ ὁ Ἀμίνιος ῥέων παρὰ τὸν λόφον, ἐς τὸν Ἑλισσοῦντα 7) ἐκδίδωσι, καὶ οὐ πολὺ ἄπωθεν ἐς τὸν Ἀλφειὸν ὁ Ἑλισσών.

## CAPUT XXX.

De Heliſſonis fluvii meatu, Neptuni Epoptae templo — Megalopolis ab Heliſſone in II partes diviſae memoranda, Jovis Lycaei templum, Panis Sinoïs et Apollinis Baſſaei vel Epicurii ſignum — porticus Philippea, VI conclavia ἀρχεῖα dicta, et porticus Myropolis dicta — de Polybio, Lycortae filio — templo et ſigno Jovis Servatoris.

Ὁ δὲ Ἑλισσὼν οὗτος ἀρχόμενος ἐκ κώμης ὁμωνύμου (καὶ γὰρ τῇ κώμῃ τὸ ὄνομα Ἑλισσών ἐστι) τήν τε Διπαιέων καὶ τὴν Λυκαιάτιν χώραν, τρίτα δὲ αὐτὴν διεξελθὼν Μεγάλην πόλιν, σταδίοις ἀπωτέρω Μεγαλοπολιτῶν 1) τοῦ ἄστεως κάτεισιν ἐς τὸν Ἀλφειόν. πλησίον δὲ ἤδη τῆς πόλεως Ποσειδῶνός ἐστιν Ἐπόπτου
2 ναός· ἐλείπετο δὲ τοῦ ἀγάλματος ἡ κεφαλή. Διαῤῥοῦντος

ῥοῦντος

7) Ἑλισσοῦντα] Scribe Ἑλισσόντα a nominativo Ἑλισσών.

1) σταδίοις ἀπωτέρω Μεγ.] Hic numerum ſtadiorum excidiſſe, ſtatim videre licet. Amaſaeus *prope* XXX addidit, incertum num ex Codd. an de ſuo.

ῥοῦντος δὲ τὴν Μεγάλην πόλιν τοῦ ποταμοῦ τοῦ Ἑλισσόντος, καθὰ δὴ καὶ Κνίδον καὶ Μιτυλήνην δίχα οἱ Εὔριποι νέμουσιν, ἐν μέρει τῷ πρὸς ἄρκτους, δεξιῷ δὲ κατὰ τὸ μετέωρον τοῦ ποταμοῦ, πεποίηταί σφισιν ἀγορά· περίβολος δέ ἐστιν ἐν ταύτῃ λίθων, καὶ ἱερὸν Λυκαίου Διός· ἔσοδος δ᾽ ἐς αὐτὸ οὐκ ἔστι· τὰ γὰρ ἐντός ἐστι δὴ σύνοπτα [2])· βωμοί τε εἰσὶ τοῦ θεοῦ καὶ τράπεζαι δύο, καὶ ἀετοὶ ταῖς τραπέζαις ἴσοι, καὶ ἄγαλμα Πανὸς λίθου πεποιημένον, ἐπίκλησιν δὲ Σινόεις [3]) ἐστίν· αὐτῷ δὲ τήν τε ἐπίκλησιν γενέσθαι τῷ Πανὶ ἀπὸ νύμφης Σινόης λέγουσι, ταύτην δὲ σὺν ἄλλαις τῶν νυμφῶν καὶ ἰδίᾳ γενέσθαι τροφὸν τοῦ Πανός. ἔστι δὲ πρὸ τοῦ τεμένους τούτου χαλκοῦν ἄγαλμα Ἀπόλλωνος θέας ἄξιον, μέγεθος μὲν ἐς πόδας δώδεκα· ἐκομίσθη δὲ ἐκ τῆς Φιγαλέων συντελείας ἐς κόσμον τῇ Μεγάλῃ πόλει. τὸ δὲ χωρίον, ἔνθα τὸ ἄγαλμα ἵδρυτο ἐξ ἀρχῆς ὑπὸ Φιγαλέων, ὀνομάζεται Βᾶσσαι· τῷ θεῷ δὲ ἡ ἐπίκλησις [4]) ἠκολούθηκε μὲν ἐκ τῆς Φιγαλέων· ἐφότῳ δὲ ὄνομα ἔσχεν Ἐπικούριος, δηλώσει μοι τὰ ἐς Φιγαλέας τοῦ λόγου [5]). ἔστι δὲ ἐν δεξιᾷ τοῦ Ἀπόλλωνος ἄγαλμα οὐ μέγα μητρὸς θεῶν, τοῦ ναοῦ δὲ, ὅτι μὴ οἱ κίονες, ἄλλο ὑπόλοιπον οὐδέν. πρὸ δὲ τοῦ ναοῦ τῆς Μητρὸς ἀνδριὰς μὲν οὐδείς ἐστι, δῆλα δὲ ἦν τὰ βάθρα, ἐφ᾽ ὧν ἀνδριάντες ποτὲ ἑστήκεσαν. ἐλεγεῖον δὲ ἐπὶ ἑνὸς γεγραμμένον τῶν βάθρων Διοφάνους φησὶν εἶναι τὴν εἰκόνα,

2) τὰ γὰρ ἐ. ἐ. δὴ σύνοπτα] Haec repugnare videntur iis, quae modo praecedunt, nec dubito, quin ſcribendum ſit τὰ γὰρ ἐ. ἐ. δὴ οὐ σύνοπτα.

3) Σινόεις] Cod. Moſc. Συνόεις.

4) ἡ ἐπίκλησις] ſcilicet Βασσαῖος.

5) δηλώσει — τοῦ λόγου] Vid. C. 41. hujus Libri.

εἰκόνα, Διαίου μὲν υἱοῦ, συντήξαντος δὲ ἀνδρὸς πρώτου Πελοπόννησον τὴν πᾶσαν ἐς τὸν ὀνομασθέντα
3 Ἀχαϊκὸν σύλλογον. Στοὰν δὲ τῆς ἀγορᾶς ὀνομαζομένην Φιλίππειον 6), οὐ Φίλιππος ἐποίησεν ὁ Ἀμύντου, χαριζόμενοι δέ οἱ Μεγαλοπολῖται τὴν ἐπωνυμίαν διδόασιν αὐτῷ τοῦ οἰκοδομήματος· Ἑρμοῦ δὲ Ἀκακησίου πρὸς αὐτῇ ναὸς κατεβέβλητο, καὶ οὐδὲν ἐλείπετο ὅτι μὴ χελώνη λίθου. ταύτης δὲ ἔχεται τῆς Φιλιππείου μέγεθος ἀποδέουσα ἑτέρα στοά· Μεγαλοπολίταις δὲ αὐτόθι ᾠκοδομημένα ἐστὶ τὰ ἀρχεῖα, ἀριθμὸν οἰκήματα ἕξ· ἐν ἑνὶ δέ ἐστιν αὐτῶν Ἐφεσίας ἄγαλμα Ἀρτέμιδος, καὶ ἐν ἑτέρῳ χαλκοῦς Πὰν πηχυαῖος ἐπίκλησιν Σκολείτας 7)· μετεκομίσθη δὲ ἀπὸ λόφου τοῦ Σκολείτα· καὶ ὁ λόφος οὗτος τοῦ τείχους ἐστὶν ἐντός, ἀπὸ δὲ αὐτοῦ κάτεισιν ὕδωρ ἐς τὸν Ἑλισσόντα ἐκ πηγῆς. τῶν ἀρχείων δὲ ὄπισθεν ναὸς Τύχης καὶ ἄγαλμα λίθου πεποίηται ποδῶν πέντε οὐκ ἀποδέον. στοὰν δὲ ἥντινα καλοῦσι Μυρόπωλιν, ἔστι μὲν τῆς ἀγορᾶς, ᾠκοδομήθη δὲ ἀπὸ λαφύρων, ἡνίκα τὸ πταῖσμα ἐγένετο Ἀκροτάτῳ τῷ Κλεομένους καὶ Λακεδαιμονίων τοῖς συστρατεύσασι, μαχεσαμένοις πρὸς Ἀριστόδημον τυραννίδα ἐν Μεγάλῃ πόλει ποτὲ
4 ἔχοντα. Μεγαλοπολίταις δὲ ἐπὶ τῆς ἀγορᾶς ἐστιν ὄπισθεν τοῦ περιβόλου τοῦ ἀνειμένου τῷ Λυκαίῳ Διὶ ἀνὴρ ἐπειργασμένος ἐπὶ στήλῃ Πολύβιος Λυκόρτα· γέγραπται δὲ καὶ ἐλεγεῖα ἐπ' αὐτῷ λέγοντα, ὡς ἐπὶ γῆν καὶ θάλασσαν πᾶσαν πλανηθείη, καὶ ὅτι σύμμαχος γένοιτο Ῥωμαίων, καὶ παύσειεν αὐτοὺς ὀργῆς ἐς

ἐς

6) Φιλίππειον] Cod. Mosc. Φιλίππιον et sic paullo post Φιλιππίου.

7) Σκολείτας] Cod. Mosc. Σκοτείλας, et mox pro τοῦ τείχους exhibet τοῦ σκότους.

ἐς τὸ Ἑλληνικόν. συνέγραψε δὲ ὁ Πολύβιος οὗτος
καὶ ἄλλα ἔργα Ῥωμαίων, καὶ ὡς Καρχηδονίοις κατέ-
στησαν ἐς πόλεμον, αἰτία δὲ ἥτις ἐγένετο αὐτοῦ, καὶ
ὡς ὀψὲ οὐκ ἄνευ κινδύνων μεγάλων Ῥωμαῖοι Σκιπίωνά
τινα Καρχηδονιακὸν [8]) ὀνομάζουσι, τέλος τε ἐπιθέντα
τῷ πολέμῳ, καὶ τὴν Καρχηδόνα καταβαλόντα ἐς
ἔδαφος. ὅσα μὲν δὴ Πολυβίῳ παραινοῦντι ὁ Ῥω-
μαῖος ἐπείθετο, ἐς ὀρθὸν ἐχώρησεν αὐτῷ· ἃ δὲ οὐκ
ἠκροᾶτο διδάσκοντος, γενέσθαι οἱ λέγουσιν ἁμαρτή-
ματα. Ἑλλήνων δὲ ὁπόσαι πόλεις ἐς τὸ Ἀχαϊκὸν
συνετέλουν, παρὰ Ῥωμαίων εὕραντο αὗται Πολύβιόν
σφισι πολιτείας τε καταστήσασθαι καὶ νόμους θεῖναι.
τῆς δ' εἰκόνος τοῦ Πολυβίου τὸ βουλευτήριόν ἐστιν ἐν
ἀριστερᾷ. τοῦτο μὲν δή ἐστιν ἐνταῦθα. Στοὰν δὲ τῆς 5
ἀγορᾶς Ἀριστάνδρειον ἐπίκλησιν ἄνδρα τῶν ἀστῶν
Ἀρίστανδρον οἰκοδομῆσαι λέγουσι· ταύτης τῆς στοᾶς
ἐστιν ἐγγυτάτω ὡς πρὸς ἥλιον ἀνίσχοντα ἱερὸν Σωτῆ-
ρος ἐπίκλησιν Διός· κεκόσμηται δὲ πέριξ κίοσι.
καθεζομένῳ δὲ τῷ Διῒ ἐν θρόνῳ παρεστήκασι τῇ μὲν
ἡ Μεγάλη πόλις, ἐν ἀριστερᾷ δὲ Ἀρτέμιδος Σωτείρας
ἄγαλμα· ταῦτα μὲν λίθου τοῦ Πεντελησίου Ἀθη-
ναῖοι Κηφισόδοτος καὶ Ξενοφῶν εἰργάσαντο.

8) Σκιπίωνά τινα Καρχ.] Cod. Mosc. Σκιπίωνα ὄντινα Κ.

CAPUT

## CAPUT XXXI.

Memoranda Megalopolis porro recenſentur, templum et ſigna magnarum dearum, Cereris et Proſerpinae Soſpitae cum aliis ſignis additis — Nympharum Arcadicarum ſigna ac templum et ſignum Jovis Philii — templum Veneris machinatricis — ſigna eorum, qui primi Megalopolitanis initia inſtituerunt, et deorum ſigna quadrangula forma — templum Proſerpinae — templum Minervae Poliadis et Junonis Teleae ac fonte Bathyllo.

Τὸ δὲ ἕτερον πέρας τῆς ϛοᾶς παρέχεται τὸ πρὸς ἡλίου δυσμῶν περίβολον θεῶν ἱερὸν τῶν Μεγάλων· αἱ δέ εἰσιν αἱ Μεγάλαι θεαὶ Δημήτηρ καὶ Κόρη, καθότι ἐδήλωσα ἤδη καὶ ἐν τῇ Μεσσηνίᾳ συγγραφῇ [1])· τὴν Κόρην δὲ Σώτειραν καλοῦσιν οἱ Ἀρκάδες. ἐπειργασμένοι δὲ ἐπὶ τύπων [2]) πρὸ τῆς ἐσόδου, τῇ μὲν Ἄρτεμις, τῇ δὲ Ἀσκληπιός ἐϛι καὶ Ὑγεία. Θεαὶ δὲ αἱ Μεγάλαι Δημήτηρ μὲν λίθου διὰ πάσης, ἡ δὲ Σώτειρα τὰ ἐσθῆτος ἐχόμενα ξύλου πεποίηται· μέγεθος δὲ ἑκατέρας πέντε που καὶ δέκα εἰσὶ πόδες τὰ ἀγάλματα. καὶ πρὸ αὐτῶν κόρας ἐποίησεν οὐ μεγάλας, ἐν χιτῶσί τε καθήκουσιν ἐς σφυρά, καὶ ἀνθῶν ἀνάπλεων ἑκατέρα τάλαρον ἐπὶ τῇ κεφαλῇ φέρει· εἶναι δὲ θυγατέρες τοῦ Δαμοφῶντος λέγονται· τοῖς δὲ ἐπανάγουσιν ἐς τὸ θειότερον, δοκεῖ σφᾶς Ἀθηνᾶν τε εἶναι καὶ Ἄρτεμιν τὰ ἄνθη μετὰ τῆς Περσεφόνης συλλεγούσας. ἔϛι δὲ καὶ Ἡρακλῆς παρὰ τῇ

1) καθότι — συγγραφῇ] Vid. L. IV. C. 1., ubi tamen non diſertis verbis illud declaravit Pauſanias.

2) ἐπειργασμένοι δὲ ἐπὶ τύπων] De hoc artis operum genere vide not. 10. ad L. II. C. 19.

τῇ Δήμητρι μέγεθος μάλιςα πῆχυν· τοῦτον τὸν Ἡρα-
κλῆν εἶναι τῶν Ἰδαίων καλουμένων Δακτύλων, Ὀνο-
μάκριτός φησιν ἐν τοῖς ἔπεσι· κεῖται δὲ ἔμπροσθεν.
ἐπειργασμέναι τε ἐπ᾽ αὐτῇ [3]) δύο τε εἰσὶν Ὧραι, καὶ
ἔχων Πὰν σύριγγα, καὶ Ἀπόλλων κιθαρίζων. ἔςι
δὲ καὶ ἐπίγραμμα ἐπ᾽ αὐτοῖς, εἶναι σφᾶς θεῶν τῶν
πρώτων. Πεποίηνται δὲ ἐπὶ τραπέζῃ καὶ Νύμφαι· 2
Ναῒς μὲν Δία [4]) φέρουσά ἐςι νήπιον παῖδα, Ἀνθρα-
κία δὲ, νύμφη τῶν Ἀρκαδικῶν καὶ αὕτη, δᾷδα
ἔχουσά ἐςιν, Ἁγνὼ δὲ, τῇ μὲν ὑδρίαν, ἐν δὲ τῇ ἑτέρᾳ
χειρὶ φιάλην· Ἀρχιρόης δὲ καὶ Μυρτωέσσης εἰσὶν
ὑδρίαι τὰ φορήματα, καὶ ὕδωρ δῆθεν ἀπ᾽ αὐτῶν
κάτεισιν. τοῦ περιβόλου δέ ἐςιν ἐντὸς Φιλίου Διὸς
ναὸς, Πολυκλείτου μὲν τοῦ Ἀργείου τὸ ἄγαλμα,
Διονύσῳ δὲ ἐμφερές· κόθορνοί τε γὰρ τὰ ὑποδήματά
ἐςιν αὐτῷ, καὶ ἔχει τῇ χειρὶ ἔκπωμα, τῇ δὲ ἑτέρᾳ
θύρσον· κάθηται δὲ ἀετὸς ἐπὶ τῷ θύρσῳ, καί τοί γε
τοῖς εἰς Διόνυσον λεγομένοις τοῦτο οὐχ ὁμολογοῦν
ἐςι. τούτου δὲ ὄπισθε τοῦ ναοῦ δένδρων ἐςὶν ἄλσος
οὐ μέγα θριγκῷ περιεχόμενον· ἐς μὲν δὴ τὸ ἐντὸς
ἔσοδος οὐκ ἔςιν ἀνθρώποις· πρὸ δὲ αὐτοῦ Δήμητρος
καὶ Κόρης ὅσον τε ποδῶν τριῶν εἰσιν ἀγάλματα. Ἔςι 3
δὲ ἐντὸς τοῦ περιβόλου τῶν Μεγάλων θεῶν καὶ Ἀφρο-
δίτης ἱερόν· πρὸ μὲν δὴ τῆς ἐξόδου ξόανά ἐςιν ἀρ-
χαῖα, Ἥρα καὶ Ἀπόλλων τε καὶ Μοῦσαι· ταῦτα
κομι-

3) ἐπ. τε ἐπ᾽ αὐτῇ] *ad illam, prope illam,* scil. Cererem. *Goldhagen* in germanic. interpr. post κεῖται δὲ ἔμπρ. excidisse τράπεζα putat et αὐτῇ ad hanc mensam refert.

4) Ναῒς μὲν Δία etc.] Cod. Mosc. Ναΐδα. Sic Δία Nymphae et Ναῒς infantis nomen esset. Sed Jovem a Nymphis nutritum esse satis constat. Conf. C. 47. Mox pro Ἀνθρακία Cod. Mosc. dat Αὐθρακία.

κομισθῆναί φασιν ἐκ Τραπεζοῦντος. ἀγάλματα δὲ
ἐν τῷ ναῷ Δαμοφῶν ἐποίησεν, Ἑρμῆν ξύλου καὶ
Ἀφροδίτης ξόανον· καὶ ταύτης χεῖρές εἰσι λίθου καὶ
πρόσωπόν τε καὶ ἄκροι πόδες. τὴν δὲ ἐπίκλησιν τῇ
θεῷ Μηχανῖτιν ὀρθότατα ἔθεντο, ἐμοὶ δοκεῖν· Ἀφρο-
δίτης τε εἵνεκα, καὶ ἔργων τῶν ταύτης πλεῖστα μὲν
γὰρ ἐπιτεχνήσεις, παντοῖα δὲ ἀνθρώποις ἀνευρημένα
4 ἐς λόγους ἐστίν. Ἑστήκασι δὲ καὶ ἀνδριάντες ἐν οἰκή-
ματι, Καλλιγνώτου τε καὶ Μέντα, καὶ Σωσιγένους τε
καὶ Πώλου· καταστήσασθαι δὲ οὗτοι Μεγαλοπολί-
ταις λέγονται πρῶτον τῶν μεγάλων θεῶν τὴν τελετὴν,
καὶ τὰ δρώμενα τῶν ἐν Ἐλευσῖνί ἐστι μιμήματα. κεῖ-
ται δὲ ἐντὸς τοῦ περιβόλου θεῶν τοσάδε ἀγάλματα
ἄλλων, τὸ τετράγωνον παρεχόμενα σχῆμα, Ἑρμῆς
τε ἐπίκλησιν Ἀγήτωρ [5]), καὶ Ἀπόλλων, καὶ Ἀθηνᾶ
τε, καὶ Ποσειδῶν· ἔτι δὲ Ἥλιος ἐπωνυμίαν ἔχων,
Σωτὴρ δὲ εἶναι καὶ Ἡρακλῆς [6]). Ὠικοδόμηται δὲ
καί σφισιν ἱερὸν μεγέθει μέγα, καὶ ἄγουσιν ἐνταῦθα
5 τὴν τελετὴν ταῖς θεαῖς. Τοῦ ναοῦ δὲ τῶν μεγάλων
θεῶν ἐστιν ἱερὸν ἐν δεξιᾷ καὶ Κόρης [7])· λίθου δὲ τὸ
ἄγαλμα ποδῶν ὀκτὼ μάλιστα· ταινίαι δὲ ἐπέχουσι
διαπαντὸς τὸ βάθρον. ἐς τοῦτο τὸ ἱερὸν γυναιξὶ τὸν
πάντα ἐστὶν ἔσοδος χρόνον, οἱ δὲ ἄνδρες οὐ πλέον ἢ
6 ἅπαξ κατὰ ἔτος ἕκαστον ἐς αὐτὸ ἐσιᾶσι. Γυμνάσιον
δὲ

5) Ἀγήτωρ] *dux, princeps.* Vide Hesych. v. Ἀγήστωρ et Ἀγητόριον ibique not.

6) Σωτὴρ δὲ εἶναι καὶ Ἡρακ.] Haec jungenda sunt: *cognomen indicat, solem Sotera et Herculem (esse) dici.* Soli enim Servatoris et Herculis cognomina fuisse, discimus ex Macrob. Saturn. L. I. C. 20.

7) καὶ Κόρης] *Amas.* legisse videtur Δήμητρος καὶ Κόρης, vertens Cereris et Proserpinae; sed cum singularis numerus τὸ ἄγαλμα subsequatur, vulgata bene se habere patet.

δὲ τῇ ἀγορᾷ συνεχὲς κατὰ ἡλίου δυσμάς ἐςιν ᾠκοδομημένον. τῆς ϛοᾶς δὲ, ἣν ἀπὸ τοῦ Μακεδόνος Φιλίππου καλοῦσι, ταύτης εἰσὶ δύο ὄπισθεν λόφοι, οὐκ ἐς ὕψος ἀνήκοντες· ἐρείπια δὲ Ἀθηνᾶς ἱεροῦ Πολιάδος ἐπὶ αὐτῷ, καὶ τῷ ἑτέρῳ ναός ἐςιν Ἥρας Τελείας, ὁμοίως καὶ ταῦτα ἐρείπια. ὑπὸ τούτῳ τῷ λόφῳ Βάθυλλος καλουμένη πηγή· συντελεῖ καὶ αὕτη τῷ ποταμῷ Ἑλισσόντι ἐς μέγεθος. τοσάδε ἐνταῦθα ἀξιόχρεα ἦν.

## CAPUT XXXII.

Memoranda alterius urbis Megalopolis partis, theatrum in Graecia maximum, curia Therſilium dicta et Ammonis ſignum cornutum — Martis ara et ſtadium — templum Dianae Agroterae, et deorum, qui Ergatae dicuntur, ſigna quadrangula forma — oſſa Gigantis.

Ἡ δὲ ἐπέκεινα τοῦ ποταμοῦ μοῖρα ἡ κατὰ μεσημβρίαν παρείχετο ἐς μνήμην θέατρον μέγιςον τῶν ἐν τῇ Ἑλλάδι· ἐν δὲ αὐτῷ καὶ ἀέννaός ἐςιν ὕδατος πηγή. τοῦ θεάτρου δὲ οὐ πόῤῥω λείπεται τοῦ βουλευτηρίου θεμέλια, ὃ τοῖς Μυρίοις ἐπεποίητο Ἀρκάδων [1]· ἐκαλεῖτο δὲ ἀπὸ τοῦ ἀναθέντος Θερσίλιον· πλησίον δὲ οἰκία, ἰδιώτου κατ᾽ ἐμὲ κτῆμα ἀνδρὸς, ὃ Ἀλεξάνδρῳ τῷ Φιλίππου τὸ ἐξ ἀρχῆς ἐποίησαν. Ἔςι δὲ ἄγαλμα Ἄμμωνος πρὸς τῇ οἰκίᾳ, τοῖς τετραγώνοις

 Ἑρμαῖς

1) τοῖς Μυρίοις — Ἀρκάδων] *Amaſ.* perverſe interpretatur: *infinitae prope Arcadum multitudini.* Μύριοι Ἀρκάδ. fuere *delecti ex toto corpore Arcadico, penes quos ſumma rerum erat.* Illos Xenoph. Hellen. L. VII. C. 1. §. 26. τοὺς Μυρίους τοὺς Ἀρκάδων προςάτας vocat. Locus claſſicus de iis eſt in Diodor. Sic. L. XV. ſ. 59. init., ubi vide Weſſeling.

Ἑρμαῖς εἰκασμένον, κέρατα ἐπὶ τῆς κεφαλῆς ἔχον
κριοῦ. τὸ δὲ τῶν Μουσῶν Ἀπόλλωνός τε ἱερὸν καὶ
Ἑρμοῦ κατασκευασθέν σφισιν ἐν κοινῷ· παρείχετο
δὲ ἐς μνήμην θεμέλια οὐ πολλά [2])· ἦν δὲ τῶν Μου-
σῶν μία· ἔστι καὶ Ἀπόλλωνος ἄγαλμα κατὰ τοὺς
Ἑρμᾶς τοὺς τετραγώνους τέχνην [3]). ἐρείπια δὲ καὶ
τῆς Ἀφροδίτης ἦν τὸ ἱερόν, πλὴν ὅσον πρόναός [4]) τε
ἐλείπετο ἔτι καὶ ἀγάλματα ἀριθμὸν τρία, ἐπίκλησιν
δὲ οὐρανία [5]), τῇ δ' ἔστι πάνδημος, τῇ τρίτῃ δὲ οὐδὲν
2 ἐτίθεντο. Ἀπέχει δὲ οὐ πολὺ Ἄρεως βωμός· ἐλέγετο
δὲ ὡς καὶ ἐξ ἀρχῆς ᾠκοδομηθείη τῷ θεῷ. πεποίηται
δὲ καὶ στάδιον ὑπὲρ τῆς Ἀφροδίτης, τῇ μὲν [6]) ἐπὶ τὸ
θέατρον καθῆκον· καὶ κρήνη σφίσιν ἐστὶν αὐτόθι,
ἣν ἱερὰν Διονύσου νομίζουσι· κατὰ δὲ τὸ ἕτερον τοῦ
σταδίου πέρας Διονύσου ναὸς ἐλέγετο ὑπὸ τοῦ θεοῦ
κεραυνωθῆναι γενεαῖς δύο ἐμοῦ πρότερον· καὶ ἐρείπια
οὐ πολλὰ ἔτι ἐς ἐμὲ ἦν αὐτοῦ. Ἡρακλέους δὲ κοινὸς
καὶ Ἑρμοῦ πρὸς τῷ σταδίῳ ναὸς μὲν οὐκ ἔτι ἦν, μόνος
3 δέ σφισι βωμὸς ἐλείπετο. Ἔστι δ' ἐν τῇ μοίρᾳ ταύτῃ
λόφος

2) θεμέλια οὐ πολλά] *Kuhn.* θεμέλια non fundamenta templi hic denotare putat, sed βάσεις, quibus inſiſtebant ſimulacra, ſeu ipſa ſimulacra. Sic Suidas: βάθρον, θεμέλιον· καὶ βάθρα, ἀγάλματα. Conf. Heſych. v. θέμηλα. Mallem tamen hic fundamenta templi intelligere, uti paullo ſupra τοῦ βουλευτηρίου θεμέλια, et infra ἐρείπια οὐ πολλά.

3) τέχνην] ſcilicet κατά, uti ſaepius τέχνην, ἡλικίαν abſolute poſita ſunt: *quod attinet ad artificium.* Nec tamen repugno, ſi ſcribere malis τέχνη.

4) πρόναός] Ex Amaſaei interpretatione hoc reſtitui pro male vulgato πρόσναος.

5) ἐπίκλησιν δὲ οὐρανία] Forte ſint, qui malint ἐπίκλησις, ut a ſequenti ἔστι pendere poſſit. Sed ex Pauſaniae more haec paullo negligentius enunciata ſunt pro ἡ μὲν (κατ') ἐπίκλησιν οὐρανία (ἐστί).

6) τῇ μὲν] *altera parte, ſeu altero latere.* Reſpondent ſubſequentia κατὰ δὲ τὸ ἕτερον τοῦ σταδίου πέρας.

λόφος πρὸς ἀνίσχοντα ἥλιον, καὶ Ἀγροτέρας ἐν αὐτῷ ναὸς Ἀρτέμιδος, ἀνάθημα Ἀριστοδήμου καὶ τοῦτο. τῆς δὲ Ἀγροτέρας ἐστὶν ἐν δεξιᾷ τέμενος· ἐνταῦθα ἔστι μὲν ἱερὸν Ἀσκληπιοῦ καὶ ἄγαλμα, αὐτός τε καὶ Ὑγεία· εἰσὶ δὲ ὑποκαταβάντι ὀλίγον θεοὶ (παρέχονται δὲ καὶ οὗτοι σχῆμα τετράγωνον, Ἐργάται δέ ἐστιν αὐτοῖς ἐπίκλησις) Ἀθηνᾶ τε Ἐργάνη, καὶ Ἀπόλλων Ἀγυιεύς· τῷ δὲ Ἑρμῇ καὶ Ἡρακλεῖ καὶ Εἰλειθυίᾳ πρόσεστιν ἐξ ἐπῶν τοῦ Ὁμήρου φήμη [7]), τῷ μὲν, Διός τε αὐτὸν διάκονον εἶναι καὶ ὑπὸ τὸν Ἅδην ἄγειν τῶν ἀπογιγνομένων τὰς ψυχάς· Ἡρακλεῖ δὲ, ὡς πολλούς τε καὶ χαλεποὺς τελέσειεν ἄθλους· Εἰλειθυίᾳ δὲ ἐποίησεν ἐν Ἰλιάδι ὠδῖνας γυναικῶν μέλειν. ἔστι δὲ καὶ ἄλλο ὑπὸ τὸν λόφον τοῦτον Ἀσκληπιοῦ παιδὸς ἱερόν· τούτου μὲν δὴ τὸ ἄγαλμα ὀρθὸν πεποίηται πηχυαῖον μάλιστα· Ἀπόλλωνος δὲ [8]) ἐν θρόνῳ κάθηται ποδῶν ἓξ οὐκ ἀποδέον μέγεθος. 4 Ἀνάκειται δὲ αὐτόθι καὶ ὀστᾶ ὑπερήκοντα, ἢ ὡς ἀνθρώπου δοκεῖν· καὶ δὴ καὶ ἐλέγετο ἐπ' αὐτοῖς, εἶναι τῶν Γιγάντων ἑνὸς, οὓς ἐς τὴν συμμαχίαν τῆς Ῥέας ἤθροισεν Ὁπλάδαμος, ἃ δὴ καὶ ἐς ὕστερον ἐπέξεισιν ἡμῖν ὁ λόγος [9]). τούτου δέ ἐστι πηγὴ τοῦ ἱεροῦ πλησίον, καὶ ἀπ' αὐτῆς ὁ Ἑλισσὼν τὸ ὕδωρ δέχεται κατερχόμενον.

7) τῷ δὲ Ἑρμῇ καὶ Ἡρακλεῖ καὶ Εἰλειθυίᾳ πρόσεστιν — φήμη] ſc. Ἐργάτας εἶναι. Atque horum deorum ſigna inter deos Ἐργάτας hic poſita fuiſſe putandum eſt. Inde ſententiae nexus petendus, qui aliter prorſus deeſſet. Locus Homeri de Mercurio eſt Odyſſ. ω. v. 1. 10 99., de Herculis laboribus Iliad. θ. v. 362. ſq. et de Ilithyia parturientibus opem ferente Iliad. π. v. 187., τ. v. 103.

8) Ἀπόλλωνος δὲ] ſcilicet τὸ ἄγαλμα, quae vox praecedit.

9) Ὁπλάδαμος, — ὁ λόγος] *Amaſ* Hoplodamus. *Kuhn.* ex analogia Ὁπλοδάμας ſcribendum putat. Sed Ὁπλάδαμος etiam eſt infra C. 36., ubi plura de eo.

## CAPUT XXXIII.

De Megalopoli diruta aliisque nobilibus urbibus fortunae arbitrio everſis — inſula Chryſe fluctibus hauſta et inſula Hiera.

Εἰ δὲ ἡ Μεγάλη πόλις προθυμίᾳ τε τῇ πάσῃ συνοικισθεῖσα ἀπὸ Ἀρκάδων, καὶ ἐπὶ μεγίσταις τῶν Ἑλλήνων ἐλπίσιν ἐς αὐτὴν, κόσμον τὸν ἅπαντα καὶ εὐδαιμονίαν τὴν ἀρχαίαν ἀφῄρηται, καὶ πολλά ἐστιν αὐτῆς ἐρείπια ἐφ᾽ ἡμῶν· θαῦμα οὐδὲν ἐποιησάμην, εἰδὼς τὸ δαιμόνιον νεώτερα ἀεί τινα ἐθέλον ἐργάσασθαι, καὶ ὁμοίως τὰ πάντα τά τε ἐχυρὰ, καὶ τὰ ἀσθενῆ, καὶ τὰ γινόμενά τε καὶ ὁπόσα ἀπόλλυνται, μεταβάλλουσαν τὴν τύχην, καὶ ὅπως ἂν αὐτῇ παρίστηται, μετὰ ἰσχυρᾶς ἀνάγκης ἄγουσαν. Μυκῆναι μέν γε τοῦ πρὸς Ἰλίῳ πολέμου τοῖς Ἕλλησιν ἡγησαμένη, καὶ Νῖνος, ἔνθα ἦν Ἀσσυρίοις βασίλεια, καὶ Βοιώτιαι Θῆβαι προστῆναι τοῦ Ἑλληνικοῦ ποτε ἀξιωθεῖσαι, αἱ μὲν ἠρήμωνται πανώλεθροι, τὸ δὲ ὄνομα τῶν Θηβῶν ἐς ἀκρόπολιν μόνην καὶ οἰκήτορας καταβέβηκεν οὐ πολλούς. τὰ δὲ ὑπερηρκότα πλούτῳ τὸ ἀρχαῖον, Θῆβαί τε αἱ Αἰγύπτιοι [1]) καὶ ὁ Μινύης Ὀρχομενὸς [2]), καὶ ἡ Δῆλος τὸ κοινὸν Ἑλλήνων ἐμπόριον, αἱ μὲν ἀνδρὸς ἰδιώτου μέσου δυνάμει χρημάτων καταδέουσιν ἐς εὐδαιμονίαν, ἡ Δῆλος δὲ ἀφελόντι τοὺς ἀφικνουμένους παρ᾽ Ἀθηναίων ἐς τοῦ ἱεροῦ τὴν φρουρὰν, Δηλίων γε εἵνεκα [3]) ἔρημός ἐστιν ἀνθρώπων. Βαβυ-

1) Αἰγύπτιοι] Forte rectius Αἰγύπτιαι.

2) ὁ Μινύης Ὀρχομενὸς] *Kuhn.* bene monet, ſcribendum eſſe Μινυήϊος, uti L. IX. C 36.

3) ἀφελόντι τοὺς ἀφ. — Δηλίων γε εἵνεκα etc.] *ſi ab iis dis-*

Βαβυλῶνος δὲ τοῦ μὲν Βήλου τὸ ἱερὸν λείπεται·
Βαβυλῶνος δὲ ταύτης, ἥντινα εἶδε πόλεων τῶν τότε
μεγίστην ἥλιος, οὐδὲν ἔτι ἦν εἰ μὴ τεῖχος, καθὰ καὶ
Τίρυνθος τῆς ἐν τῇ Ἀργολίδι. ταῦτα μὲν ἐποίησεν ὁ
δαίμων εἶναι τὸ μηδέν. Ἡ δὲ Ἀλεξάνδρου πόλις ἐν
Αἰγύπτῳ καὶ ἡ Σελεύκου παρὰ τῷ Ὀρόντῃ, χθές τε
ᾠκισμέναι καὶ πρώην, ἐς τοσοῦτο ἐπιδεδώκασι μεγέ-
θους καὶ εὐδαιμονίας, ὅτι σφᾶς ἡ τύχη δεξιοῦται.
Ἐπιδείκνυται δὲ καὶ ἐν τῷδε ἔτι τὴν ἰσχὺν μείζονα 2
καὶ θαύματος πλείονος ἢ κατὰ συμφορὰς καὶ εὐπρα-
γίας πόλεων· Λήμνου γὰρ πλοῦν ἀπεῖχεν οὐ πολὺν
Χρυσῆ νῆσος, ἐν ᾗ καὶ τῷ Φιλοκτήτῃ γενέσθαι συμ-
φορὰν ἐκ τοῦ ὕδρου φασί· ταύτην κατέλαβεν ὁ κλύ-
δων πᾶσαν, καὶ κατέδυ τε ἡ Χρυσῆ καὶ ἠφάνισται
κατὰ τοῦ βυθοῦ. νῆσον δὲ ἄλλην καλουμένην Ἱερὰν,
τόνδε οὐκ ἦν χρόνον [4]). οὕτω μὲν τὰ ἀνθρώπινα πρόσ-
καιρά τε καὶ οὐδαμῶς ἐστιν ἐχυρά.

*discesseris* (iis exceptis), *qui ab Athenienfibus etc.* — *quod ad Delios attinet* (si Delios tantum numeres) etc.

4) νῆσον δὲ — χρόνον] Inversio constructionis nimis dura, si haec pro νῆσος δὲ ἄλλη καλουμένη Ἱερὰ dicta sint. Post Ἱερὰν pauca excidisse, forte ἀνέφηνε, ἢ, probabilius mihi esse videtur: (ὁ κλύδων) νῆσον δὲ ἄλλην — ἀνέφηνε, ἢ τόνδε etc.

## CAPUT XXXIV.

Memoranda in via a Megalopoli Meſſeniam verſus, templum dearum Maniarum — Dactyli monumentum, locus Ace dictus, et de Oreſtis inſania narratio — via ex Mantinenſi agro ad Alpheum, Nymphas, Hermaeum.

Ἐκ δὲ Μεγάλης πόλεως ἰόντι ἐς Μεσσηνίαν, καὶ ϛαδίους μάλιϛα προελθόντι ἑπτὰ, ἔϛιν ἐν ἀριϛερᾷ τῆς λεωφόρου θεῶν ἱερόν [1]) · καλοῦσι δὲ καὶ αὐτὰς τὰς θεὰς καὶ τὴν χώραν τὴν περὶ τὸ ἱερὸν Μανίας· δοκεῖ δέ μοι, θεῶν τῶν Εὐμενίδων ἐϛὶν ἐπίκλησις, καὶ Ὀρέϛην ἐπὶ τῷ φόνῳ τῆς μητρός φασιν αὐτόθι μανῆναι.
2 Οὐ πόῤῥω δὲ τοῦ ἱεροῦ γῆς χῶμά ἐϛιν οὐ μέγα, ἐπίθημα ἔχον λίθου πεποιημένον δάκτυλον, καὶ δὴ καὶ ὄνομα τῷ χώματί ἐϛι Δακτύλου μνῆμα· ἐνταῦθα ἔκφρονα Ὀρέϛην γενόμενον λέγουσιν ἕνα τῆς ἑτέρας τῶν χειρῶν ἀποφαγεῖν δάκτυλον. τούτῳ δὲ ἐϛιν ἕτερον συνεχὲς χωρίον Ἄκη καλούμενον, ὅτι ἐγένετο ἐν αὐτῷ τῆς νόσου τῷ Ὀρέϛῃ τὰ ἰάματα· πεποίηται δὲ Εὐμενίσι καὶ αὐτόθι ἱερόν. ταύτας τὰς θεὰς, ἡνίκα τὸν Ὀρέϛην ἔκφρονα ἔμελλον ποιήσειν, φασὶν αὐτῷ φανῆναι μελαίνας· ὡς δὲ ἀπέφαγε τὸν δάκτυλον, τὰς δὲ αὖθις δοκεῖν οἱ λευκὰς εἶναι, καὶ αὐτὸν σωφρονῆσαί τε ἐπὶ τῇ θέᾳ, καὶ οὕτω ταῖς μὲν ἐνήγισεν ἀποτρέπων τὸ μήνιμα αὐτῶν, ταῖς δὲ ἔθυσε ταῖς λευκαῖς· ὁμοῦ δὲ αὐταῖς καὶ Χάρισι θύειν νομίζουσι. πρὸς δὲ τῷ χωρίῳ τοῖς Ἄκεσιν ἕτερόν ἐϛιν ὀνομαζόμενον ἱερὸν [2]), ὅτι Ὀρέϛης ἐνταῦθα ἐκείρατο τὴν κόμην,

1) θεῶν ἱερόν] Cod. Moſc. θεῶν ἱερά.

2) πρὸς δὲ τῷ χωρίῳ — ἕτερόν ἐϛιν ὀνομ. ἱερὸν] Sic Ἱερὸν, *Sacrum*,

κόμην, ἐπειδὴ ἐντὸς ἐγένετο αὐτοῦ. Πελοποννησίων δὲ οἱ τὰ ἀρχαῖα μνημονεύοντες, πρότερα τῷ Ὀρέστῃ τὰ ἐν Ἀρκαδίᾳ γενέσθαι φασὶν ὑπὸ Ἐριννύων τῶν Κλυταιμνήστρας, ἢ ἐν Ἀρείῳ πάγῳ τὴν κρίσιν, καὶ αὐτῷ κατήγορον ἀντὶ Τυνδάρεω (περιεῖναι γὰρ οὐκέτι ἐκεῖνον) Περίλαον δὲ [3]) ἐπιστῆναι δίκην ἐπὶ τῷ αἵματι τῆς μητρὸς αἰτοῦντα, ἅτε ἀνεψιὸν τῆς Κλυταιμνήστρας· Ἰκαρίου γὰρ παῖδα εἶναι Περίλαον, γενέσθαι δὲ ὕστερον καὶ θυγατέρας τῷ Ἰκαρίῳ. Ἐκ Μαντινείων [4]) 3
δὲ ὁδὸς ἐπὶ τὸν Ἀλφειὸν, ὁπόσον πέντε σταδίων καὶ δέκα· κατὰ τοῦτο Γαθεάτας ποταμὸς ἐκδίδωσιν ἐς τὸν Ἀλφειόν· ἐς δὲ τὸν Γαθεάταν πρότερον ἔτι κάτεισιν ὁ Καρνίων· τούτῳ μὲν δὴ αἱ πηγαὶ γῆς εἰσι τῆς Αἰγυπτίδος [5]) ὑπὸ τοῦ Ἀπόλλωνος τοῦ Κερεάτα τὸ ἱερὸν, τῷ Γαθεάτᾳ δὲ τῆς Κρωμίτιδος χώρας ἐν Γαθέαις. ἡ δὲ Κρωμῖτις ἀνώτερον τοῦ Ἀλφειοῦ σταδίους ὡς τεσσαράκοντά ἐστι, καὶ ἐν αὐτῇ πόλεως Κρώμωνος [6]) παντάπασι τὰ ἐρείπια ἦν ἐξίτηλα. Ἐκ δὲ Κρώμωνος εἴκοσι στάδιά ἐστιν



*Sacrum*, nomen loci esset. At *Amas.* pro ἕτερον vel pro ἱερὸν haud absurde legisse videtur Κουρεῖον, interpretatus: *prope Ace est templum aliud, Tonstrinam appellant.*

3) κατήγορον ἀντὶ Τυνδάρεω — Περίλαον δὲ] Hic δὲ alieno loco et tollendum esse videtur. At Cod. Mosc pro ἀντὶ dat τόν. Sic forte legendum esset: κατήγορον οὐ τὸν Τυνδάρεω — Περίλαον δέ etc.

4) Ἐκ Μαντινείων] Mantineam hic non suo loco memorari, statim liquet, et cum Palmer. Exercitat. p. 421. scribendum esse ἐκ Μανίων nullus dubito. De loco Μανίαι dicto vid. init. h. Cap.

5) γῆς εἰσι τῆς Αἰγυπτίδος] *Amas.* legit Αἰπυτίδος, quae vera lectio esse videtur; de quo supra not. 15. ad C. 27.

6) πόλεως Κρώμωνος] Cod. Mosc. π. Κρωμώνου. Forte Κρώμνου. Stephanus enim Κρῶμνος, Κρῶμνοι et Κρῶμνα dici declarat v. Κρῶμνα, ubi vide Berkel. Hic tamen Κρώμων scribendum esse censeo; nam supra C. 3. et 27. fuit Κρῶμοι.

ἐπὶ Νυμφάδα· καταῤῥεῖται δὲ ὕδατι, καὶ δένδρων ἀνάπλεώς ἐστιν ἡ Νυμφάς. Καὶ ἀπ᾽ αὐτῆς στάδια εἴκοσί ἐστιν ἐπὶ τὸ Ἑρμαῖον, ἐς ὃ Μεσσηνίοις καὶ Μεγαλοπολίταις εἰσὶν ὅροι· πεποίηται δὲ αὐτόθι καὶ Ἑρμῆς ἐπὶ στήλῃ.

## CAPUT XXXV.

Via a Megalopoli Carnaſſium verſus oppidum Meſſen. — Hermaeum et termini Megalopolit. et Meſſen. ibique ſigna deorum poſita — via a Megalopoli Lacedaemonem verſus — de Belemina — viae a Megalopoli in interiorem Arcadiam, Scia vicus — Tricolonorum, Zoetiae aliarumque urbium reliquiae — Calliſtus ſepulcrum et templum Dianae Calliſtae — campus Schoenus, et Atalantae curricula.

Αὕτη μὲν ἐπὶ Μεσσήνην, ἑτέρα δὲ ἐκ Μεγάλης πόλεως ἐπὶ Καρνάσιον [1]) ἄγει τὸ Μεσσηνίων· καὶ ταύτῃ πρῶτα μέν σε ὁ Ἀλφειὸς ἐκδέξεται, καθότι καὶ Μαλλοῦς καὶ ὁ Σῦρος ἐς αὐτὸν κατέρχονται προανακοινωσάμενοι τὸ ῥεῦμα. αὐτόθεν δὲ ἔχων τὸν Μαλλοῦντα ἐν δεξιᾷ, μετὰ σταδίους ὡς τριάκοντα μεταβήσῃ τε αὐτὸν καὶ ἀναβήσῃ δι᾽ ὁδοῦ πρόσαντες πέρας ἐς χωρίον
2 καλούμενον Φαιδρίαν. Φαιδρίου δὲ ὡς πέντε ἀπέχει καὶ δέκα σταδίους κατὰ Δέσποιναν ὀνομαζόμενον Ἑρμαῖον· ὅροι πρὸς Μεγαλοπολίτας Μεσσηνίων καὶ οὗτοι, καὶ ἀγάλματα οὐ μεγάλα Δεσποίνης τε καὶ Δήμητρος· ἔστι δὲ καὶ Ἑρμοῦ, πεποίηται δὲ καὶ Ἡρακλέους· δοκεῖν δέ μοι καὶ τὸ ὑπὸ Δαιδάλου ποιηθὲν τῷ Ἡρακλεῖ

1) Καρνάσιον] Cod. Mosc. Καρνάσσιον, et mox pro Μαλλοῦς dat Μαλοῦς, uti et infra Μαλοῦντα.

κλεῖ ξόανον ἐν μεθορίῳ τῆς Μεσσηνίας καὶ Ἀρκάδων, ἐνταῦθα εἱστήκει. Ἡ δὲ εἰς Λακεδαίμονα ἐκ Μεγά- 3
λης πόλεως ὁδὸς, ἐπὶ μὲν τὸν Ἀλφειὸν, στάδιοι τριάκοντά εἰσιν· ἀπὸ τοῦδε παρὰ ποταμὸν ὁδεύσεις Θειοῦντα, (κάτεισι δὲ καὶ ὁ Θειοῦς οὗτος ἐς τὸν Ἀλφειὸν) ἀπολιπὼν οὖν τὸν Θειοῦντα ἐν ἀριστερᾷ, σταδίους ἀπὸ τοῦ Ἀλφειοῦ τεσσαράκοντα ἥξεις μάλιστα ἐς Φαλαισίας· ἀπέχουσι δὲ αἱ Φαλαισίαι σταδίους εἴκοσι τοῦ Ἑρμαίου τοῦ κατὰ Βελεμίναν[2]). Λέγουσι μὲν δὴ οἱ Ἀρκά- 4
δες, τὴν Βελεμίναν τῆς σφετέρας οὖσαν τὸ ἀρχαῖον ἀποτεμέσθαι Λακεδαιμονίους· λέγειν δὲ οὐκ εἰκότα ἐφαίνοντό μοι, καὶ ἄλλων εἵνεκα, καὶ μάλιστα, ὅτι μοι δοκοῦσι Θηβαῖοι μηδὲ τοῦτο ἠλασσωμένους περιϊδεῖν τοὺς Ἀρκάδας, εἴ σφισιν ἔσεσθαι σὺν τῷ δικαίῳ τὸ ἐπανόρθωμα ἔμελλεν. Εἰσὶ δὲ ἐκ Μεγάλης πόλεως καὶ ἐς 5
τὰ χωρία ὁδοὶ τὰ ἐντὸς Ἀρκαδίας, εἰς Μεθύδριον ἑβδομήκοντα στάδιοι καὶ ἑκατόν. τρισὶ δὲ ἀπὸ Μεγάλης πόλεως ἀπωτέρω σταδίοις καὶ δέκα Σκιά τε[3]) καλούμενον χωρίον, καὶ Ἀρτέμιδος Σκιαδίτιδος ἐρείπιά ἐστιν ἱεροῦ· ποιῆσαι δὲ αὐτὸ ἐλέγετο Ἀριστόδημος ὁ τυραννήσας. ἐντεῦθεν μετὰ σταδίους ὡς δέκα πόλεως Χαρισίων ὑπομνήματά ἐστιν οὐ πολλά· σταδίων δὲ ἄλλων δέκα ἐστὶν ἀπὸ Χαρισίων ἐς Τρικολώνους ὁδός. Πόλις δὲ 6
ἦσαν καὶ οἱ Τρικόλωνοί ποτε μέν· ἦν δὲ αὐτόθι καὶ ἐς ἡμᾶς ἔτι ἐπὶ λόφου Ποσειδῶνος ἱερὸν, καὶ ἄγαλμα τετράγωνον, καὶ δένδρων περὶ τὸ ἱερόν ἐστιν ἄλσος· ταύτης μὲν δὴ οἱ Λυκάονος παῖδες ἐγένοντο οἰκισταί. Ζοιτίαν δὲ ἀπωτέρω μὲν Τρικο-

2) Βελεμίναν] Cod. Mosc. Βελεμίαν.

3) Σκιά τε] Steph. Byz. habet Σκιάς. Mox pro Σκιαδίτιδος mallem Σκιάτιδος.

Τρικολώνων [4]) πέντε που καὶ δέκα ϛαδίοις, κειμένην
δὲ οὐ κατ' εὐθὺ, ἀλλ' ἐκ Τρικολώνων ἐς ἀριϛερὰν,
Ζοιτέα οἰκῆσαι τὸν Τρικολώνου λέγουσι. Παρωρεὺς
δὲ ὁ νεώτερος Τρικολώνου τῶν παίδων, Παρωρίαν καὶ
οὗτος ἔκτισεν, ἀπέχουσαν Ζοιτίας ϛαδίους δέκα·
ἔρημοι δὲ καὶ ἐς ἐμὲ ἦσαν ἀμφότεραι. μένει δὲ ἐν
Ζοιτίᾳ Δήμητρος ναὸς καὶ Ἀρτέμιδος, οἳ καὶ ἐς ἐμὲ
ἦσαν. ἐρείπια δὲ πόλεων καὶ ἄλλα· Θυραίου μὲν
ϛαδίους πέντε ἀπωτέρω Παρωρίας καὶ δέκα· τὰ δὲ
Ὑψοῦντός ἐϛιν ἐν ὄρει κειμένῳ μὲν ὑπὲρ τοῦ πεδίου,
καλουμένῳ δὲ Ὑψοῦντι· ἡ δὲ Θυραίου τε καὶ Ὑψοῦν-
τος μεταξὺ ὀρεινὴ πᾶσά ἐϛι καὶ θηριώδης· Λυκάο-
νος δὲ εἶναι Θυραῖόν τε καὶ Ὑψοῦντα, προεδήλωσεν
7 ἡμῖν ὁ λόγος [5]). Τρικολώνων δέ ἐϛιν ἐν δεξιᾷ πρῶτα
μὲν ἀνάντης ὁδὸς ἐπὶ πηγὴν καλουμένους Κρουνούς·
ϛαδίους δὲ ὡς τριάκοντα καταβάντι ἐκ Κρουνῶν,
τάφος ἐϛὶ Καλλιϛοῦς, χῶμα γῆς ὑψηλὸν, δένδρα
ἔχων πολλὰ μὲν τῶν ἀκάρπων, πολλὰ δὲ καὶ ἥμερα·
ἐπὶ δὲ ἄκρῳ τῷ χώματι ἱερόν ἐϛιν Ἀρτέμιδος ἐπίκλη-
σιν Καλλίϛης· δοκεῖν δέ μοι καὶ Πάμφως μαθὼν τι
παρὰ Ἀρκάδων, πρῶτος Ἄρτεμιν ἐν τοῖς ἔπεσιν ὠνό-
μασε Καλλίϛην. Σταδίους δὲ αὐτόθεν μὲν πέντε καὶ
εἴκοσι, Τρικολώνων δὲ ἑκατὸν τοὺς σύμπαντας ἀπέ-
χουσα ἐπί γε τοῦ Ἑλίσσοντος, κατὰ δὲ τὴν εὐθεῖαν
Μεθυδρίου (αὕτη γὰρ δὴ ἐκ Τρικολώνων ἔτι λείπεται)
Ἀνεμῶσά τέ ἐϛι χωρίον, καὶ ὄρος Φάλανθον, ἐν αὐτῷ
δὲ ἐρείπιά ἐϛι Φαλάνθου πόλεως· Ἀγελάου δὲ τοῦ
Στυμφήλου παῖδα εἶναι τὸν Φάλανθον λέγουσιν.
Ὑπὸ

4) Τρικολώνων] Ex Cod. Mosc. dedi pro male vulgato Τρικολώνου.

5) προεδήλωσεν — ὁ λόγος] Supra C. 3.

Ὑπὸ τούτου δὲ πεδίον τέ ἐςι Πάλου καλούμενον, καὶ 8
μετ' αὐτὸ Σχοινοῦς, ἀπὸ ἀνδρὸς Βοιωτοῦ Σχοινέως ἔχον τὴν κλῆσιν. εἰ δὲ ὁ Σχοινεὺς ἀπεδήμησεν οὗτος παρὰ τοὺς Ἀρκάδας, εἶεν ἂν καὶ οἱ τῆς Ἀταλάντης δρόμοι σύνεγγυς τῷ Σχοινοῦντι ὄντες, οἱ ἀπὸ τῆς τούτου θυγατρὸς τὸ ὄνομα εἰληφότες· ἑξῆς δέ ἐςιν (ἐμοὶ δοκεῖ) καλούμενον, καὶ τοῖς πᾶσιν Ἀρκαδίαν εἶναι τὴν χώραν φασὶν ἐνταῦθα [6]).

## CAPUT XXXVI.

De Methydrio urbe ejusque memorandis — monte Thaumasio, ubi Rhea Jovem peperisse fertur — memorandis in via ad Maenalum, templo Boni Dei — Boreae venti sacris — memorandis ad Maenalium montem — colle, urbe et Mercurio Acacesio — templo Despoenae.

Τὸ ἀπὸ τούτου δὲ ἐς μνήμην οὐδὲν ἄλλο, ὅτι μὴ αὐτὸ τὸ Μεθύδριον λείπεται· ὁδὸς δὲ ἐκ Τρικολώνων ἐς αὐτὸ ςαδίων τριῶν δέοντες τεσσαράκοντα καὶ ἑκατόν. ὠνομάσθη μὲν δὴ Μεθύδριον, ὅτι κολωνός ἐςιν ὑψηλὸς, Μαλοιτᾶ [1]) τε ποταμοῦ καὶ Μυλάοντος μέσος, ἐφ'

6) ἑξῆς δέ — καλούμενον, καὶ τοῖς πᾶσιν — ἐνταῦθα] Si hunc locum sanum esse statuere velis, καλούμενον ad πεδίον Σχοινοῦς et verba τοῖς πασιν ad Ἀταλάντης δρομους referenda, atque Ἀρκαδίαν χώραν dictum esset pro Ἀρκαδικὴν χώραν. Sed locum mutilum et depravatum esse, multa arguunt et ipsa Amasaei interpretatio: *dehinc — alia etiam fuerunt oppida.* Quare post καλουμενον quaedam excidisse, quae ad sequentia pertineant, non temere cum *Sylb.* judico.

1) Μαλοιτᾶ] In Cod. Casaub. hoc nomen suspectum notatur. Nam paullo infra legitur Μολοττος. Cod Mosc exhibet Μάλοιτα et in margine μάλιςα.

ἐφ᾽ ᾧ [2]) τὴν πόλιν ὁ Ὀρχομενὸς ᾤκιζε. πρὶν δὲ ἢ συντελεῖν ἐς τὸ Μεγαλοπολιτικὸν, γεγόνασι καὶ Με-
2 θυδριεῦσιν ἀνδράσιν Ὀλυμπιονῖκαι. Ἔστι δὲ ἐν Μεθυδρίῳ Ποσειδῶνός τε Ἱππίου ναὸς, οὗτος μὲν ἐπὶ τῷ Μυλάοντί ἐστι· τὸ δὲ ὄρος τὸ Θαυμάσιον καλούμενον κεῖται μὲν ὑπὲρ τὸν ποταμὸν τὸν Μαλοττόν. ἐθέλουσι δὲ οἱ Μεθυδριεῖς, τὴν Ῥέαν, ἡνίκα τὸν Δία εἶχεν ἐν τῇ γαστρὶ, ἐς τοῦτο ἀφικέσθαι τὸ ὄρος, παρασκευάσασθαι δὲ αὐτῇ καὶ βοήθειαν, ἢν ὁ Κρόνος ἐπ᾽ αὐτὴν ἴοι, τόν τε Ὁπλάδαμον καὶ ἄλλους, ὅσοι περὶ ἐκεῖνον ἦσαν Γίγαντες· καὶ τεκεῖν μὲν συγχωροῦσιν αὐτὴν ἐν μοίρᾳ τινὶ τοῦ Λυκαίου, τὴν δὲ ἐς τὸν Κρόνον ἀπάτην καὶ ἀντὶ τοῦ παιδὸς τὴν λεγομένην ὑπὸ Ἑλλήνων ἀντίδοσιν τοῦ λίθου γενέσθαι φασὶν ἐνταῦθα. ἔστι δὲ πρὸς τῇ κορυφῇ τοῦ ὄρους σπήλαιον τῆς Ῥέας, καὶ ἐς αὐτὸ ὅτι μὴ γυναιξὶ μόναις ἱεραῖς τῆς θεοῦ, ἀνθρώπων δὲ οὐδενὶ ἐσελθεῖν ἐστι τῶν ἄλλων. Μεθυδρίου δὲ ὡς τριάκοντα ἀπέχει σταδίους Νυμφασία πηγή· τοσοῦτοι δὲ ἀπὸ Νυμφασίας ἕτεροι πρὸς τοὺς Μεγαλοπολιτῶν εἰσι καὶ Ὀρχομενίων τε κοινοὺς καὶ Καφυα-
3 τῶν ὅρους. Μεγαλοπολίταις δὲ διὰ τῶν ἐπὶ τὸ Ἕλος ὀνομαζομένων πυλῶν, διὰ τούτων ὁδὸς ἐσιοῦσιν ἐς Μαίναλον [3]) παρὰ τὸν ποταμὸν τὸν Ἑλισσόντα. ἔστι δὲ τῆς ὁδοῦ ἐν ἀριστερᾷ Ἀγαθοῦ Θεοῦ ναός· εἰ δὲ ἀγαθῶν οἱ θεοὶ δοτῆρές εἰσιν ἀνθρώποις, Ζεὺς δὲ ὕπατος θεῶν ἐστιν, ἑπομένως ἄν τις τῷ λόγῳ τὴν ἐπίκλησιν ταύτην Διὸς τεκμαίροιτο εἶναι. προελθόντι

δὲ

2) ἐφ᾽ ᾧ] Dedi ᾧ pro vulgata ὃ, voce κολωνὸς, ad quam refertur, illud exigente. Mox pro ἀνδράσιν *Sylb.* mavult ἄνδρες.

3) ἐσιοῦσιν ἐς Μαίν.] Forte rectius ἐσιοῦσίν ἐστιν ἐς Μ.

δὲ οὐ πολὺ, ἔστι μὲν γῆς χῶμα Ἀριστοδήμου τάφος, ὃν οὐδὲ τυραννοῦντα ἀφείλοντο μὴ ἐπονομάσαι χρηστόν [4])· ἔστι δὲ Ἀθηνᾶς ἱερὸν ἐπίκλησιν Μηχανίτιδος [5]), ὅτι βουλευμάτων ἐστὶν ἡ θεὸς παντοίων καὶ ἐπιτεχνημάτων εὑρέτις. Πεποίηται δὲ ἐν δεξιᾷ τῆς ὁδοῦ Βορέᾳ τῷ 4
ἀνέμῳ [6]) τέμενος, καί οἱ Μεγαλοπολῖται θυσίας θύουσιν ἀνὰ πᾶν ἔτος, καὶ θεῶν οὐδενὸς Βορέαν ὕστερον ἄγουσιν ἐς τιμὴν, ἅτε σωτῆρα γενόμενόν σφισιν ἀπὸ Λακεδαιμονίων τε καὶ Ἄγιδος. ἑξῆς δὲ Ὀϊκλέους τοῦ Ἀμφιαράου πατρὸς μνῆμά ἐστιν, εἴ γε δὴ ἐπέλαβεν αὐτον τὸ χρεὼν ἐν Ἀρκαδίᾳ, καὶ μὴ τῆς ἐπὶ Λαομέδοντα Ἡρακλεῖ στρατείας [7]) μετασχόντα. μετὰ τοῦτό ἐστι Δήμητρος καλουμένης ἐν Ἕλει [8]) ναός τε καὶ ἄλσος, τοῦτο σταδίους πέντε ἀπωτέρω τῆς πόλεως· γυναιξὶ δὲ ἐς αὐτὸ ἔσοδός ἐστι μόναις· τριάκοντα δέ ἐστιν ἀπωτέρω σταδίοις Παλίσκιος [9]) ὀνομαζομένη χώρα. ἐκ Παλισκίου δὲ ἀφιέντι ἐν ἀριστερᾷ τὸν Ἔλαφον ὄντα οὐκ ἀένναον, καὶ προελθόντι ὅσον εἴκοσι σταδίους, ἄλλα τε ἐρείπια Περαιθέως [10]), καὶ ἱερὸν λείπεται Πανός. Ἣν δὴ τὸν χειμάῤῥουν διαβῇς, κατευθὺ 5
πέντε μὲν σταδίοις καὶ δεκα ἀπωτέρω τοῦ ποταμοῦ πεδίον

4) ὃν — ἀφείλοντο μὴ ἐπονομάσαι χρηστόν] Pro — ἀφείλοντο τὴν ἐπονομασίαν χρηστοῦ. Idem legitur ſupra C. 27.

5) Μηχανίτιδος] Pro vulgata Μαχανίτιδος dedi ex Cod Moſc. Sic ſupra Veneris cognomen C. 31.

6) Βορέᾳ τῷ ἀν.] Tangitur hoc ab Aeliano Var. Hiſt L. XII. C. 61., ubi vid. interpret. De Boreae auxilio Megalopolitanis lato vide ſupra C. 27.

7) ἐπὶ Λαομέδοντα Ἡρ. στρατείας] Pro vulgatis Λαομέδοντι et στρατιᾶς ſcribere Λαομέδοντα ac στρατείας, cum *Sylb.* neceſſarium judicavi.

8) ἐν Ἕλει] Hic locus paullo ante memoratus eſt.

9) Παλίσκιος] Codex Moſc. Πολίσκιος.

10) Περαιθέως] Supra C. 3. fuit plurali numero Περαιθέων.

πεδίον ἐςὶ, διελθόντι δὲ τοῦτο, ὄρος ὁμώνυμον τῷ πεδίῳ τὸ Μαινάλιον. τοῦ δὲ ὄρους ὑπὸ τοῖς καταλήγουσι πόλεως σημεῖα Λυκόας καὶ Ἀρτέμιδος ἱερὸν, καὶ ἄγαλμά ἐςι χαλκοῦν Λυκοάτιδος. ἐν δὲ τοῖς κατὰ μεσημβρίαν τοῦ ὄρους Σουμητία [11]) ᾤκιςο. ἐν τούτῳ δὲ εἰσι τῷ ὄρει καὶ αἱ [12]) καλούμεναι Τρίοδοι, καὶ τὰ ὀςᾶ Ἀρκάδος τοῦ Καλλιςοῦς ἀνείλοντο ἐντεῦθεν κατὰ τὸ ἐκ Δελφῶν μάντευμα οἱ Μαντινεῖς [13]). λείπεται δὲ καὶ αὐτῆς ἔτι ἐρείπια Μαινάλου, ναοῦ τε σημεῖα Ἀθηνᾶς, καὶ ςάδιον ἐς ἀθλητῶν ἀγῶνα, καὶ τὸ ἕτερον αὐτῶν ἐς ἵππων δρόμον. τὸ δὲ ὄρος τὸ Μαινάλιον ἱερὸν μάλιςα εἶναι Πανὸς ὀνομάζουσιν [14]), ὥςτε οἱ περὶ αὐτὸ καὶ ἐπακροᾶσθαι συρίζοντος τοῦ Πανὸς λέγουσι. τοῦ δὲ τῆς Δεσποίνης ἱεροῦ καὶ Μεγαλοπολιτῶν τοῦ ἄςεος ςάδιοι τεσσαράκοντα μεταξύ εἰσιν, ἥμισυ μὲν τῆς ὁδοῦ πρὸς τοῦ Ἀλφειοῦ τὸ ῥεῦμα
6 διαβάντων. Μετὰ δὲ δύο ἀπὸ τοῦ Ἀλφειοῦ ςαδίους Μακαρέων ἐςὶν ἐρείπια· αὐτόθεν δὲ ἐς ἐρείπια ἄλλα τὰ Δασέων ἑπτά εἰσι ςάδιοι· τοσοῦτοι [15]) δὲ ἐκ Δασέων πρὸς τὸν Ἀκακήσιον ὀνομαζόμενον λόφον· ὑπὸ τούτῳ δὲ τῷ λόφῳ πόλις τε ἦν Ἀκακήσιον, Ἑρμοῦ τε Ἀκακησίου λίθου πεποιημένον ἄγαλμα καὶ ἐς ἡμᾶς ἐςιν ἐπὶ τοῦ λόφου· τραφῆναι δὲ Ἑρμῆν παῖδα αὐτόθι, καὶ Ἄκακον τὸν Λυκάονος γενέσθαι οἱ τροφέα, Ἀρκάδων

11) Σουμητία] Ex Codice Mosc. sic scripsi pro Σουμιτία. Supra C. 3. fuit Σουμάτια. Stephan. utramque scripturam agnoscit.

12) καὶ αἱ] Has voces restitui ex Cod. Mosc.

13) καὶ τὰ ὀςᾶ — οἱ Μαντινεῖς] Vide supra C. 9.

14) ὀνομάζουσιν] Scribendum esse νομίζουσιν, mihi dubium non est. Vide quae de harum vocum permutatione dicta sunt ad L. II. C. 14. not. 2.

15) τοσοῦτοι] Cum *Sylb.* reposui pro τοσούτοις, orationis structura ita postulante.

Ἀρκάδων ἐςὶν ἐς αὐτὸν λόγος. διάφορα δὲ τούτοις Θηβαῖοι, καὶ αὖθις οὐχ ὁμολογοῦντα τοῖς Θηβαίων Ταναγραῖοι λέγουσιν.

Ἀπὸ δὲ Ἀκακησίου τέσσαρας ςαδίους ἀπέχει 7 τὸ ἱερὸν τῆς Δεσποίνης. πρῶτα μὲν δὴ αὐτόθι Ἡγεμόνης ναός ἐςιν Ἀρτέμιδος, καὶ χαλκοῦν ἄγαλμα ἔχον δᾷδας· ποδῶν ἓξ εἶναι μάλιςα αὐτὸ εἰκάζομεν.

## CAPUT XXXVII.

Sacri Despoenae septi memoranda — Despoenae et Cereris earumque solii signa — de Anyto et Titanibus — speculo miro — Megaro et sacris Despoenae — de Despoena — luco Despoenae — Panis templo — Pane et Erato vaticinantibus.

Ἐντεῦθεν δὲ ἐς τὸν ἱερὸν περίβολον τῆς Δεσποίνης ἐςὶν εἴσοδος· ἰόντων δὲ ἐπὶ τὸν ναὸν, ςοά τέ ἐςιν ἐν δεξιᾷ, καὶ ἐν τῷ τοίχῳ λίθου λευκοῦ τύποι πεποιημένοι· καὶ τῷ μέν εἰσιν εἰργασμέναι Μοῖραι, καὶ Ζεὺς ἐπίκλησιν Μοιραγέτης, δευτέρῳ δὲ Ἡρακλῆς, τρίποδα Ἀπόλλωνα ἀφαιρούμενος· ὁποῖα δὲ ἐς αὐτοὺς ἐπυνθανόμην γενέσθαι, δηλώσω καὶ τοῦτο, ἢν ἐς τοῦ Φωκικοῦ λόγου τὰ ἔχοντα ἐς Δελφοὺς ἀφικώμεθα [1]). ἐν δὲ τῇ ςοᾷ τῇ παρὰ τῇ Δεσποίνῃ μεταξὺ τῶν τύπων τῶν κατειλεγμένων πινάκιόν ἐςι γεγραμμένα ἔχον τὰ ἐς τὴν τελετήν. Νύμφαι δέ εἰσι καὶ Πᾶνες ἐπὶ τῶν τύπων [2]), ἐπὶ δὲ τῷ τετάρτῳ Πολύβιος ὁ

1) δηλώσω — ἀφικώμεθα] Vide L. X. C. 13.

2) Νύμφαι — ἐπὶ τῶν τύπων] Haec ad typos initio Capitis memoratos pertinent, et *Sylb.* post ἐπὶ supplendum esse τῷ τρίτῳ recte monet, cum supra duorum ac mox quarti mentio fiat.

ὁ Λυκόρτα· καί οἱ ἐπίγραμμά ἐςιν, ἐξ ἀρχῆς τε μὴ ἂν σφαλῆναι τὴν Ἑλλάδα, εἰ Πολυβίῳ τὰ πάντα ἐπείθετο, καὶ ἁμαρτούσῃ δι' ἐκεῖνον βοήθειαν αὐτῇ γενέσθαι μόνον[3]). πρὸ δὲ τοῦ ναοῦ Δήμητρί τέ ἐςι βωμὸς, καὶ ἕτερος Δεσποίνῃ, μετ' αὐτὸν δὲ μεγάλης
2 μητρὸς θεῶν. Αὐτὰ δὲ τὰ ἀγάλματα, Δέσποινα καὶ ἡ Δημήτηρ τε καὶ ὁ θρόνος, ἐν ᾧ καθέζονται, καὶ τὸ ὑπόθημα τὸ ὑπὸ τοῖς ποσίν ἐςιν ἑνὸς ὁμοίως λίθου· καὶ οὔτε τῶν ἐπὶ τῇ ἐσθῆτι, οὔτε ὁπόσα εἴργαςαι περὶ τὸν θρόνον, οὐδέν ἐςιν ἕτερον λίθου[4]) προσεχὲς σιδήρῳ καὶ κόλλῃ, ἀλλὰ τὰ πάντα ἐςὶν εἷς λίθος. οὗτος οὐκ ἐκομίσθη σφίσιν ὁ λίθος, ἀλλὰ κατὰ ὄψιν ὀνείρατος λέγουσιν αὐτὸν ἐξευρεῖν ἐντὸς τοῦ περιβόλου τὴν γῆν ὀρύξαντες. τῶν δὲ ἀγαλμάτων ἐςὶν ἑκατέρου μέγεθος κατὰ τὸ Ἀθήνησιν ἄγαλμα μάλιςα τῆς μητρός· Δαμοφῶντος δὲ καὶ ταῦτα ἔργα. ἡ μὲν οὖν Δημήτηρ δᾷδα ἐν δεξιᾷ φέρει, τὴν δὲ ἑτέραν χεῖρα[5]) ἐπιβέβληκεν ἐπὶ τὴν Δέσποιναν· ἡ δὲ Δέσποινα σκῆπτρόν τε καὶ καλουμένην κίςην ἐπὶ τοῖς γόνασιν ἔχει· τῇ δὲ ἔχεται τῇ δεξιᾷ κίςης[6]). τοῦ θρόνου δὲ ἑκατέρωθεν Ἄρτεμις μὲν παρὰ τὴν Δήμητρα ἕςηκεν ἀμπεχομένη δέρμα ἐλάφου, καὶ ἐπὶ τῶν ὤμων φαρέτραν ἔχουσα· ἐν δὲ ταῖς χερσὶ, τῇ μὲν λαμπάδα ἔχει, τῇ δὲ δράκοντας δύο· παρὰ δὲ τὴν Ἄρτεμιν κατάκειται κύων, οἷαι[7]) θηρεύειν εἰσὶν ἐπιτήδειοι.

Πρὸς

3) δι' ἐκεῖνον — μόνον] Cod. Mosc. δι' ἐκείνου — μόνου.

4) ἕτερον λίθου] Recte Kuhn. emendat ἑτέρου λ.

5) ἑτέραν χεῖρα] In Cod. Mosc. χεῖρα deest. Mox ante καλουμένην insertum mallem τήν.

6) τῇ δὲ ἔχεται τῇ δεξιᾷ κ.] Forte σκήπτρου excidit, et scribendum est: τῇ δὲ ἔχεται σκήπτρου, τῇ δὲ δεξιᾷ κίςης.

7) κατάκειται κύων, οἷαι etc.] Cod. Mosc. haud male exhibet κατάκεινται κυνῶν, οἷαι etc.

Πρὸς δὲ τῆς Δεσποίνης τῷ ἀγάλματι ἕϛηκεν Ἄνυτος, 3
σχῆμα ὡπλισμένου παρεχόμενος. Φασὶ δὲ οἱ περὶ
τὸ ἱερὸν, τραφῆναι τὴν Δέσποιναν ὑπὸ τοῦ Ἀνύτου,
καὶ εἶναι τῶν Τιτάνων καλουμένων καὶ τὸν Ἄνυτον.
Τιτᾶνας δὲ πρῶτος ἐς ποίησιν ἐσήγαγεν Ὅμηρος,
θεοὺς εἶναι σφᾶς ὑπὸ τῷ καλουμένῳ Ταρτάρῳ· καὶ
ἔϛιν ἐν Ἥρας ὅρκῳ τὰ ἔπη [8]). παρὰ δὲ Ὁμήρου
Ὀνομάκριτος παραλαβὼν τῶν Τιτάνων τὸ ὄνομα,
Διονύσῳ τε συνέθηκεν ὄργια, καὶ εἶναι τοὺς Τιτᾶνας
τῷ Διονύσῳ τῶν παθημάτων ἐποίησεν αὐτουργούς.
τὰ μὲν δὴ ἐς τὸν Ἄνυτον ὑπὸ Ἀρκάδων λέγεται.
Δήμητρος δὲ Ἄρτεμιν θυγατέρα εἶναι, καὶ οὐ Λητοῦς,
ὄντα Αἰγυπτίων τὸν λόγον, Αἰσχύλος ἐδίδαξεν Εὐ-
φορίωνος τοὺς Ἕλληνας. τὰ δὲ ἐς Κούρητας (οὗτοι
γὰρ ὑπὸ τῶν ἀγαλμάτων πεποίηνται) καὶ τὰ ἐς Κο-
ρύβαντας ἀπειργασμένους ἐπὶ τοῦ βάθρου (ἑνὸς δὲ
οἶδα ἀλλοῖον καὶ οὐ Κούρητος) τὰ ἐς τούτους παρίημι
ἐπιϛάμενος. Τῶν δὲ ἡμέρων οἱ Ἀρκάδες δένδρων 4
ἁπάντων πλὴν ῥοιᾶς ἐςκομίζουσιν ἐς τὸ ἱερόν. ἐν
δεξιᾷ δὲ ἐξιόντι ἐκ τοῦ ναοῦ, κάτοπτρον ἡρμοσμένον
ἐϛὶν ἐν τῷ τοίχῳ. τοῦτο ἤν τις προςβλέπῃ τὸ κάτ-
οπτρον, ἑαυτὸν μὲν ἤτοι παντάπασιν ἀμυδρῶς, ἢ
οὐδὲν ὄψεται τὴν ἀρχήν· τὰ δὲ ἀγάλματα τῶν θεῶν
καὶ αὐτὰ καὶ τὸν θρόνον ἐϛὶν ἐναργῶς θεάσασθαι.
Παρὰ δὲ τὸν ναὸν τῆς Δεσποίνης ὀλίγον ἐπαναβάντι 5
ἐν δεξιᾷ Μέγαρόν [9]) ἐϛι καλούμενον· καὶ τελετήν τε
δρῶσιν ἐνταῦθα, καὶ τῇ Δεσποίνῃ θύουσιν ἱερεῖα οἱ
Ἀρκάδες πολλά τε καὶ ἄφθονα· θύει μὲν δὴ αὐτῶν

 ἑκα-

8) ἐν — τὰ ἔπη] Vid. Iliad. ξ. v. 277.

9) Μέγαρον] De hac voce vide Suid. et Hesych., ac de pluribus deorum Megaris in Pausania obviis vid. Indic.

ἕκαστος, ὅ τι κέκτηται· τῶν ἱερείων δὲ οὐ τὰς φάρυγγας ἀποτέμνειν[10]), ὥσπερ ἐπὶ ταῖς ἄλλαις θυσίαις, κῶλον δὲ, ὅ τι ἂν τύχῃ, τοῦτο ἕκαστος ἀπέκοψε τοῦ
6 θύματος. Ταύτην μάλιστα θεῶν σέβουσιν οἱ Ἀρκάδες τὴν Δέσποιναν· θυγατέρα δὲ αὐτὴν Ποσειδῶνος εἶναί φασι καὶ Δήμητρος[11])· ἐπίκλησις ἐς τοὺς πολλούς ἐστιν αὕτη Δέσποινα, καθάπερ καὶ τὴν ἐκ Διὸς Κόρην ἐπονομάζουσιν· ἰδίᾳ τε[12]) ἐστιν ὄνομα Περσεφόνη, καθὰ Ὅμηρος καὶ ἔτι πρότερον Πάμφως ἐποίησαν· τῆς δὲ Δεσποίνης τὸ ὄνομα ἔδεισα[13]) ἐς τοὺς
7 ἀτελεστέρους γράφειν. Ὑπὲρ δὲ τὸ καλούμενον Μέγαρόν ἐστιν ἄλσος τῆς Δεσποίνης ἱερὸν θριγκῷ λίθων περιεχόμενον· ἐντὸς δὲ αὐτοῦ δένδρα καὶ ἄλλα, καὶ ἐλαῖαι καὶ πρῖνος ἐκ ῥίζης μιᾶς πεφύκασι· τοῦτο οὐ γεωργοῦ σοφίας ἐστὶν ἔργον. ὑπὲρ δὲ τὸ ἄλσος καὶ Ἱππίου Ποσειδῶνος, ἅτε πατρὸς τῆς Δεσποίνης, καὶ θεῶν ἄλλων εἰσὶ βωμοί· τῷ τελευταίῳ δὲ ἐπίγραμμά ἐστι, θεοῖς αὐτὸν τοῖς πᾶσιν εἶναι κοινόν.
8 Ἐντεῦθεν δὲ ἀναβήσῃ διὰ κλίμακος ἐς ἱερὸν Πανός· πεποίηται δὲ καὶ στοὰ ἐς τὸ ἱερὸν, καὶ ἄγαλμα οὐ μέγα. Θεῶν δὲ ὁμοίως τοῖς δυνατωτάτοις καὶ τούτῳ μέτεστι τῷ Πανὶ, ἀνθρώπων τε εὐχὰς ἄγειν ἐς τέλος, καὶ

10) ἀποτέμνειν] Cum nihil sit, unde hic infinitivus pendere possit, ἀποτέμνει scribendum esse videtur.

11) Ποσ. — καὶ Δήμ.] Sic locum recta interpunctione constitui, duce *Sylb.* et *Kuhnio.* Hanc Neptuni et Cereris filiam jam supra tetigit Pausanias C. 25. §. 5.

12) ἰδίᾳ τε] Mallem ἡ ἰδίᾳ τε. Locus Homeri est Odyss. κ. v. 491. 494. 509.

13) ἔδεισα] *Amas.* legisse videtur ἔδεισεν, ut ad Homerum pertineat, non ad Pausaniam. Forte praestet scribere ἔδεισαν, ut ad Homerum et Pamphum referatur. Ad vulgatam tuendam conf. supra C. 25. §. 5.

καὶ ὁποῖα ἔοικεν, ἀποδοῦναι πονηροῖς· παρὰ τούτῳ
τῷ Πανὶ πῦρ οὔ ποτε ἀποσβεννύμενον καίεται. Λέ- 9
γεται δὲ, ὡς τὰ ἔτι παλαιότερα καὶ μαντεύοιτο οὗτος
ὁ θεὸς, προφῆτιν δὲ Ἐρατὼ νύμφην αὐτῷ γενέσθαι
ταύτην, ἣ Ἀρκάδι τῷ Καλλιστοῦς συνῴκησε. μνημο-
νεύουσι δὲ καὶ ἐπὶ τῆς Ἐρατοῦς, ἃ δὴ καὶ αὐτὸς ἐπε-
λεξάμην ἐνταῦθα. ἔστι μὲν βωμὸς Ἄρεως, ἔστι δὲ
ἀγάλματα Ἀφροδίτης ἐν ναῷ, λίθου τὸ ἕτερον λευ-
κοῦ, τὸ δὲ ἀρχαιότερον αὐτῶν ξύλου· ὡσαύτως δὲ
καὶ Ἀπόλλωνός τε [14]) καὶ Ἀθηνᾶς ξόανά ἐστι· τῇ δὲ
Ἀθηνᾷ καὶ ἱερὸν πεποίηται.

## CAPUT XXXVIII.

De Lycosura omnium urbium prima et vetustissima — monte Lycaeo ejusque parte Cretea dicta — Nymphis, quae Jovem nutriverunt, et fonte Hagno — Panis templo in Lycaeo — Lycaei montis admirandis, Jovis Lycaei sacro luco — templo et sacris Apollinis Parrhasii — agro Thisoensi et pluribus fluviis Achelois — montibus Nomiis et Panis templo.

Ἀνωτέρω δὲ ὀλίγον τείχους τε περίβολος τῆς Λυκοσ-
ούρας ἐστὶ, καὶ οἰκήτορες ἔνεισιν οὐ πολλοί· πόλεων
δὲ, ὁπόσας ἐπὶ τῇ ἠπείρῳ ἔδειξε γῆ, καὶ ἐν νήσοις,
Λυκόσουρά ἐστι πρεσβυτάτη, καὶ ταύτην εἶδεν ὁ ἥλιος
πρώτην· ἀπὸ ταύτης δὲ οἱ λοιποὶ ποιεῖσθαι πόλεις
μεμαθήκασιν ἄνθρωποι. Ἐν ἀριστερᾷ δὲ τοῦ ἱεροῦ 2
τῆς Δεσποίνης τὸ ὄρος ἐστὶ τὸ Λύκαιον· καλοῦσι δὲ
αὐτὸ καὶ Ὄλυμπον, καὶ Ἱεράν γε ἕτεροι τῶν Ἀρκά-
δων κορυφήν· τραφῆναι δὲ τὸν Δία φασὶν ἐν τῷ ὄρει



14) ὡσαύτως δὲ — τε] In Cod. Mosc. δὲ et τε absunt.

τούτῳ· καὶ χώρα τέ ἐστιν ἐν τῷ Λυκαίῳ Κρητέα καλουμένη· αὕτη δὲ ἡ Κρητέα ἐστὶν ἐξ ἀριστερᾶς Ἀπόλλωνος ἄλσους ἐπίκλησιν Παῤῥασίου· καὶ τὴν Κρήτην, ἔνθα ὁ Κρητῶν ἔχει λόγος τραφῆναι Δία, τὸ χωρίον τοῦτο εἶναι, καὶ οὐ τὴν νῆσον, ἀμφισβητοῦσιν οἱ
3 Ἀρκάδες. Ταῖς Νύμφαις δὲ ὀνόματα, ὑφ' ὧν τὸν Δία τραφῆναι λέγουσι, τίθενται Θεισόαν[1]), καὶ Νέδαν, καὶ Ἁγνώ· καὶ ἀπὸ μὲν τῆς Θεισόας πόλις ᾤκεῖτο ἐν τῇ Παῤῥασίᾳ· τὰ δὲ ἐπ' ἐμοῦ μοίρας τῆς Μεγαλοπολίτιδός ἐστιν ἡ Θεισόα κώμη· τῆς Νέδας δὲ ὁ ποταμὸς τὸ ὄνομα ἔσχηκε[2])· τῆς δὲ Ἁγνοῦς ἡ ἐν τῷ ὄρει τῷ Λυκαίῳ πηγὴ, κατὰ τὰ αὐτὰ ποταμῷ τῷ Ἴστρῳ, πέφυκεν ἴσον παρέχεσθαι τὸ ὕδωρ ἐν χειμῶνι ὁμοίως καὶ ἐν ὥρᾳ θέρους. ἢν δὲ αὐχμὸς χρόνον ἐπέχῃ πολὺν, καὶ ἤδη σφίσι τὰ σπέρματα ἐν τῇ γῇ καὶ τὰ δένδρα αὐαίνηται, τηνικαῦτα ὁ ἱερεὺς τοῦ Λυκαίου Διὸς προσευξάμενος ἐς τὸ ὕδωρ καὶ θύσας, ὁπόσα ἐστὶν αὐτῷ νόμος, καθίει δρυὸς κλάδον ἐπιπολῆς, καὶ οὐκ ἐς βάθος τῆς πηγῆς· ἀνακινηθέντος δὲ τοῦ ὕδατος ἄνεισιν ἀχλὺς ἐοικυῖα ὁμίχλῃ· διαλιποῦσα δὲ ὀλίγον γίνεται νέφος ἡ ἀχλὺς, καὶ ἐς αὐτὴν ἄλλα ἐπαγομένη τῶν νεφῶν, ὑετὸν τοῖς Ἀρκάσιν ἐς
4 τὴν γῆν κατιέναι ποιεῖ. Ἔστι δὲ ἐν τῷ Λυκαίῳ Πανός τε ἱερὸν, καὶ περὶ αὐτὸ ἄλσος δένδρων καὶ ἱππόδρομός τε, καὶ πρὸ αὐτοῦ στάδιον· τὸ δὲ ἀρχαῖον τῶν Λυκαίων ἦγον τὸν ἀγῶνα ἐνταῦθα. ἔστι δὲ αὐτόθι καὶ ἀνδριάντων βάθρα, οὐκ ἐπόντων ἔτι ἀνδριάντων· ἐλεγεῖον δὲ ἐπὶ τῶν βάθρων Ἀστυάνακτός φησιν εἶναι τὴν

1) Θεισόαν] Reposui ο pro ω ex communi hujus nominis scriptura. Sic paullo infra et C. 47.

2) ἔσχηκε] Codex Mosc. recte hoc dedit pro ἔσχηκεν.

τὴν εἰκόνα, τὸν δὲ Ἀστυάνακτα εἶναι γένος τῶν ἀπὸ Ἀρκάδος. Τὸ δὲ ὄρος παρέχεται τὸ Λύκαιον καὶ ἄλλα ἐς θαῦμα, καὶ μάλιστα τόδε. τέμενός ἐστιν ἐν αὐτῷ Λυκαίου Διὸς, ἔσοδος δὲ οὐκ ἔστιν ἐς αὐτὸ ἀνθρώποις· ὑπεριδόντα δὲ τοῦ νόμου καὶ ἐσελθόντα, ἀνάγκη πᾶσα αὐτὸν ἐνιαυτοῦ πρόσω μὴ βιῶναι. καὶ τάδε ἔτι ἐλέγετο· τὰ ἐντὸς τοῦ τεμένους γενόμενα ὁμοίως πάντα καὶ θηρία καὶ ἀνθρώπους οὐ παρέχεσθαι σκιάν· καὶ διὰ τοῦτο, ἐς τὸ τέμενος θηρίου καταφεύγοντος, οὐκ ἐθέλει οἱ συνεσπίπτειν ὁ κυνηγέτης, ἀλλὰ ὑπομένων ἐκτὸς, καὶ ὁρῶν τὸ θηρίον, οὐδεμίαν ἀπ' αὐτοῦ θεᾶται σκιάν. χρόνον μὲν δὴ τὸν ἴσον ἔπεισί τε ὁ ἥλιος τὸν ἐν τῷ οὐρανῷ καρκίνον, καὶ ἐν Συήνῃ τῇ πρὸς Αἰθιοπίᾳ [3]) οὔτε ἀπὸ δένδρων, οὔτε ἀπὸ τῶν ζώων γενέσθαι σκιάν ἐστι· τὸ δὲ ἐν τῷ Λυκαίῳ τέμενος τὸ αὐτὸ ἐς τὰς σκιὰς ἀεί τε καὶ ἐπὶ πασῶν πέπονθε τῶν ὡρῶν. ἔστι δὲ ἐπὶ τῇ ἄκρᾳ τῇ ἀνωτάτω τοῦ ὄρους γῆς χῶμα, Διὸς τοῦ Λυκαίου βωμὸς, καὶ ἡ Πελοπόννησος τὰ πολλά ἐστιν ἀπ' αὐτοῦ σύνοπτος· πρὸ δὲ τοῦ βωμοῦ κίονες δύο ὡς ἐπὶ ἀνίσχοντα ἑστήκασιν ἥλιον· ἀετοὶ δὲ ἐπ' αὐτοῖς [4]) ἐπίχρυσοι τά γε ἔτι παλαιότερα ἐπεποίηντο. ἐπὶ τούτου βωμοῦ τῷ Λυκαίῳ Διὶ θύουσιν ἐν ἀπορρήτῳ· πολυπραγμονῆσαι δὲ οὔ μοι τὰ ἐς τὴν θυσίαν ἡδὺ ἦν, ἐχέτω δὲ, ὡς ἔχει, καὶ ὡς ἔσχεν ἐξ ἀρχῆς.



3) καὶ ἐν Συήνῃ τῇ πρὸς Αἰθιοπίᾳ etc.] Cod. Mosc. Αἰθιοπίας. De re ipsa vide Strab. L. II. p. 195. C. D. et Plin. Hist. Nat. L. II. C. 73. init.

4) ἐπ' αὐτοῖς] Pro vulgatis ἐπ' αὐτῆς bene sic emendavit *Goldhag.* in interpret. german., nam nihil est, ad quod αὐτῆς referri possit. Aquila pilae insistens in artis operibus quoque est obvia. Vide Gorlaei Dactyl. P. I. n. 135.

6 Ἔϛι δὲ ἐν τοῖς πρὸς ἀνατολὰς τοῦ ὄρους Ἀπόλλωνος
ἱερὸν, ἐπίκλησιν Παῤῥασίου· τίθενται δὲ αὐτῷ καὶ
Πύθιον ὄνομα. ἄγοντες δὲ τῷ θεῷ κατὰ ἔτος ἑορτὴν
θύουσι μὲν ἐν τῇ ἀγορᾷ κάπρον τῷ Ἀπόλλωνι τῷ
Ἐπικουρίῳ [5])· θύσαντες δὲ ἐνταῦθα, αὐτίκα τὸ ἱερεῖον
κομίζουσιν ἐς τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Παῤῥασίου
σὺν αὐλῷ τε καὶ πομπῇ, καὶ τά τε μηρία ἐκτεμόντες
καίουσι, καὶ δὴ καὶ ἀναλίσκουσιν αὐτόθι τοῦ ἱερείου τὰ
7 κρέα. ταῦτα μὲν οὕτω ποιεῖν νομίζουσι. Τοῦ Λυκαίου
δὲ τὰ πρὸς τῆς ἄρκτου γῆ τε ἡ Θεισοαία· οἱ δὲ ἄνθρω-
ποι μάλιϛα οἱ ταύτῃ νύμφην τὴν Θεισόαν ἄγουσιν ἐν
τιμῇ. Διὰ δὲ τῆς χώρας τῆς Θεισοαίας ῥέοντες ἐμ-
βάλλουσιν ἐς τὸν Ἀλφειὸν Μυλάων, ἐπὶ δὲ αὐτῷ
Νοῦς καὶ Ἀχελῷος καὶ Κέλαδός τε καὶ Νάφιλος.
Ἀχελῴῳ δὲ τῷ Ἀρκάδι εἰσὶν ἄλλοι δύο ὁμώνυμοί τε
αὐτῷ ποταμοὶ, καὶ τὰ ἐς δόξαν φανερώτεροι· τὸν
μέν γε ἐπὶ τὰς Ἐχινάδας κατιόντα Ἀχελῷον διὰ τῆς
Ἀκαρνάνων καὶ δι' Αἰτωλίας, ἐν Ἰλιάδι Ὅμηρος
ποταμὸν [6]) τῶν πάντων ἄρχοντα εἶναι, ἕτερον δὲ Ἀχε-
λῷον ῥέοντα ἐκ Σιπύλου τοῦ ὄρους ἐποιήσατο, αὐτόν
τε τὸν ποταμὸν καὶ τὸ ὄρος τὸ Σίπυλον τοῦ λόγου
προσθήκην τοῦ ἐς Νιόβην· τρίτῳ δ' οὖν καὶ τῷ [7]) περὶ
8 τὸ ὄρος τὸ Λύκαιόν ἐϛιν ὄνομα Ἀχελῷος. Τῆς Λυ-
κοσούρας δέ ἐϛιν ἐν δεξιᾷ Νόμια ὄρη καλούμενα, καὶ
Πανὸς

5) Ἀπόλλ. τῷ Ἐπικουρίῳ] De hoc v. supra C. 30.

6) ἐν Ἰλιάδι Ὅμηρος ποταμὸν etc.] Post Ἰλιάδι prorsus alieno loco vulgatum fuit δὲ, quod, utpote ex praecedente syllaba δι male enatum, delevi. Pro ποταμὸν *Sylb.* mavult ποταμῶν. Locus Homeri est Iliad. Φ. v. 194 — 197., ac de altero Acheloo Iliad. ω. v. 615. 616. Mox ἐποιήσατο dupliciter sumendum, et cum ad superiora tum ad inferiora referendum est.

7) τῷ] Rescripsi τῷ ex Cod. Mosc. pro mendose vulgato τό.

Πανὸς ἱερὸν ἐν αὐτοῖς ἐστι Νομίου· καὶ τὸ χωρίον ὀνομάζουσι Μέλπειαν, τὸ ἀπὸ τῆς σύριγγος μέλος ἐνταῦθα Πανὸς εὑρεθῆναι λέγοντες· κληθῆναι δὲ τὰ ὄρη Νόμια, προχειρότατον μέν ἐστιν εἰκάζειν ἐπὶ τοῦ Πανὸς ταῖς νομαῖς· αὐτοὶ δὲ οἱ Ἀρκάδες νύμφης εἶναί φασιν ὄνομα.

## CAPUT XXXIX.

De fluvio Plataniſtone in via ad Phigaliam urbem — Phigalo et Phigalenſium diſceſſu ac reditu — Phigaliae urbis ſitus et memoranda — Bacchi Acratophori templum et ſignum.

Παρὰ δὲ τὴν Λυκόσουραν ὡς ἐπὶ ἡλίου δυσμὰς πο-
ταμὸς Πλατανιστὼν παρέξεισιν· ἀνδρὶ δὲ ἰόντι ἐς Φι-
γαλίαν ἀνάγκη πᾶσα διαβῆναι τὸν Πλατανιστῶνα.
μετὰ δὲ αὐτόν [1]) ἐστιν ἄνοδος ὅσον τε σταδίους τριακοντα
ἢ πλείοσι τῶν τριάκοντα οὐ πολλῷ. Τὰ δὲ ἐς τὸν 2
Λυκάονος Φίγαλον (οὗτος γὰρ δὴ τῇ πόλει τὸ ἐξαρ-
χῆς ἐγένετο οἰκιστὴς) καὶ ὡς μετέβαλεν ἀνὰ χρόνον
ἀπὸ Φιάλου Βουκολίωνος τὸ ὄνομα ἡ πόλις, καὶ αὖ-
θίς τε ἀνεσώσατο τὸ ἀρχαῖον, τόδε μὲν καὶ πρότερον
ἔτι ἐσήμαινεν ἡμῖν ὁ λόγος. λέγεται δὲ καὶ ἄλλα
οὐκ ἀξιόχρεω ἐς πίστιν· ἄνδρα αὐτόχθονα εἶναι τὸν
Φίγαλον, καὶ οὐ Λυκάονος παῖδα· τοῖς δὲ εἰρημένον
ἐστὶν, ὡς ἡ Φιγαλία νύμφη τῶν καλουμένων εἴη Δρυά-
δων. Λακεδαιμόνιοι δὲ ἡνίκα Ἀρκάσιν ἐπεχείρησαν
καὶ ἐσέβαλον ἐς τὴν Φιγαλίαν στρατιᾷ, μάχῃ τε νι-

 κῶσι

1) μετὰ δὲ αὐτόν] Repoſui αὐτὸν ex Codice Moſc. pro vulgata αὐτό. Pro σταδίους, quod mox ſequitur, ſcribendum puto σταδίοις, ut cum πλείοσι congruat; dativo enim ſaepius utitur Pauſanias in intervalli modo definiendo.

κῶσι τοὺς ἐπιχωρίους, καὶ ἐπολιόρκουν προκαθεζόμενοι· κινδυνεύοντος δὲ ἁλῶναι τοῦ τείχους, ἐκδιδράσκουσιν οἱ Φιγαλεῖς, καὶ οἱ Λακεδαιμόνιοι σφᾶς ἀφιᾶσιν ἐξελθεῖν ὑποσπόνδους. ἐγένετο δὲ τῆς Φιγαλίας ἅλωσις, καὶ Φιγαλέων ἡ ἐξ αὐτῆς φυγὴ, Μιλτιάδου μὲν Ἀθήνησιν ἄρχοντος, δευτέρῳ δὲ ἔτει τῆς τριακοστῆς ὀλυμπιάδος, ἣν Χίονις Λάκων ἐνίκα τὸ τρίτον. Φιγαλέων δὲ τοῖς διαπεφευγόσιν ἔδοξεν ἀφικομένοις ἐς Δελφοὺς ἐρωτᾶν ὑπὲρ καθόδου τὸν θεόν· καί σφισιν ἡ Πυθία, καθ' αὐτοὺς μὲν πειρωμένους ἐς Φιγαλίαν κατελθεῖν, οὐχ ὁρᾶν ἔφη κάθοδον, εἰ δὲ λογάδας ἑκατὸν ἐξ Ὀρεσθασίου προςλάβοιεν, τοὺς μὲν ἀποθανεῖσθαι παρὰ τὴν μάχην, Φιγαλεῦσι δὲ ἔσεσθαι δι' αὐτῶν κάθοδον. Ὀρεσθάσιοι δὲ ὡς τὴν γενομένην Φιγαλεῦσιν ἐπύθοντο μαντείαν, ἄλλος ἔφθανεν ἄλλον σπουδῇ λογάδων τε τῶν ἑκατὸν αὐτὸς ἕκαστος γενέσθαι, καὶ ἐξόδου τῆς ἐς Φιγαλίαν μετασχεῖν. παρελθόντες δὲ ἐπὶ τὴν Λακεδαιμονίων φρουρὰν, ἄγουσιν ἐς πάντα ἐπὶ τέλος τὸν χρησμόν· καὶ γὰρ αὐτοῖς λόγου μαχεσαμένοις ἀξίως ἐγένετο ἡ τελευτὴ, καὶ ἐξελάσαντες τοὺς Σπαρτιάτας, παρέσχον Φιγαλεῦσιν ἀπολαβεῖν πα-
3 τρίδα. Κεῖται δὲ ἡ Φιγαλία ἐπὶ μετεώρου μὲν καὶ ἀποτόμου, πλέονα δὲ καὶ ὑπὸ τῶν κρημνῶν ᾠκοδομημένα ἐστὶ τείχη σφίσιν· ἀνελθόντι δὲ ὁμαλής ἐστιν ὁ λόφος ἤδη καὶ ἐπίπεδος. ἔστι δὲ Σωτείρας τε ἱερὸν ἐνταῦθα Ἀρτέμιδος, καὶ ἄγαλμα ὀρθὸν λίθου· ἐκ τούτου δὲ τοῦ ἱεροῦ καὶ τὰς πομπάς σφισι πέμπειν
4 κατέστη. Ἐν δὲ τῷ γυμνασίῳ τὸ ἄγαλμα τοῦ Ἑρμοῦ ἀμπεχομένῳ μὲν ἔοικεν ἱμάτιον, καταλήγει δὲ οὐκ

ἐς

2) τόδε μὲν — ὁ λόγος] Vide supra C. 5.

ἐς πόδας, ἀλλ' ἐς τὸ τετράγωνον σχῆμα. πεποίηται δὲ καὶ Διονύσου ναός· ἐπίκλησις μέν ἐστιν αὐτῷ παρὰ τῶν ἐπιχωρίων Ἀκρατοφόρος· τὰ κάτω δὲ οὐκ ἔστι σύνοπτα τοῦ ἀγάλματος ὑπὸ δάφνης τε φύλλων καὶ κισσῶν· ὁπόσον δὲ αὐτοῦ καθορᾷν ἐστιν, ἐπαλήλιπται κιννάβαρι ἐκλάμπειν· εὑρίσκεσθαι δὲ ὑπὸ τῶν Ἰβήρων ὁμοῦ τῷ χρυσῷ λέγεται³).

## CAPUT XL.

In Arrhachionis signo priscae formae ratio memoratur — de Arrhachione pancratiasta ob victoriam post mortem ab Eleis coronato — de eodem honore Creuganti habito, et caestibus, qui μειλίχαι dicuntur.

Φιγαλεῦσι δὲ ἀνδριάς ἐστιν ἐπὶ τῆς ἀγορᾶς Ἀῤῥαχίωνος¹) τοῦ παγκρατιαστοῦ, τά τε ἄλλα ἀρχαῖος, καὶ
οὐχ ἥκιστα ἐπὶ τῷ σχήματι· οὐ διεστᾶσι μὲν πολὺ²)
οἱ πόδες, καθεῖνται³) δὲ παρὰ πλευρᾷ αἱ χεῖρες
ἄχρι τῶν γλουτῶν· πεποίηται μὲν δὴ ἡ εἰκὼν λίθου·
λέγουσι δὲ καὶ ἐπίγραμμα ἐπ' αὐτῇ γραφῆναι· καὶ
τοῦτο μὲν ἠφάνιστο ὑπὸ τοῦ χρόνου. Τῷ δὲ Ἀῤῥαχίωνι 2
ἐγένοντο Ὀλυμπικαὶ νῖκαι, δύο μὲν ὀλυμπιάσι ταῖς
πρὸ τῆς τετάρτης καὶ πεντηκοστῆς· ἐγένετο δὲ καὶ ἐν
αὐτῇ⁴) σὺν δικαίῳ τε ἐκ τῶν Ἑλλανοδικῶν, καὶ Ἀῤ-
ῥαχίο-

3) εὑρίσκεσθαι — λέγεται] sc. τὸ κιννάβαρι.

1) Ἀῤῥαχίονος] Cod. Mosc. Ἀρχίονος, et similiter paullo infra Ἄρχωνι, Ἄρχω.α, Ἄρχων. Philostrato, qui de hoc conferendus, Icon L. II. 6. dicitur Ἀῤῥιχίων.

2) πολὺ] Restitui ex Codice Mosc. pro mendosa lectione πολύν.

3) καθεῖνται] Vulgatum fuit κάθηνται, pro quo ex *Amasaei* interpretatione: *ad coxendices demissae*, et *Sylburgii* conjectura rescripsi καθεῖνται.

4) ἐν αὐτῇ] scilicet *Olympiade quinquagesima quarta.*

De

ῥαχίωνος αὐτοῦ τῇ ἀρετῇ. ὡς γὰρ δὴ πρὸς τὸν καταλειπόμενον ἔτι τῶν ἀνταγωνιστῶν ἐμάχετο ὑπὲρ τοῦ κοτίνου, ὁ μὲν προέλαβεν ὅστις δὴ ὁ ἀνταγωνιζόμενος, καὶ τοῖς ποσὶ τὸν Ἀῤῥαχίωνα εἶχεν ἐζωκὼς, καὶ τὸν τράχηλον ἐπίεζεν ἅμα αὐτοῦ ταῖς χερσίν· ὁ δὲ Ἀῤῥαχίων ἐκκλᾷ[5]) τὸν ἐν τῷ ποδὶ τοῦ ἀνταγωνιζομένου δάκτυλον, καὶ Ἀῤῥαχίων τε τὴν ψυχὴν ἀφίησιν ἀγχόμενος, καὶ ὁ ἄγχων τὸν Ἀῤῥαχίωνα ὑπὸ τοῦ δακτύλου τῆς ὀδύνης κατὰ τὸν καιρὸν ἀπαγορεύει τὸν αὐτόν. Ἠλεῖοι δὲ ἐστεφάνωσάν τε καὶ ἀνηγόρευσαν
3 νικῶντα τοῦ Ἀῤῥαχίονος τὸν νεκρόν. Ἐοικὸς δὲ καὶ Ἀργείους οἶδα ἐπὶ Κρεύγᾳ ποιήσαντας Ἐπιδαμνίῳ πύκτῃ· καὶ γὰρ Ἀργεῖοι τεθνεῶτι ἔδωσαν τῷ Κρεύγᾳ τῶν Νεμείων τὸν στέφανον, ὅτι ὁ πρὸς αὐτὸν μαχόμενος Δαμόξενος Συρακούσιος παρέβη τὰ ὡμολογημένα σφίσιν ἐς ἀλλήλους. ἐφέξειν μὲν γὰρ ἔμελλεν ἑσπέρα πυκτεύουσιν αὐτοῖς· συνέθεντο δὲ ἐς ἐπήκοον, ἀνὰ μέρος τὸν ἕτερον ὑποσχεῖν αὐτῶν τῷ ἑτέρῳ πληγήν. τοῖς δὲ πυκτεύουσιν οὐκ ἦν που[6]) τηνικαῦτα ἱμὰς ὀξὺς ἐπὶ τῷ καρπῷ τῆς χειρὸς ἑκατέρας, ἀλλὰ ταῖς μειλίχαις ἔτι ἐπύκτευον, ὑπὸ τὸ κοῖλον δέοντες τῆς χειρὸς, ἵνα οἱ δάκτυλοι σφίσιν ἀπολείπωνται γυμνοί· οἱ δὲ ἐκ βοείας ὠμῆς ἱμάντες λεπτοὶ τρόπον τινὰ ἀρχαῖον πεπλεγμένοι δι' ἀλλήλων ἦσαν αἱ μειλίχαι. τότε οὖν ὁ μὲν τὴν πληγὴν ἀφῆκεν ἐς τοῦ Δαμοξένου τὴν κεφαλήν· ὁ δὲ ἀνασχεῖν τὴν χεῖρα ὁ Δαμόξενος ἐκέλευσε τὸν Κρεύγαν· ἀνασχόντος δὲ, παίει

De Arrhachione post mortem coronato vid. etiam Euseb. Chronic. p. 150. ed. Scalig., quem locum paullo corruptum emendavit Palmer. Exerc. p. 424.

5) ἐκκλᾷ] *Amas.*, qui interpretatur *infregit*, legisse videtur ἐγκλᾷ. *Kuhn.* ἔκλα scribendum esse judicat.

6) που] *Sylb.* mavult πω.

παίει τοῖς δακτύλοις ὀρθοῖς ὑπὸ τὴν πλευράν· ὑπὸ δὲ ἀκμῆς τε τῶν ὀνύχων καὶ βίας τῆς πληγῆς τὴν χεῖρα ἐς τὸ ἐντὸς καθεὶς, ἐπιλαβόμενος τῶν σπλάγχνων ἐς τὸ ἐκτὸς ἕλκων ἀπέῤῥηξε· καὶ ὁ μὲν τὴν ψυχὴν αὐτίκα ὁ Κρεύγας ἀφίησιν. οἱ δὲ Ἀργεῖοι τὸν Δαμόξενον, ἅτε τὰ συγκείμενα ὑπερβάντα, καὶ ἀντὶ μιᾶς κεχρημένον πολλαῖς ἐς τὸν ἀντίπαλον ταῖς πληγαῖς ἐξελαύνουσι· τῷ Κρεύγᾳ δὲ τὴν νίκην τεθνεῶτι ἔδοσαν, καὶ ἐποιήσαντο εἰκόνα ἐν Ἄργει· καὶ ἐς ἐμὲ ἔκειτο ἐν τῷ Ἀπόλλωνος τοῦ Λυκίου [7]).

## CAPUT XLI.

Polyandrium in Phigalensium foro — fluvius Lymax unde dictus — de Neda fluvio — Eurynome ejusque sacris — montibus Phigaliae, Cotylio et Elaio, vico Bassis et templo Apollinis Epicurii — Lymacis fluvii fonte et loco Cotylo dicto.

Φιγαλεῦσι δὲ ἐπὶ τῆς ἀγορᾶς καὶ πολυάνδριον τῶν
λογάδων τῶν Ὀρεσθασίων [1]) ἐστὶ, καὶ ὡς ἥρωσιν αὐ-
τοῖς ἐναγίζουσιν ἀνὰ πᾶν ἔτος. Ποταμὸς δὲ ὁ κα- 2
λούμενος Λύμαξ ἐκδίδωσι μὲν ἐς τὴν Νέδαν παρ᾽
αὐτὴν ῥέων Φιγαλίαν· γενέσθαι δὲ τοὔνομά φασι
τῷ ποταμῷ καθαρσίων τῶν Ῥέας εἵνεκα. ὡς γὰρ
δὴ τεκοῦσαν τὸν Δία ἐκάθηραν ἐπὶ ταῖς ὠδῖσιν αἱ
Νύμφαι, τὰ καθάρματα ἐς τοῦτον ἐμβάλλουσι τὸν
ποταμόν· ὠνόμαζον δὲ ἄρα οἱ Ἀχαιοὶ αὐτὰ λύματα.
μαρτυρεῖ δὲ καὶ Ὅμηρος [2]), ἀπολυμαίνεσθαί τε ἐπὶ τῇ
λύσει

7) καὶ ἐποιήσαντο — Λυκίου] Vide supra L. II. C. 20. init.

1) τῶν λογάδων τ. Ὀ.] Vide paullo supra C. 39.

2) Ὅμηρος] Vid. Iliad. α. v. 314.

λύσει τοῦ λοιμοῦ τοὺς Ἕλληνας, καὶ ἐμβάλλειν τὰ
3 λύματα εἰπὼν σφᾶς ἐς θάλασσαν. Εἰσὶ δὲ αἱ
πηγαὶ τῆς Νέδας ἐν ὄρει τῷ Κεραυσίῳ· τοῦ Λυκαίου
δὲ μοῖρά ἐςι. καθότι δὲ ἐγγύτατα ἡ Νέδα Φιγαλέων
τῆς πόλεως γίνεται, κατὰ τοῦτο οἱ Φιγαλέων παῖδες
ἀποκείρονται τῷ ποταμῷ τὰς κόμας [3])· τὰ πρὸς θα-
λάσσῃ δὲ καὶ ἀναπλεῖται ναυσὶν οὐ μεγάλαις ἡ
Νέδα. ποταμῶν δὲ, ὁπόσους ἴσμεν, Μαίανδρος μὲν
σκολιῷ μάλιςα κάτεισι τῷ ῥεύματι, ἔς τε τὸ ἄνω
καμπὰς, καὶ αὖθις ἐπιςροφὰς παρεχόμενος πλείςας·
δεύτερα δὲ ἑλιγμῶν γε ἕνεκα φέροιτο ἂν ἡ Νέδα.
4 Σταδίοις δὲ ὅσον δώδεκα ἀνωτέρω Φιγαλίας θερμά
τέ ἐςι λουτρὰ, καὶ τούτων οὐ πόῤῥω κάτεισιν ὁ Λύμαξ
ἐς τὴν Νέδαν· ᾗ δὲ συμβάλλουσι τὰ ῥεύματα, ἔςι
τῆς Εὐρυνόμης τὸ ἱερὸν, ἅγιόν τε ἐκ παλαιοῦ, καὶ ὑπὸ
τραχύτητος τοῦ χωρίου δυσπρόσοδον· περὶ αὐτὸ καὶ
κυπάρισσοι πεφύκασι πολλαί τε καὶ ἀλλήλαις
συνεχεῖς. τὴν δὲ Εὐρυνόμην ὁ μὲν τῶν Φιγαλέων
δῆμος ἐπίκλησιν εἶναι πεπίςευκεν Ἀρτέμιδος· ὅσοι δὲ
αὐτῶν παρειλήφασιν ὑπομνήματα ἀρχαῖα, θυγα-
τέρα Ὠκεανοῦ φασιν εἶναι τὴν Εὐρυνόμην, ἧς καὶ [4])
Ὅμηρος ἐν Ἰλιάδι ἐποιήσατο μνήμην, ὡς ὁμοῦ Θέτιδι
ὑποδέξαιτο Ἥφαιςον [5]). ἡμέρᾳ δὲ τῇ αὐτῇ κατὰ
ἔτος ἕκαςον τὸ ἱερὸν ἀνοιγνύουσι τῆς Εὐρυνόμης· τὸν
δὲ ἄλλον χρόνον οὔ σφισιν ἀνοιγνύναι καθέςηκε· τηνι-
καῦτα δὲ καὶ θυσίας δημοσίᾳ τε καὶ ἰδιῶται θύουσιν.

ἀφι-

3) οἱ Φιγαλέων παῖδες — τὰς κόμας;] De hoc ritu vide supra not. 7. ad L. I. C. 37.

4) ἧς καὶ] Cod. Mosc. ἧς δὴ καί.

5) Ὅμηρος — ὑποδέξαιτο Ἥφαιςον] Pro vulgato ὑπεδέξατο ex Cod. Mosc. rescripsi ὑποδέξαιτο. Locus Homeri est Iliad. σ. v. 398. De Eurynome conf. Heyne V. C. ad Apollodor. p. 21. et 31.

ἀφικέσθαι μὲν δή μοι τῆς ἑορτῆς οὐκ ἐξεγένετο ἐς καιρὸν, οὐδὲ τῆς Εὐρυνόμης τὸ ἄγαλμα εἶδον· τῶν Φιγαλέων δὲ ἤκουσα, ὡς χρυσαῖ τε τὸ ξόανον ἁλύσεις καὶ εἰκὼν γυναικὸς τὰ ἄκρα τῶν γλουτῶν [6]), τὸ ἀπὸ τούτου δέ ἐστιν ἰχθύς· Ἀρτέμιδι δὲ οὐκ ἔστιν ὅπως ἂν μετά γε τοῦ εἰκότος λόγου μετείη τοιούτου σχήματος. Περιέχεται δὲ ἡ Φιγαλία ὄρεσιν, ἐν ἀριστερᾷ μὲν ὑπὸ τοῦ καλουμένου Κοτυλίου, τὰ δὲ ἐς δεξιὰ [7]) ἕτερον προβεβλημένον ἐστὶν αὐτῆς ὄρος τὸ Ἐλάϊον· ἀπέχει δὲ τῆς πόλεως ἐς τεσσαράκοντα τὸ Κοτύλιον μάλιστα σταδίους· ἐν δὲ τῷ αὐτῷ χωρίον τέ ἐστι καλούμενον Βάσσαι, καὶ ὁ ναὸς τοῦ Ἀπόλλωνος τοῦ Ἐπικουρίου, λίθου καὶ αὐτὸς ὄροφος [8]). ναῶν δὲ, ὅσοι Πελοποννησίοις εἰσὶ, μετά γε τὸν ἐν Τεγέᾳ [9]), προτιμῷτο οὗτος ἂν τοῦ λίθου τε ἐς κάλλος καὶ τῆς ἁρμονίας εἵνεκα. τὸ δὲ ὄνομα ἐγένετο τῷ Ἀπόλλωνι ἐπικουρήσαντι ἐπὶ νόσῳ λοιμώδει· καθότι καὶ παρ᾽ Ἀθηναίοις ἐπωνυμίαν ἔλαβεν Ἀλεξίκακος, ἀποτρέψας καὶ τούτοις τὴν νόσον· ἔπαυσε δὲ ὑπὸ τὸν τῶν Πελοποννησίων καὶ Ἀθηναίων πόλεμον καὶ τοὺς Φιγαλέας [10]), καὶ οὐκ ἐν ἑτέρῳ καιρῷ· μαρτυρία δὲ αἵ τε

ἐπι-

6) *χρυσαῖ τε τὸ ξόανον ἁλύσεις — τὰ ἄκρα τ. γλ.*] Recte *Sylb.* notat, vel legendum esse *χρ. τε περὶ τὸ ξ. ἁλ.*, vel post *ἁλύσεις* verbum excidisse, forte *κατέχουσι*, uti Palmer. suspicatur Exercit. p. 425. Pro *τὰ ἄκρα τῶν γλ.* *Sylb.* quoque mavult *τὰ ἄχρι τῶν γλ.*, uti C. 40. initio fuit.

7) Κοτυλίου, — ἐς δεξιὰ] In Codice Mosc. Κωτύλου, uti et in sequentibus constanter fere cum ω scriptum. Pro ἐς δεξιὰ ibi est ἐς δεξιάν.

8) *λίθου καὶ αὐτὸς ὄροφος*] Forte scribendum sit: *λ. καὶ αὐτὸς καὶ ὁ ὄροφος.*

9) *μετά γε τὸν ἐν Τεγέᾳ*] Aleae Minervae, de quo templo infra C. 45.

10) *ἔπαυσε δὲ — τοὺς Φιγαλέας*] scilicet *τῆς νόσου.*

ἐπικλήσεις ἀμφότεραι τοῦ Ἀπόλλωνος ἐοικός τι ὑποσημαίνουσαι, καὶ Ἰκτῖνος ὁ ἀρχιτέκτων τοῦ ἐν Φιγαλίᾳ ναοῦ, γεγονὼς τῇ ἡλικίᾳ κατὰ Περικλέα, καὶ Ἀθηναίοις τὸν Παρθενῶνα καλούμενον κατασκευάσας[11]). ἐδίδαξε δὲ ὁ λόγος ἤδη μοι, τὸ ἄγαλμα εἶναι τοῦ Ἀπόλλωνος Μεγαλοπολιτῶν ἐν τῇ ἀγορᾷ[12]).

6 Ἔστι δὲ ὕδατος ἐν τῷ ὄρει τῷ Κωτιλίῳ πηγή· καὶ ὅπου συνέγραψέ τις ἀπὸ ταύτης τῷ ποταμῷ τὸ ῥεῦμα τῷ Λύμακι ἄρχεσθαι, συνέγραψεν οὔτε αὐτὸς θεασάμενος, οὔτε ἀνδρὸς ἀκοῇ ἰδόντος· ἃ καὶ ἀμφότερα παρῆσαν ἐμοί[13])· τὸ μὲν ποταμοῦ ῥεῦμα ὃν ἑωρῶμεν[14]), τῆς δὲ ἐν τῷ Κωτιλίῳ πηγῆς οὐκ ἐπὶ πολὺ ἐξικνούμενον τὸ ὕδωρ, ἀλλὰ ἐντὸς ὀλίγου παντάπασιν ἀφανὲς γινόμενον. οὐ μὴν οὐδὲ ὅπου τῆς Ἀρκάδων ἐστὶν ἡ πηγὴ τῷ Λύμακι, ἐπῆλθε πολυπραγμονῆσαί μοι. ἔστι δὲ ὑπὲρ τὸ ἱερὸν τοῦ Ἀπόλλωνος τοῦ Ἐπικουρίου Κότυλον μὲν ἐπίκλησιν· Ἀφροδίτη δέ ἐστιν ἐν Κοτύλῳ[15])· καὶ αὐτῇ τε ναὸς ἦν οὐκ ἔχων ἔτι ὄροφον, καὶ ἄγαλμα ἐπεποίητο.

11) καὶ — κατασκευάσας] Firmat hoc Strabo L. IX. p. 605.

12) ἐδίδαξε — ἀγορᾷ] Vide supra C. 30.

13) ἃ καὶ ἀ. παρ. ἐμοί] *quod utrumque mihi contigit.*

14) τὸ μὲν — ὃν ἑωρῶμεν] Pro male vulgato ὂν Cod. Mosc. exhibet ὅ. Sed ὃν, quod rescripsi, veram lectionem esse, *Amasaei* interpretatio declarat: *nam et amnis profluentem vidimus et etc.*

15) ἐν Κοτύλῳ] Ut Pausaniae sua scriptura constet, Κοτύλῳ dedi pro vulgato Κωτίλῳ.

CAPUT

## CAPUT XLII.

De monte Elaïo et Cereris Nigrae antro — de Cereris luctu et secessu Phigalensium narratio — de Cereris Nigrae prisco signo — illius recentiori signo ab Onata confecto — Cereris Nigrae sacris.

Τὸ δὲ ἕτερον τῶν ὀρῶν τὸ Ἐλάϊον, ἀπωτέρω μὲν Φιγαλίας ὅσον τε σταδίοις τριάκοντά ἐστι· Δήμητρος δὲ ἄντρον αὐτόθι ἱερὸν, ἐπίκλησιν Μελαίνης. Ὅσα μὲν δὴ 2
οἱ ἐν Θελπούσῃ λέγουσιν ἐς μίξιν τὴν Ποσειδῶνός τε καὶ Δήμητρος, κατὰ ταυτὰ σφίσιν οἱ Φιγαλεῖς νομίζουσι. τεχθῆναι δὲ ὑπὸ τῆς Δήμητρος οἱ Φιγαλεῖς φασιν οὐχ ἵππον, ἀλλὰ τὴν Δέσποιναν ἐπονομαζομένην ὑπὸ Ἀρκάδων· τὸ δὲ ἀπὸ τούτου λέγουσι θυμῷ τε ἅμα ἐς τὸν Ποσειδῶνα αὐτὴν καὶ ἐπὶ τῆς Περσεφόνης τῇ ἁρπαγῇ πένθει χρωμένην, μέλαιναν ἐσθῆτα ἐνδῦναι, καὶ ἐς τὸ σπήλαιον τοῦτο ἐλθοῦσαν ἐπὶ χρόνον ἀπεῖναι πολύν. ὡς δὲ ἐφθείρετο μὲν [1]) πάντα, ὅσα ἡ γῆ τρέφει, τὸ δὲ ἀνθρώπων γένος καὶ ἐς πλέον ἀπώλλυτο ὑπὸ λιμοῦ, θεῶν μὲν ἄλλων ἠπίστατο ἄρα οὐδεὶς, ἔνθα ἀπεκέκρυπτο ἡ Δημήτηρ· τὸν δὲ Πᾶνα ἐπιέναι μὲν τὴν Ἀρκαδίαν, καὶ ἄλλοτε αὐτὸν ἐν ἄλλῳ θηρεύειν τῶν ὀρῶν, ἀφικόμενον δὲ πρὸς τὸ Ἐλάϊον κατοπτεῦσαι τὴν Δήμητρα, σχήματός τε ὡς εἶχε καὶ ἐσθῆτα ἐνεδέδυτο ποίαν· πυθέσθαι δὲ τὸν Δία ταῦτα παρὰ τοῦ Πανὸς, καὶ οὕτως ὑπ᾽ αὐτοῦ πεμφθῆναι τὰς Μοίρας παρὰ τὴν Δήμητρα [2])· τὴν δὲ πεισθῆναί τε ταῖς Μοίραις, καὶ ἀποθέσθαι μὲν τὴν ὀργὴν, ὑφεῖναι δὲ καὶ τῆς λύπης. Σφᾶς δὲ ἀντὶ τούτων 3
φασὶν

1) ἐφθείρετο μὲν] In Codice Mosc. abest μέν.

2) Δήμητρα] Pro vulgato Δήμητραν restitui ex Cod. M.

φασὶν οἱ Φιγαλεῖς τό τε σπήλαιον νομίσαι τοῦτο ἱερὸν Δήμητρος, καὶ ἐς αὐτὸ ἄγαλμα ἀναθεῖναι ξύλου· πεποιῆσθαι δὲ οὕτω σφίσι τὸ ἄγαλμα· καθέζεσθαι μὲν ἐπὶ πέτρᾳ, γυναικὶ δὲ ἐοικέναι τὰ ἄλλα πλὴν κεφαλήν· κεφαλὴν δὲ καὶ κόμην εἶχεν ἵππου, καὶ δρακόντων τε καὶ ἄλλων θηρίων εἰκόνες προσεπεφύκεσαν τῇ κεφαλῇ· χιτῶν δὲ ἐνεδέδυτο καὶ ἄκρους τοὺς πόδας· δελφὶς δὲ ἐπὶ τῆς χειρὸς ἦν αὐτῇ, περιςερὰ δὲ ἡ ὄρνις ἐπὶ τῇ ἑτέρᾳ. ἐφ' ὅτῳ μὲν δὴ οἱ τὸ ξόανον ἐποιήσαντο οὕτως, ἀνδρὶ οὐκ ἀσυνέτῳ γνώμην, ἀγαθῷ δὲ καὶ τὰ ἐς μνήμην, δῆλά ἐςι· Μέλαιναν δὲ ἐπονομάσαι φασὶν αὐτὴν, ὅτι καὶ ἡ θεὸς μέλαιναν τὴν ἐσθῆτα εἶχε. τοῦτο μὲν δὴ τὸ ξόανον, οὔτε ὅτου ποίημα ἦν, οὔτε ἡ φλὸξ τρόπον ὅντινα ἐπέλαβεν αὐτὸ,
4 μνημονεύουσιν. Ἀφανισθέντος δὲ τοῦ ἀρχαίου, Φιγαλεῖς οὔτε ἄγαλμα ἄλλο ἀπεδίδοσαν τῇ θεῷ, καὶ ὁπόσα ἐς ἑορτὰς καὶ θυσίας, τὰ πολλὰ δὴ παρῶπτό σφισιν· ἐς ὃ ἡ ἀκαρπία ἐπιλαμβάνει τὴν γῆν, καὶ ἱκετεύσασιν αὐτοῖς χρᾷ τάδε ἡ Πυθία·

Ἀρκάδες Ἀζᾶνες βαλανηφάγοι, οἳ Φιγάλειαν [3])
Νάσσασθ' ἱππολεχοῦς Δηοῦς [4]) κρυπτήριον ἄντρον,
Ἥκετε πευσόμενοι λιμοῦ λύσιν ἀλγινόεντος,
Μοῦνοι [5]) δὶς νομάδες, μοῦνοι πάλιν ἀγριοδαῖται.
Δηὼ μέν σε ἔπαυσε νομῆς, Δηὼ δὲ νομήων
Ἑλκησιςαχύων, καὶ νασοφάγον πάλι [6]) θῆκε,

Νοσφι-

3) βαλανηφάγοι, οἳ Φιγάλειαν] Cod. Mosc. Φιγαλίαν. De Arcadibus glandivoris vide supra C. I. et Philostrat. vit. Apoll. L. VIII. C. 7. 12. p. 347.

4) Δηοῦς] Cod. Mosc. Δηιοῦς et sic paullo post bis Δηιὼ pro Δηὼ exhibet.

5) Μοῦνοι] Cod. Mosc. Μόνοι.

6) νασοφάγον πάλι] Cod. Mosc. ἀναςροφείγων πάλιν.

Νοσφισθεῖσα γέρα [7]) προτέρων τιμάς τε παλαιάς.
Καί σ' ἀλληλοφάγον θήσει τάχα καὶ τεκνοδαίτην,
Εἰ μὴ πανδήμοις λοιβαῖς χόλον ἱλάσσεσθε,
Σήραγγός τε μυχὸν θείαις κοσμήσετε τιμαῖς.

ὡς δὲ οἱ Φιγαλεῖς ἀνακομισθὲν τὸ μάντευμα ἤκουσαν, τά τε ἄλλα ἐς πλέον τιμῆς ἢ τὰ πρότερα τὴν Δήμητρα [8]) ἦγον, καὶ Ὀνατᾶν τὸν Μίκωνος Αἰγινήτην πείθουσιν ἐφ' ὅτῳ δὴ μισθῷ ποιῆσαί σφισιν ἄγαλμα Δήμητρος. τοῦ δὲ Ὀνατᾶ τούτου Περγαμηνοῖς ἐστιν Ἀπόλλων χαλκοῦς, θαῦμα ἐν τοῖς μάλιστα μεγέθους τε ἕνεκα καὶ ἐπὶ τῇ τέχνῃ. τότε δὲ ὁ ἀνὴρ οὗτος ἀνευρὼν γραφὴν ἢ μίμημα τοῦ ἀρχαίου ξοάνου [9]), τὰ πλείω τοῦδε, ὡς λέγεται, καὶ κατὰ ὀνειράτων ὄψιν, ἐποίησε χαλκοῦν Φιγαλεῦσιν ἄγαλμα, γενεαῖς μάλιστα [10]) ὕστερον τῆς ἐπὶ τὴν Ἑλλάδα ἐπιστρατείας τοῦ Μήδου. μαρτυρεῖ δέ μοι τῷ λόγῳ· κατὰ γὰρ τὴν Ξέρξου διάβασιν ἐς τὴν Εὐρώπην Συρακουσῶν τε ἐτυράννει καὶ Σικελίας τῆς ἄλλης Γέλων ὁ Δεινομένους· ἐπεὶ δὲ ἐτελεύτησε Γέλων, ἐς Ἱέρωνα ἀδελφὸν Γέλωνος περιῆλθεν ἡ ἀρχή. Ἱέρωνος δὲ ἀποθανόντος πρότερον, πρὶν ἢ τῷ Ὀλυμπίῳ Διῒ ἀναθεῖναι [11]) τὰ ἀναθήματα, ἃ ηὔξατο ἐπὶ τῶν ἵππων ταῖς νίκαις, οὕτω Δεινομένης Ἱέρωνος ἀπέδωκεν ὑπὲρ τοῦ πατρός· Ὀνατᾶ καὶ ταῦτα ποιήματα [12]), καὶ ἐπίγραμμα ἐν Ὀλυμπίᾳ, τὸ μὲν ὑπὲρ τοῦ ἀναθήματος, ἐστιν αὐτῶν·



7) γέρα] Cod. Mosc. γ' ἄρα.

8) Δήμητρα] Ex Cod. Mosc. pro vulgato Δήμητραν.

9) τοῦ ἀρχαίου ξ.] Restitui τοῦ ex Cod. Mosc.

10) γενεαῖς μάλιστα] *Amas.* interpretatur *aetatibus aliquot.* Mihi numerus potius, uti saepius, excidisse videtur per literam expressus.

11) ἀναθεῖναι] Cod. Mosc. ἀναθῆναι.

12) οὕτω Δεινομένης — ποιήματα] Eadem lege supra L. VI. C. 12. init.

Σόν ποτε νικήσας, Ζεῦ Ὀλύμπιε, σεμνὸν ἀγῶνα
Τεθρίππῳ μὲν ἅπαξ, μουνοκέλητι δὲ δίς,
Δῶρ' Ἱέρων τάδε σοι ἐχαρίσσατο· παῖς δ' ἀνέθηκε
Δεινομένης πατρὸς μνῆμα Συρακοσίου.

τὸ δὲ ἕτερον λέγει τῶν ἐπιγραμμάτων·

Υἱὸς μέν γε Μίκωνος Ὀνατᾶς ἐξετέλεσσεν
Νάσῳ ἐν Αἰγίνῃ δώματα ναιετάων.

ἡ δὲ ἡλικία τοῦ Ὀνατᾶ κατὰ τὸν Ἀθηναῖον Ἡγίαν
5 καὶ Ἀγελάδαν [13]) συμβαίνει τὸν Ἀργεῖον. Ταύτης μάλιστα ἐγὼ τῆς Δήμητρος ἕνεκα ἐς Φιγαλίαν ἀφικόμην, καὶ ἔθυσα τῇ θεῷ, καθὰ καὶ οἱ ἐπιχώριοι νομίζουσιν, οὐδέν· τὰ δὲ ἀπὸ των δένδρων τῶν ἡμέρων, τά τε ἄλλα, καὶ ἀμπέλου καρπὸν, καὶ μελισσῶν τε κηρία, καὶ ἐρίων τὰ μὴ ἐς ἐργασίαν πω ἥκοντα, ἀλλὰ ἔτι ἀνάπλεα τοῦ οἰσύπου, ἃ τιθέασιν ἐπὶ τὸν βωμὸν ᾠκοδομημένον πρὸ τοῦ σπηλαίου, θέντες δὲ καταχέουσιν αὐτῶν ἔλαιον, ταῦτα ἰδιώταις τε ἀνδράσι καὶ ἀνὰ πᾶν ἔτος τῷ κοινῷ καθέστηκεν ἐς τὴν θυσίαν· ἱέρεια δέ σφίσιν ἐστιν ἡ δρῶσα, σὺν δὲ αὐτῇ καὶ τῶν ἱεροθύτων καλουμένων ὁ νεώτατος· οἱ δέ εἰσι τῶν ἀστῶν
6 τρεῖς ἀριθμόν. Ἔστι δὲ δρυῶν τε ἄλσος περὶ τὸ σπήλαιον, καὶ ὕδωρ ψυχρὸν ἄνεισιν ἐκ τῆς γῆς. τὸ δὲ ἄγαλμα τὸ ὑπὸ τοῦ Ὀνατᾶ ποιηθὲν οὔτε ἦν κατ' ἐμὲ, οὔτε, εἰ ἐγένετο ἀρχὴν [14]) Φιγαλεῦσιν, ἠπίσταντο οἱ πολλοί· τῶν δὲ ἐντυχόντων ἡμῖν ἔλεγεν ὁ πρεσβύτατος, γενεαῖς πρότερον τρισὶν ἢ κατ' αὐτὸν ἐμπεσεῖν ἐς τὸ ἄγαλμα ἐκ τοῦ ὀρόφου πέτρας, ὑπὸ τούτων δὲ καταγῆναι καὶ ἐς ἅπαν ἔφασκεν αὐτὸ ἀφανισθῆναι· καὶ ἐν γε τῷ ὀρόφῳ δῆλα καὶ ἡμῖν ἔτι ἦν, καθὰ ἀπεῤῥώγεσαν αἱ πέτραι.

13) Ἀγελάδαν] Cod. Mosc. Ἀγελάδα.

14) ἀρχὴν] *omnino*: De quo vocis significatu vide supra not. 8. ad L. II. C. 16.

CAPUT

## C A P U T XLIII.

De urbe Pallantio — Euandro Pallantii ad Tiberim conditore — Antonini Pii rebus bello geſtis et beneficiis in Graecas et alias gentes collatis — illius filii Antonini rebus geſtis.

'Απαιτεῖ δὲ ἡμᾶς τὸ μετὰ τοῦτο ὁ λόγος τό τε Παλλάντιον, εἰ δή τι αὐτόθι ἐςὶν εἰς μνήμην, καὶ καθ' ἥντινα βασιλεὺς αἰτίαν 'Αντωνῖνος ὁ πρότερος πόλιν τε ἀντὶ κώμης ἐποίησε Παλλάντιον, καί σφισιν ἐλευθερίαν καὶ ἀτέλειαν ἔδωκεν εἶναι φόρων. Φασὶ δὴ, καὶ 2
γνώμην γενέσθαι καὶ τὰ ἐς πόλεμον ἄριςον τῶν 'Αρκάδων ὄνομα Εὔανδρον· παῖδα δὲ αὐτὸν νύμφης τε εἶναι, θυγατρὸς τοῦ Λάδωνος, καὶ 'Ερμοῦ· ςαλέντα δὲ ἐς ἀποικίαν, καὶ ἄγοντα 'Αρκάδων τῶν ἐκ Παλλαντίου ςρατιὰν, παρὰ τῷ ποταμῷ πόλιν τῷ Θύμβριδι οἰκίσαι· καὶ 'Ρωμαίων μέρος τῆς καθ' ἡμᾶς πόλεως, ὅπερ ᾠκεῖτο ὑπὸ τοῦ Εὐάνδρου καὶ 'Αρκάδων τῶν συνακολουθησάντων, ὄνομα ἔσχε Παλλάντιον κατὰ μνήμην τῆς ἐν 'Αρκαδίᾳ· χρόνῳ δὲ ὕςερον μετέπεσε τὸ ὄνομα ἐν ἀναιρέσει γραμμάτων τοῦ τε λ καὶ τοῦ ν. τούτων μὲν τῶν λεγομένων εἵνεκα Παλλαντιεῦσιν ἐκ βασιλέως ἐγένοντο δωρεαί. 'Ο δὲ 'Αντωνῖνος, 3
ὅτῳ καὶ ἐς Παλλαντιεῖς ἐςιν εὐεργέτημα, πόλεμον μὲν 'Ρωμαίοις ἐθελοντὴς ἐπηγάγετο οὐδένα, πολέμου δὲ ἄρξαντας Μαύρους, Λιβύων τῶν αὐτονόμων τὴν μεγίςην μοῖραν, νομάδας τε ὄντας, καὶ τοσῷδε ἔτι δυςμαχωτέρους τοῦ Σκυθικοῦ γένους, ὅσῳ μὴ ἐπ' ἁμαξῶν, ἐπὶ ἵππων δὲ αὐτοί τε καὶ αἱ γυναῖκες ἠλῶντο, τοὺς μὲν ἐξ ἁπάσης ἐλαύνων τῆς χώρας ἐς τὰ ἔσχατα ἠνάγκασεν ἀναφυγεῖν Λιβύης, ἐπί τε Ἄτλαντα τὸ ὄρος, καὶ ἐς τοὺς πρὸς τῷ Ἄτλαντι ἀνθρώπους. ἀπετέμετο δὲ καὶ τῶν ἐν Βριττανίᾳ Βριγάντων τὴν πολλὴν, ὅτι ἐπεσβαίνειν καὶ οὗτοι σὺν τοῖς ὅπλοις ἦρξαν

τὴν Γενουνίαν [1]) μοῖραν, ὑπηκόους Ῥωμαίων. Λυκίων δὲ καὶ Καρῶν τὰς πόλεις, Κῶν τε καὶ Ῥόδον ἀνέτρεψε μὲν βίαιος εἰς αὐτὰς κατασκήψας σεισμός· βασιλεὺς δὲ Ἀντωνῖνος καὶ ταύτας ἀνεσώσατο δαπανημάτων τε ὑπερβολῇ καὶ ἐς τὸν ἀνοικισμὸν προθυμίᾳ. χρημάτων δὲ ἐπιδόσεις ὁπόσας καὶ Ἕλλησι καὶ τοῦ βαρβαρικοῦ τοῖς δεηθεῖσι, καὶ ὧν ἔργων κατεσκεύασεν ἔν τε τῇ Ἑλλάδι, καὶ περὶ Ἰωνίαν, καὶ περὶ Καρχηδόνα τε καὶ εν γῇ τῇ Σύρων, τάδε μὲν ἄλλοι ἔγραψαν ἐς τὸ ἀκριβέστατον· ὁ δὲ βασιλεὺς ὑπελείπετο οὗτος καὶ ἄλλο τοιόνδε ἐς μνήμην. ὅσοις τῶν ὑπηκόων πολίταις ὑπῆρχεν εἶναι Ῥωμαίων, οἱ δὲ παῖδες ἐτέλουν σφίσιν ἐς τὸ Ἑλληνικὸν, τούτοις ἐλείπετο εἰκότα νεῖμαι τὰ χρήματα ἐς οὐ προσήκοντας, ἢ ἐπαυξῆσαι τὸν βασιλέως πλοῦτον, κατὰ νόμον δή τινα· Ἀντωνῖνος δὲ ἐφῆκε καὶ τούτοις διδόναι σφᾶς παισὶ τὸν κλῆρον, προτιμήσας φανῆναι φιλάνθρωπος ἢ ὠφέλιμον ἐς χρήματα φυλάξαι νόμον. τοῦτον Εὐσεβῆ τὸν βασιλέα ἐκάλεσαν οἱ Ῥωμαῖοι, διότι ἐς τὸ θεῖον τιμῇ μάλιστα ἐφαίνετο χρώμενος. δόξῃ δὲ ἐμῇ καὶ τὸ ὄνομα τὸ Κύρου φέροιτο ἂν τοῦ πρεσβυτέρου, πατὴρ ἀνθρώπων
4 καλούμενος [2]). Ἀπέλειπε δὲ καὶ ἐπὶ τῇ βασιλείᾳ παῖδα ὁμώνυμον. ὁ δὲ Ἀντωνῖνος οὗτος ὁ δεύτερος καὶ τούς τε Γερμανοὺς μαχιμωτάτους καὶ πλείστους τῶν ἐν τῇ Εὐρώπῃ βαρβάρων καὶ ἔθνος τὸ Σαυροματῶν πολέμου καὶ ἀδικίας ἄρξαντας τιμωρούμενος ἐπεξῆλθε.

1) τὴν Γενουνίαν] Cod. Mofc. ἐς τὴν Γεν. Sed Γενουνίαν corruptum videri, cum veteres Geographi nihil de hac gente memorent, *Sylb.* et *Kuhn.* recte monuerunt. Haud abfurde igitur *Kuhn.* emendat Γενουνίαν vel Γενουΐαν, *Venuvium.* In Antonini enim Itinerario legitur *Vinnovia* et Ptolemaeus Geogr. L. II. inter Brigantum civitates habet Οὐϊννουΐον, *Vinnuvium.*

2) τὸ ὄνομα τὸ Κύρου — καλούμενος] Vide Herodot. L. III. f. 89. et Diodor. L. IV. f. 30. atque Exc. de virt. ac vit. p. 553.

CAPUT

## CAPUT XLIV.

Via a Megalopoli Pallantium et Tegeam verſus — urbs Haemoniae, Oreſthaſii atque Aſeae urbis reliquiae — Alphei et Eurotae fluviorum fontes et conjunctio — mons Boreum et locus Choma dictus — memoranda Pallantii, templum Deorum Purorum — campus Manthuricus, mons Creſium et templum Aphnei in eo — fons Leuconius.

Τὰ δὲ δὴ ἐπίλοιπα ἡμῖν τοῦ Ἀρκαδικοῦ λόγου, ἔστιν ἐκ Μεγάλης πόλεως ἐς Παλλάντιον ὁδὸς καὶ ἐς Τέγεαν, ἄγουσα αὕτη μέχρι τοῦ καλουμένου Χώματος. Κατὰ ταύτην τὴν ὁδὸν Λαδογκέα ¹) σφίσιν ὠνόμασται τὰ πρὸ τοῦ ἄστεως, ἀπὸ Λαδόκου τοῦ Ἐχέμου. Καὶ μετὰ ταῦτα Αἱμονιαὶ πόλις ²) ἦσαν τὸ ἀρχαῖον· 2
οἰκιστὴς δὲ Αἵμων ἐγένετο αὐταῖς ὁ Λυκάονος· διαμεμένηκε δὲ ἐς τόδε Αἱμονιὰς τὸ χωρίον τοῦτο ὀνομάζεσθαι. μετὰ δὲ Αἱμονιὰς ἐν δεξιᾷ τῆς ὁδοῦ πόλεώς ἐστιν Ὀρεσθασίου καὶ ἄλλα ὑπολειπόμενα ἐς μνήμην, καὶ Ἀρτέμιδος ἱεροῦ κίονες ἔτι· ἐπίκλησις ³) δὲ Ἱέρεια τῇ Ἀρτέμιδί ἐστι. τὴν δὲ εὐθεῖαν ἰόντι ἐξ Αἱμονιῶν, Ἀφροδίσιόν τέ ἐστιν ὀνομαζόμενον, καὶ μετ᾽ αὐτὸ ἄλλο χωρίον τὸ Ἀθήναιον· τούτου δὲ ἐν ἀριστερᾷ ναός ἐστιν Ἀθηνᾶς, καὶ ἄγαλμα ἐν αὐτῷ λίθου. τοῦ Ἀθηναίου δὲ μάλιστα εἴκοσι ἀπωτέρω σταδίοις ἐρείπια Ἀσέας ἐστὶ, καὶ ὁ λόφος, ἀκρόπολίς ποτε οὖσα, τείχους σημεῖα ἔχει καὶ ἐς τόδε. Σταδίους δὲ ὅσον πέντε ἀπὸ Ἀσέας 3
τοῦ Ἀλφειοῦ μὲν ὀλίγον ἄπο τῆς ὁδοῦ, τοῦ δὲ Εὐρώτα

 παρ᾽

1) Λαδογκέα] Cum Amaſaeo legendum eſſe Λαδοκέα, ſequens Λαδόκου declarat. Mox pro Ἐχέμου Cod. Moſc. dat Ἐχέλου.

2) Αἱμονιαὶ πόλις] Reſcripſi πόλις pro mendoſe vulgato πόλεις.

3) ἐπίκλησις] Nominativum repoſui, ſtructura orationis ita flagitante, pro vulgato ἐπίκλησιν.

παρ᾽ αὐτήν ἐςι πηγὴ τὴν ὁδόν [4])· πρός τε τοῦ Ἀλφειοῦ τῇ πηγῇ ναός τε μητρὸς θεῶν ἐςιν οὐκ ἔχων ὄροφον, καὶ λέοντες δύο λίθου πεποιημένοι. τοῦ δὲ Εὐρώτα τὸ ὕδωρ ἀνακεράννυταί τε πρὸς τὸν Ἀλφειὸν, καὶ ὅσον ἐπὶ εἴκοσι ςαδίους κοινῷ προΐασι τῷ ῥεύματι· κατελθόντες δὲ ἐς χάσμα, ὁ μὲν αὐτῶν ἄνεισιν αὖθις ἐν τῇ γῇ τῇ Λακεδαιμονίων ὁ Εὐρώτας, ὁ δὲ Ἀλφειὸς
4 ἐν Πηγαῖς [5]) τῆς Μεγαλοπολίτιδος. Ἔςι δὲ ἄνοδος ἐξ Ἀσέας ἐς τὸ ὄρος τὸ Βόρειον [6]) καλούμενον, καὶ ἐπὶ τῇ ἄκρᾳ τοῦ ὄρους σημεῖά ἐςιν ἱεροῦ· ποιῆσαι δὲ τὸ ἱερὸν Ἀθηνᾷ τε σωτείρᾳ καὶ Ποσειδῶνι Ὀδυσσέα ἐλέγετο ἀνακομισθέντα ἐξ Ἰλίου. τὸ δὲ ὀνομαζόμενον Χῶμα ὅροι Μεγαλοπολίταις τῆς γῆς πρὸς Τεγεάτας καὶ Παλλαντιεῦσι εἰσι· καὶ τὸ Παλλαντικὸν πεδίον ἐςὶν ἐκτραπεῖσιν ἐς ἀριςερὰν ἀπὸ τοῦ Χώματος.
5 Ἐν δὲ Παλλαντίῳ ναός τε καὶ ἀγάλματα λίθου, Πάλλαντος· τὸ δὲ ἕτερόν ἐςιν Εὐάνδρου· καὶ Κόρης τε τῆς Δήμητρος ἱερὸν, καὶ οὐ πολὺ ἀπωτέρω Πολυβίου σφίσιν ἀνδριάς ἐςι. τῷ λόφῳ δὲ τῷ ὑπὲρ τῆς πόλεως ὅσα [7]), ἀκροπόλει τὸ ἀρχαῖον ἐχρῶντο· λείπεται δὲ καὶ ἐς ἡμᾶς ἔτι ἐπὶ κορυφῇ τοῦ λόφου θεῶν ἱερόν· ἐπίκλησις μὲν δή ἐςιν αὐτοῖς Καθαροὶ, περὶ μεγίςων δὲ αὐτόθι καθεςήκασιν οἱ ὅρκοι· καὶ ὀνόματα μὲν τῶν θεῶν οὐκ ἴσασιν, ἢ καὶ εἰδότες οὐ θέλουσιν ἐξαγορεύειν· Καθαροὺς δὲ ἐπὶ τοιῷδε ἂν τις κληθῆναι τεκμαί-

4) Σταδίους — ὁδόν] Firmat hoc Strab. L. VIII. p. 527. B. Mox pro πρός τε mallem πρὸς δέ.

5) ἐν Πηγαῖς] Reposui π majusculum ex Cap. 54., ubi inter plura de miro Alphei meatu haec memorantur: ἀνασχὼν δὲ, ἔνθα Πηγὰς ὀνομάζουσιν οἱ Ἀρκάδες.

6) Βόρειον] Cod. M. Βόριον.

7) τῷ λόφῳ — ὅσα] scilicet ἐςὶ, *quantum patet collis etc.* Sed ὅσα ex male iteratis literis intrusum et prorsus delendum esse persuasus sum.

τεκμαίροιτο, ὅτι αὐτοῖς οὐ κατὰ ταυτὰ ὁ Πάλλας ἔθυσε, καθὰ καὶ ὁ πατὴρ οἱ τῷ Λυκαίῳ Διΐ. Τοῦ δὲ 6 καλουμένου Χώματος ἐν δεξιᾷ πεδίον ἐςὶ τὸ Μανθουρικόν· ἔςι δὲ ἐν ὅροις ἤδη Τεγεατῶν τὸ πεδίον, ὃν 8) ςαδίων που πεντήκοντα μάλιςα ἄχρι Τεγέας. ἔςι δὲ ὄρος οὐ μέγα ἐν δεξιᾷ τῆς ὁδοῦ καλούμενον Κρήσιον· ἐν δὲ αὐτῷ τὸ ἱερὸν τοῦ Ἀφνειοῦ 9) πεποίηται. Ἀερόπῃ γὰρ Κηφέως τοῦ Ἀλεοῦ συνεγένετο Ἄρης, καθὰ οἱ Τεγεάται λέγουσι· καὶ ἡ μὲν ἀφίησιν ἐν ταῖς ὠδῖσι τὴν ψυχὴν, ὁ δὲ παῖς καὶ τεθνηκυίας τῆς μητρὸς εἴχετο ἔτι, καὶ ἐκ τῶν μαςῶν εἷλκεν αὐτῆς γάλα πολὺ καὶ ἄφθονον· καὶ (ἦν γὰρ τοῦ Ἄρεως γνώμη τὰ γινόμενα) τούτων εἵνεκα Ἀφνειὸν τὸν θεὸν ὀνομάζουσι· τῷ δὲ παιδίῳ ὄνομα τεθῆναί φασιν Αἔροπον. Ἔςι δὲ 7 κατὰ τὴν ἐς Τεγέαν ὁδὸν Λευκώνιος καλουμένη κρήνη· θυγατέρα δὲ Ἀφείδαντος λέγουσιν εἶναι τὴν Λευκώνην· καὶ οὐ πόῤῥω τοῦ Τεγεατῶν ἄςεος μνῆμά ἐςι.

## CAPUT XLV.

De Tegeatarum regione et urbe — Tegeatarum rebus bello gestis et Ancaei Echemique fortiter factis — templo Minervae Aleae — ejus recentioris templi uberior descriptio.

Τεγεάται δὲ ἐπὶ μὲν Τεγεάτου τοῦ Λυκάονος τῇ χώρᾳ φασὶν ἀπ' αὐτοῦ γενέσθαι μόνῃ τὸ ὄνομα, τοῖς δὲ ἀνθρώποις κατὰ δήμους εἶναι τὰς οἰκήσεις, Γαρεάτας, καὶ Ψυλακεῖς 1), καὶ Καρυάτας τε καὶ

 Κορυ-

8) πεδίον, ὃν] Forte ὃν perperam repetitum auferendum sit.

9) Ἀφνειοῦ] Perperam vulgatum fuit Ἀλφειοῦ. Rescripsi Ἀφνειοῦ ex iis, quae subsequuntur, et ex Amasaeo.

1) Ψυλακεῖς] Scribendum esse Φυλακεῖς, bene monet *Sylb*. Nam C. 54. init. memoratur Φυλάκη.

Κορυθεῖς, ἔτι δὲ Πωταχίδας [2]), καὶ Μανθυρεῖς [3]),
καὶ Ἐχευήθεις [4])· ἐπὶ δὲ Ἀφείδαντος βασιλεύοντος
καὶ ἔνατός [5]) σφισι προσεγένετο Ἀφείδαντες. τῆς δὲ
2 ἐφ' ἡμῶν πόλεως οἰκιστὴς ἐγένετο Ἀλεός. Τεγεάταις δὲ
παρὲξ εἰσὶ μὲν τὰ Ἀρκάδων κοινὰ ἐς δόξαν, ἐν οἷς ἐστι
μὲν ὁ πρὸς Ἰλίῳ πόλεμος, ἔστι δὲ τὰ Μηδικά τε καὶ
ἐν Διπαιεῦσιν ὁ πρὸς Λακεδαιμονίους ἀγών· παρὲξ δὲ
τῶν κατειλεγμένων ἰδίᾳ Τεγεάταις ἐστὶν αὐτοῖς τοσάδε
ἐς δόξαν. τὸν γὰρ ἐν Καλυδῶνι ὗν Ἀγκαῖος ὑπέμει-
νεν ὁ Λυκούργου τρωθείς, καὶ Ἀταλάντη τοξεύει τὸν
ὗν, καὶ ἔτυχε πρώτη τοῦ θηρίου· τούτων εἵνεκα αὐτῇ
κεφαλή τε τοῦ ὑὸς καὶ τὸ δέρμα ἀριστεῖα ἐδόθη.
Ἡρακλειδῶν δὲ ἐς Πελοπόννησον κατιόντων Ἔχεμος ὁ
Ἀερόπου Τεγεάτης ἐμονομάχησεν ἰδίᾳ πρὸς Ὕλλον,
καὶ ἐκράτησε τοῦ Ὕλλου τῇ μάχῃ. Λακεδαιμονίους
τε οἱ Τεγεᾶται πρῶτοι Ἀρκάδων σφίσιν ἐπιστρατεύ-
σαντας ἐνίκησαν, καὶ αἰχμαλώτους αἱροῦσιν αὐτῶν
τοὺς πολλούς.

3 Τεγεάταις δὲ Ἀθηνᾶς τῆς Ἀλέας τὸ ἱερὸν τὸ
ἀρχαῖον ἐποίησεν Ἀλεός· χρόνῳ δὲ ὕστερον κατεσκευ-
άσαντο οἱ Τεγεᾶται τῇ θεῷ ναὸν μέγαν τε καὶ θέας
ἄξιον· ἐκεῖνο [6]) μὲν δὴ πῦρ ἠφάνισεν ἐπινεμηθὲν ἐξ-
αίφνης, Διοφάντου παρ' Ἀθηναίοις ἄρχοντος, ὑστέρῳ
δὲ ἔτει τῆς ἕκτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος, ἣν
Εὐπό-

2) Πωταχίδας] In Stephan. Byz. legitur: Βωταχίδαι, τόπος Ἀρκαδίας, ἀπὸ Βωτάχου.

3) Μανθυρεῖς] Sic etiam in Stephano Μανθυρέα et Μανθυρεῖς. In Pauſania vero C. 47. init. legitur Μανθουριεῦσιν et Μανθουριέων, et ſupra C. 44. Μανθουρικόν.

4) Ἐχευήθεις] Cod. Moſc. Ἐχευίθες.

5) ἔνατός] ſcilicet ſi Tegeatas annumeres.

6) ἐκεῖνο] Cod. Moſc. ἐκείνου. Sic ad propius ναὸν refertur, non ad remotius ἱερόν.

Εὐπόλεμος Ἠλεῖος [7]) ἐνίκα ϛάδιον. Ὁ δὲ ναὸς ὁ ἐφ᾽ 4
ἡμῶν πολύ δή τι τῶν ναῶν, ὅσοι Πελοποννησίοις εἰσὶν, ἐς κατασκευὴν προέχει τὴν ἄλλην καὶ ἐς μέγεθος. ὁ μὲν δὴ πρῶτός ἐϛιν αὐτῷ [8]) κόσμος τῶν κιόνων Δώριος, ὁ δὲ ἐπὶ τούτῳ Κορίνθιος· ἑϛήκασι δὲ καὶ ἐκτὸς τοῦ ναοῦ κίονες ἐργασίας τῆς Ἰώνων. ἀρχιτέκτονα δὲ ἐπυνθανόμην Σκόπαν αὐτοῦ γενέσθαι τὸν Πάριον, ὃς καὶ ἀγάλματα πολλαχοῦ τῆς ἀρχαίας Ἑλλάδος, τὰ δὲ καὶ περὶ Ἰωνίαν τε καὶ Καρίαν ἐποίησε. τὰ δὲ ἐν τοῖς ἀετοῖς, ἔϛιν ἔμπροσθεν ἡ θήρα τοῦ ὑὸς τοῦ Καλυδωνίου· πεποιημένοι δὲ [9]) κατὰ μέσον μάλιϛα, τοῦ ὑὸς τῇ μέν ἐϛιν Ἀταλάντη, καὶ Μελέαγρος, καὶ Θησεὺς, Τελαμών τε καὶ Πηλεὺς, καὶ Πολυδεύκης, καὶ Ἰόλαος, ὃς τὰ πλεῖϛα Ἡρακλεῖ συνέκαμνε τῶν ἔργων, καὶ Θεϛίου παῖδες, ἀδελφοὶ δὲ Ἀλθαίας, Πρόθους καὶ Κομήτης· κατὰ δὲ ὑὸς τὰ ἕτερα, Ἀγκαῖον ἔχοντα ἤδη τραύματα, καὶ ἀφέντα τὸν πέλεκυν [10]) ἀνέχων ἐϛὶν Ἔποχος· παρὰ δὲ αὐτὸν Κάϛωρ καὶ Ἀμφιάραος ὁ Οἰκλέους· ἐπὶ δὲ αὐτοῖς Ἱππόθους ὁ Κερκύονος τοῦ Ἀγαμήδους τοῦ Στυμφήλου· τελευταῖος δέ ἐϛιν εἰργασμένος Πειρίθους. τὰ δὲ ὄπισθεν πεποιημένα ἐν τοῖς ἀετοῖς, Τηλέφου πρὸς Ἀχιλλέα ἐϛὶν ἐν Καΐκου [11]) πεδίῳ μάχῃ.

7) Εὐπόλεμος Ἠλ.] De hoc vide supra L. VI. C. 3. In Diodor. Sic. L. XIV. ſ. 54. legitur Εὔπολις.

8) ἐϛιν αὐτῷ] Cod. Moſc. ἐϛιν αὐτῶν, et mox ἐπὶ τοῦτο pro ἐπὶ τούτῳ.

9) πεποιημένοι δὲ] Cod. M. πεποιημένου δέ. Haud male. Goldhagen in interpret. germ. emendat πεποιημένου.

10) ἀφέντα τὸν πέλ.] Amaſ., qui interpretatur *bipennem attollentem*, legiſſe videtur ἐφέντα.

11) Καΐκου] Ex Cod. Moſc. pro Καΰκου. Vide not. ad L. VIII. C. 4.

CAPUT

## CAPUT XLVI.

Minervae Aleae priſcum ſignum et apri Calydonii dentes ab Auguſto imperatore ablati — plura deorum ſigna diverſis in locis bello ablata memorantur.

Τῆς δὲ Ἀθηνᾶς τὸ ἄγαλμα τῆς Ἀλέας τὸ ἀρχαῖον, σὺν
δὲ αὐτῇ καὶ ὑὸς τοῦ Καλυδωνίου τοὺς ὀδόντας ἔλαβεν
ὁ Ῥωμαίων βασιλεὺς Αὔγουστος, Ἀντώνιον πολεμῶν [1]),
καὶ τὸ Ἀντωνίου νικήσας συμμαχικὸν, ἐν ᾧ καὶ οἱ
2 Ἀρκάδες πλὴν Μαντινέων ἦσαν οἱ ἄλλοι. Φαίνεται
δὲ οὐκ ἄρξας ὁ Αὔγουστος ἀναθήματα καὶ ἕδη θεῶν [2])
ἀπάγεσθαι παρὰ τῶν κρατηθέντων, καθεστηκότι δὲ
ἐκ παλαιοῦ χρησάμενος. Ἰλίου τε γὰρ ἁλούσης καὶ
νεμομένων τὰ λάφυρα Ἑλλήνων, Σθενέλῳ τῷ Καπα-
νέως τὸ ξόανον τοῦ Διὸς ἐδόθη τοῦ Ἑρκείου [3])· καὶ
ἔτεσιν ὕστερον πολλοῖς Δωριέων ἐς Σικελίαν ἐσοικιζομέ-
νων, Ἀντίφημος ὁ Γέλας οἰκιστὴς, πόλισμα Σικανῶν
Ὀμφάκην πορθήσας, μετεκόμισεν ἐς Γέλαν ἄγαλμα
ὑπὸ Δαιδάλου πεποιημένον. βασιλέα τε τῶν Περσῶν
Ξέρξην τὸν Δαρείου, χωρὶς ὅσα ἐξεκόμισε τοῦ Ἀθη-
ναίων ἄστεως, τοῦτο μὲν ἐκ Βραυρῶνος ἄγαλμα ἴσμεν
τῆς Βραυρωνίας λαβόντα Ἀρτέμιδος, τοῦτο δὲ αἰτίαν
ἐπενεγκὼν Μιλησίοις ἐθελοκακῆσαι σφᾶς ἐναντία
Ἀθηναίων ἐν τῇ Ἑλλάδι ναυμαχήσαντας, τὸν χαλ-
κοῦν ἔλαβεν Ἀπόλλωνα τὸν ἐν Βραγχίδαις· καὶ τὸ
μὲν ὕστερον ἔμελλε χρόνῳ Σέλευκος καταπέμψειν Μιλη-
σίοις. Ἀργείοις δὲ τὰ ἐκ Τίρυνθος ἔτι καὶ ἐς ἐμὲ,
τὸ

1) πολεμῶν] *Sylb.* mavult πολέμῳ.

2) ἕδη θεῶν] *ſigna, ſimulacra* deorum. *Suid.* ἕδος, τὸ ἄγαλμα καὶ τόπος, ἐν ᾧ ἵδρυται. Vid. etiam Heſych. v. ἕδος.

3) Ἑρκείου] Cod. Moſc. Ἑρκίου.

τὸ μὲν παρὰ τὴν Ἥραν ξόανον [4]), τὸ δὲ ἐν τῷ τοῦ Ἀπόλλωνός ἐστιν ἀνακείμενον τοῦ Ἠλείου [5]). Κυζικηνοί τε ἀναγκάσαντες πολέμῳ Προκοννησίους γενέσθαι σφίσι συνοίκους, Μητρὸς Δινδυμήνης ἄγαλμα ἔλαβον ἐκ Προκοννήσου· τὸ δὲ ἄγαλμά ἐστι χρυσοῦ, καὶ αὐτοῦ τὸ πρόσωπον ἀντὶ ἐλέφαντος, ἵππων τῶν ποταμίων ὀδόντες εἰσὶν εἰργασμένοι [6]). βασιλεὺς μὲν δὴ Αὔγουστος καθεστηκότα ἐκ παλαιοῦ, καὶ ὑπό τε Ἑλλήνων νομιζόμενα καὶ βαρβάρων εἰργάσατο. Ῥωμαίοις δὲ τῆς Ἀθηνᾶς τὸ ἄγαλμα τῆς Ἀλέας, ἐς τὴν ἀγορὰν τὴν ὑπὸ Αὐγούστου ποιηθεῖσαν, ἐς ταύτην ἐστὶν ἰόντι· τοῦτο μὲν δὴ ἐνταῦθα ἀνάκειται ἐλέφαντος διὰ παντὸς πεποιημένον, τέχνη δὲ Ἐνδίου. τοῦ δὲ ὑὸς τῶν ὀδόντων κατεάχθαι [7]) μὲν τὸν ἕτερόν φασιν οἱ ἐπὶ τοῖς θαύμασιν· ὁ δὲ ἔτι ἐξ αὐτῶν λειπόμενος ἀνέκειτο ἐν βασιλέως κήποις [8]), ἐν ἱερῷ Διονύσου, τὴν περίμετρον τοῦ μήκους περιεχόμενος ἐς ἥμισυ μάλιστα ὀργυιᾶς.

4) *τὸ μὲν — ξόανον*] Vide L. II. C. 17. §. 5.

5) *Ἀπόλλωνός — Ἠλείου*] Nullibi Apollinis Elei ſit mentio. Forte haec vox corrupta et ſcribendum ſit *Λυκίου*, de cujus templo Argis exſtructo vide plura L. II. C. 19. §. 3.

6) *καὶ αὐτοῦ τὸ πρόσωπον — ὀδόντες εἰσὶν εἰργασμένοι*] Paullo durius haec dicta ſunt pro — *πρόσωπον — ὀδόντων ἐστὶν εἰργασμένον.*

7) *κατεάχθαι*] Hanc rectam lectionem, quam *Kuhn.* jam conjectura bene aſſecutus erat, reſtitui ex Codice Moſc. et *Amaſaei* interpretatione. Malo vulgatum fuit *κατέχεσθαι.*

8) *ἐν βασιλέως κήποις*] *in Caeſaris hortis.* De quibus vide Sueton. Jul. C. 83.

## CAPUT XLVII.

De recentiori Minervae Aleae signo — donaria et memoranda templi Aleae Minervae recensentur — de ludis, qui Alaea et Halotia dicebantur — templo Minervae Poliatidos et Dianae Hegemones.

Τὸ δὲ ἄγαλμα ἐν Τεγέᾳ τὸ ἐφ' ἡμῶν ἐκομίσθη μὲν ἐκ δήμου τοῦ Μανθουριέων, Ἱππία [1]) δὲ παρὰ τοῖς Μανθουριεῦσιν εἶχεν ἐπίκλησιν, ὅτι τῷ ἐκείνων λόγῳ γινομένης τοῖς θεοῖς πρὸς Γίγαντας μάχης ἐπήλασεν Ἐγκελάδῳ ἵππων τὸ ἅρμα. Ἀλέαν μέν τοι καλεῖσθαι καὶ ταύτην ἔς τε Ἕλληνας τοὺς ἄλλους καὶ ἐς αὐτοὺς Πελοποννησίους ἐκνενίκηκε. τῷ δὲ ἀγάλματι τῆς Ἀθηνᾶς τῇ μὲν Ἀσκληπιὸς, τῇ δὲ Ὑγεία παρεστῶσά ἐστι λίθου τοῦ Πεντελησίου, Σκόπα δὲ ἔργα Παρίου.

2 Ἀναθήματα δὲ ἐν τῷ ναῷ τὰ ἀξιολογώτατα, ἔστι μὲν τὸ δέρμα ὑὸς τοῦ Καλυδωνίου· διεσήπετο δὲ ὑπὸ τοῦ χρόνου, καὶ ἐς ἅπαν ἦν τριχῶν ἤδη ψιλόν. εἰσὶ δὲ αἱ πέδαι κρεμάμεναι, πλὴν ὅσας ἠφάνισεν αὐτῶν ὁ χρόνος, ἢ ὅσας γε [2]) ἔχοντες Λακεδαιμονίων οἱ αἰχμάλωτοι τὸ πεδίον Τεγεάταις ἔσκαπτον. κλίνη τε ἱερὰ τῆς Ἀθηνᾶς, καὶ αὐτῆς εἰκὼν γραφῇ μεμιμημένη, Μαρπήσσης τε, ἐπίκλησιν Χήρας, γυναικὸς Τεγεάτιδος ἀνάκειται τὸ ὅπλον· ταύτης μὲν δὴ ποιησόμεθα καὶ ὕστερον μνήμην [3]). ἱερᾶται δὲ τῇ Ἀθηνᾷ παῖς χρόνον οὐκ οἶδα ὅσον τινὰ, πρὶν δὲ ἡβάσκειν, καὶ οὐ πρόσω, τὴν ἱερωσύνην. τῇ θεῷ δὲ ποιηθῆναι τὸν βωμὸν ὑπὸ Μελάμποδος τοῦ Ἀμυθάονος λέγουσιν· εἰργασμέναι δὲ ἐπὶ τῷ βωμῷ, Ῥέα μὲν καὶ Οἰνόη νύμφη παῖδα ἔτι νήπιον

1) Ἱππία] Forte rectius sit Ἱππίας, sicuti Amasaeus legisse videtur.

2) ἢ ὅσας γε] Delenda videtur vocula ἢ, quam *Amasi* quoque omisit.

3) ταύτης — μνήμην] Vide Caput sequens.

νήπιον Δία ἔχουσιν· ἑκατέρωθεν δέ εἰσι τέσσαρες
ἀριθμὸν, Γλαύκη, καὶ Νέδα, καὶ Θεισόα, καὶ Ἀν-
θρακία, τῇ δὲ Ἴδη, καὶ Ἁγνὼ, καὶ Ἀλκινόη τε
καὶ Φρίξα. πεποίηται δὲ καὶ Μουσῶν καὶ Μνημο-
σύνης ἄγαλμα. Τοῦ ναοῦ δὲ οὐ πόῤῥω στάδιον, χῶμα 3
γῆς, ἐστι, καὶ ἄγουσιν ἀγῶνας ἐνταῦθα, τὸν μὲν
Ἀλαῖα ὀνομάζοντες ἀπὸ τῆς Ἀθηνᾶς, τὸν δὲ Ἁλώτια[4]),
ὅτι Λακεδαιμονίων τὸ πολὺ ἐν τῇ μάχῃ ζῶντας εἷλον.
ἔστι δὲ ἐν τοῖς πρὸς ἄρκτον τοῦ ναοῦ κρήνη· καὶ ἐπὶ
ταύτῃ βιασθῆναι τῇ κρήνῃ Φασὶν Αὔγην[5]) ὑπὸ Ἡρα-
κλέους, οὐχ ὁμολογοῦντες Ἑκαταίῳ τὰ ἐς αὐτήν.
ἀπωτέρω δὲ τῆς κρήνης ὅσον σταδίοις τρισίν ἐστιν Ἑρ-
μοῦ ναὸς Αἰπύτου. Τεγεάταις δέ ἐστι καὶ ἄλλο ἱερὸν 4
Ἀθηνᾶς Πολιάτιδος· ἑκάστου δὲ ἅπαξ ἔτους ἱερεὺς ἐς
αὐτὸ εἴσεισι· τὸ τοῦ ἐρύματος δὲ ἱερὸν ὀνομάζουσι,
λέγοντες, ὡς Κηφεῖ τῷ Ἀλεοῦ γένοιτο δωρεὰ παρὰ
Ἀθηνᾶς, ἀνάλωτον ἐς τὸν πάντα χρόνον εἶναι Τέγεαν·
καὶ αὐτῷ Φασιν ἐς Φυλακὴν τῆς πόλεως ἀποτεμοῦσαν
τὴν θεὸν δοῦναι τριχῶν τῶν Μεδούσης[6]). ἐς δὲ τὴν
Ἄρτεμιν τὴν Ἡγεμόνην τὴν αὐτὴν τοιάδε λέγουσιν.
Ὀρχομενίων τῶν ἐν Ἀρκαδίᾳ τυραννίδα ἔσχεν Ἀριστο-
μηλίδας· ἐρασθεὶς δὲ Τεγεάτιδος παρθένου, καὶ
ἐγκρατὴς ὅτῳ δὴ τρόπῳ γενόμενος, ἐπιτρέπει τὴν Φρου-
ρὰν αὐτῆς Χρονίῳ· καὶ ἡ μὲν, πρὶν ἀναχθῆ παρὰ τὸν
τύραννον, ἀποκτείννυσιν ἑαυτὴν ὑπὸ δείματός τε καὶ
αἰδοῦς· Χρόνιον δὲ Ἀρτέμιδος ἐπήγειρεν ὄψις ἐπὶ
Ἀριστομηλίδαν· Φονεύσας δὲ ἐκεῖνον, καὶ ἐς Τέγεαν
Φυγὼν, ἐποίησεν ἱερὸν τῇ Ἀρτέμιδι.

4) Ἁλώτια] *Amas.* Εἱλώτια legisse videtur.

5) Αὔγην] Cum *Amasaeo* rescripsi Αὔγῃ pro mendose vulgato αὐτήν. Firmatur illud C. 4. hujus libri, ubi, quae Hecataeus de Auge narrat memorantur, et Cap. 48. in fine.

6) καὶ αὐτῷ — Μεδούσης] Paullo aliter haec narrat Apollodor. L. II. C. 7. §. 3. in fine.

CAPUT

## CAPUT XLVIII.

In foro Tegeatarum legislatorum signa pilis sustinentur — de variis coronis victoriae insignibus — Martis signo Gynaecothoea dicto — Jovis Telii ara et signo quadrangulo — Ilithyia genicula (ἐν γόνασι), ac de Auges partu varia narratio — de reliquis in Tegeatarum foro memorandis.

Τῆς ἀγορᾶς δὲ μάλιστα ἐοικυίας πλίνθῳ κατὰ τὸ
σχῆμα, Ἀφροδίτης ἐστὶν ἐν αὐτῇ ναὸς καλούμενος
ἐν πλίνθῳ, καὶ ἄγαλμα λίθου. στήλαις δὲ ἐπειρ-
γασμένοι, τῇ μὲν Ἀντιφάνης ἐστὶ καὶ Κροῖσος, καὶ
Τυρωνίδας τε καὶ Πυρίας, οἳ, νόμους Τεγεάταις θέμε-
νοι, τιμὰς καὶ ἐς τόδε παρ' αὐτῶν ἔχουσιν· ἐπὶ δὲ τῇ
ἑτέρᾳ στήλῃ πεποιημένος ἐστὶν Ἰάσιος, ἵππου τε ἐχόμε-
νος καὶ κλάδον ἐν τῇ δεξιᾷ φέρων φοίνικος· νικῆσαι δὲ
ἵππῳ [1]) φασὶν ἐν Ὀλυμπίᾳ τὸν Ἰάσιον, ὅτε ὁ Ἡρα-
2 κλῆς ἔθετο ὁ Θηβαῖος τὰ Ὀλύμπια. Ἐν μὲν δὴ
Ὀλυμπίᾳ κοτίνου τῷ νικῶντι δίδοσθαι στέφανον, καὶ
ἐν Δελφοῖς δάφνης, τοῦ μὲν ἤδη τὴν αἰτίαν ἀπέδωκα
ἐν τοῖς ἐς Ἠλείους [2]), τοῦ δὲ καὶ ἐν τοῖς ἔπειτα
δηλώσω [3])· ἐν Ἰσθμῷ δὲ ἡ πίτυς καὶ τὰ ἐν Νεμέᾳ
σέλινα ἐπὶ τοῦ Παλαίμονος [4]) καὶ τοῦ Ἀρχεμόρου [5])
τοῖς παθήμασιν ἐνομίσθησαν. οἱ δὲ ἀγῶνες φοίνικος
ἔχουσιν οἱ πολλοὶ στέφανον· ἐς δὲ τὴν δεξιάν ἐστι καὶ
πανταχοῦ τῷ νικῶντι ἐστιθέμενος φοίνιξ· ἐνομίσθη δὲ
ἐπὶ

1) νικῆσαι δὲ ἵππῳ etc.] Vide supra L. V. C. 8.

2) τοῦ μὲν — Ἠλείους] Vide supra L. V. C. 7.

3) τοῦ δὲ — δηλώσω] Vide infra L. X. C. 7. in fine.

4) ἐπὶ τοῦ Παλαίμονος etc.] Vide L. I. C. 44. prope fin.

5) τοῦ Ἀρχεμόρου] Opheltae, Lycurgi filii, cognomen fuit Archemorus; de quo vide Apollodor. L. I. C. 9. §. 14. et L. III. C. 6. §. 4. Conf. Pauf. L. II. C. 15.

ἐπὶ τοιῷδε. Θησέα ἀνακομιζόμενον ἐκ Κρήτης Φασὶν
ἐν Δήλῳ ἀγῶνα ποιήσασθαι τῷ Ἀπόλλωνι, ϛεφανοῦν
δὲ αὐτὸν τοὺς νικῶντας τῷ Φοίνικι· τοῦτο μὲν δὴ
ἄρξαι λέγουσιν ἐντεῦθεν. τοῦ δὲ Φοίνικος τοῦ ἐν
Δήλῳ μνήμην ἐποιήσατο καὶ Ὅμηρος [6]) ἐν Ὀδυσσέως
ἱκεσίᾳ πρὸς τὴν Ἀλκίνου θυγατέρα. Ἔϛι δὲ καὶ 3
Ἄρεως ἄγαλμα ἐν τῇ Τεγεατῶν ἀγορᾷ· τοῦτο ἐκ-
τετύπωται μὲν ἐπὶ τῇ ϛήλῃ, Γυναικόθοιαν [7]) δὲ ὀνομά-
ζουσιν αὐτόν. ἐπὶ γὰρ [8]) τὸν Λακωνικὸν πόλεμον καὶ
Χαρίλλου τοῦ Λακεδαιμονίων βασιλέως τὴν πρώτην
ἐπιϛρατείαν, λαβοῦσαι αἱ γυναῖκές σφισιν ὅπλα
ἐλόχων ὑπὸ τὸν λόφον, ὃν Φυλακτρίδα ἐφ᾽ ἡμῶν
ὀνομάζουσι· συνελθόντων δὲ τῶν ϛρατοπέδων, καὶ
τολμήματα ἀποδεικνυμένων ἑκατέρωθεν τῶν ἀνδρῶν
πολλά τε καὶ ἄξια μνήμης, οὕτω Φασὶν ἐπιφανῆναί
σφισι τὰς γυναῖκας, καὶ εἶναι τὰς ἐργασαμένας ταύ-
τας τῶν Λακεδαιμονίων τὴν τροπήν· Μάρπησσαν δὲ
τὴν Χήραν ὀνομαζομένην ὑπερβαλέσθαι τῇ τόλμῃ τὰς
ἄλλας γυναῖκας· ἁλῶναι δὲ ἐν τοῖς Σπαρτιάταις καὶ
αὐτὸν Χάριλλον· καὶ τὸν μὲν ἀφεθέντα ἄνευ λύτρων,
καὶ ὅρκον Τεγεάταις δόντα, μήποτε Λακεδαιμονίους
ϛρατεύσειν ἔτι ἐπὶ Τεγέαν, παραβῆναι τὸν ὅρκον· τὰς
γυναῖκας δὲ τῷ Ἄρει θῦσαί τε ἄνευ τῶν ἀνδρῶν ἰδίᾳ
γε ἐπινίκια, καὶ τῶν τοῦ ἱερείου κρεῶν οὐ μεταδοῦναι
σφᾶς τοῖς ἀνδράσιν· ἀντὶ τούτων μὲν τῷ Ἄρει γέγονεν
ἐπίκλησις. Πεποίηται δὲ καὶ Διὸς Τελείου βωμός, 4
καὶ

6) Ὅμηρος etc.] Odyff. ζ. v. 162

7) Γυναικόθοιαν] *Sylb.* fcribendum cenfet Γυναικοθοίναν, *mulierum convivam.*

8) ἐπὶ γὰρ] Cum ἐπὶ ad tempus denotandum femper genitivo jungatur, *Sylb.* pro ἐπὶ recte mavult ὑπό.

καὶ ἄγαλμα τετράγωνον· περισσῶς γὰρ δή τι τῷ
σχήματι τούτῳ φαίνονταί μοι χαίρειν οἱ Ἀρκάδες.
καὶ μνήματά ἐστιν ἐνταῦθα Τεγεάτου τοῦ Λυκάονος,
καὶ Μαιρᾶς γυναικὸς τοῦ Τεγεάτου· θυγατέρα δὲ
Ἄτλαντός φασιν εἶναι τὴν Μαιράν· ἧς δὴ καὶ Ὅμηρος[9])
ἐποιήσατο μνήμην ἐν Ὀδυσσέως λόγοις πρὸς Ἀλκίνουν
περί τε ὁδοῦ τῆς ἐς ᾅδην καὶ ὁπόσας ἐθεάσατο ἐκεῖ
5 τὰς ψυχάς. Τὴν δὲ Εἰλείθυιαν οἱ Τεγεᾶται
(καὶ γὰρ[10]) ταύτης ἔχουσιν ἐν τῇ ἀγορᾷ ναὸν καὶ
ἄγαλμα) ἐπονομάζουσιν αὐτὴν ἐν γόνασι[11]), λέγοντες,
ὡς Ναυπλίῳ παραδοίη τὴν θυγατέρα Ἀλεὸς, ἐντειλάμενος
ἐπανάγοντα αὐτὴν ἐς θάλασσαν καταποντῶσαι·
τὴν δὲ, ὡς ἤγετο, πεσεῖν τε ἐς γόνατα,
καὶ οὕτω τεκεῖν τὸν παῖδα, ἔνθα τῆς Εἰλειθυίας ἐστὶ
τὸ ἱερόν. οὗτος ὁ λόγος διάφορος μέν ἐστιν ἑτέρῳ λόγῳ,
λάθρα τὴν Αὔγην τεκεῖν τοῦ πατρὸς, καὶ ἐκτεθῆναι
τὸν Τήλεφον λέγοντι ἐς τὸ ὄρος τὸ Παρθένιον, καὶ τῷ
παιδὶ ἐκκειμένῳ διδόναι γάλα ἔλαφον· λέγεται δὲ
6 οὐδὲν ἧσσον καὶ οὗτος ὑπὸ Τεγεατῶν ὁ λόγος. Πρὸς δὲ
τῷ ἱερῷ τῆς Εἰλειθυίας ἐστὶ Γῆς βωμός· ἔχεται δὲ
τοῦ βωμοῦ λίθου λευκοῦ στήλη· ἐπὶ δὲ αὐτῆς Πολύβιος
ὁ Λυκόρτα, καὶ ἐπὶ ἑτέρᾳ στήλῃ τῶν παίδων τῶν
Ἀρκάδος Ἔλατός ἐστιν εἰργασμένος.

9) Ὅμηρος etc.] Odyſſ. λ. v. 325.

10) καὶ γὰρ] Ex Cod. M. reſtitui γὰρ pro vulgato δὲ, quod alieno loco eſſe jam *Sylb.* notaverat, et emendaverat καὶ γὰρ δή.

11) αὐτὴν ἐν γόνασι] *Valkenar.* Diatr. p. 164. A. eximie emendat Αὔγην pro αὐτὴν, quae vocum permutatio jam ſupra fuit C. 47., ubi vid. not.

CAPUT

## CAPUT XLIX.

De Philopoemene ejusque rebus geſtis.

Οὐ πόῤῥω δὲ τῆς ἀγορᾶς θέατρόν τέ ἐστι καὶ πρὸς αὐτῷ βάθρα εἰκόνων χαλκῶν· αὗται δὲ οὐκ εἰσὶν ἔτι αἱ εἰκόνες· ἐλεγεῖον δ᾽ ἐφ᾽ ἑνὶ τῶν βάθρων ἐστὶ, Φιλοποίμενος τὸν ἀνδριάντα [1]) εἶναι. τούτου δὲ Ἕλληνες τοῦ Φιλοποίμενος οὐχ ἥκιστα, ἀλλὰ καὶ μάλιστα [2]) ἔχουσι μνήμην γνώμης τε ἕνεκα, ἣν παρέσχετο, καὶ ἔτι τῶν ἔργων, ὁπόσα ἐτόλμησε. τὰ μὲν δὴ ἐς γένους δόξαν, ὁ πατὴρ οἱ Κραῦγις Ἀρκάδων ἐλείπετο οὐδενὸς τῶν ἐν Μεγάλῃ πόλει· τελευτήσαντος δὲ τοῦ Κραύγιδος ἐπὶ παιδὶ ἔτι νηπίῳ τῷ Φιλοποίμενι, ἐπετρόπευσεν αὐτὸν ἀνὴρ Μαντινεὺς Κλέανδρος [3]), φεύγων μὲν ἐκ Μαντινείας, καὶ ἐν Μεγάλῃ πόλει μετοικῶν κατὰ τὴν οἴκοθεν συμφορὰν, ξενίας δὲ ὑπαρχούσης αὐτῷ πατρικῆς ἐς οἶκον τὸν Κραύγιδος. διδασκάλοις δὲ ὁμιλῆσαι τὸν Φιλοποίμενα καὶ ἄλλοις, καὶ Μεγαλοφάνει τε καὶ Ἐκδήλῳ [4]) λέγουσι· τοὺς δὲ Ἀρκεσιλάου φασὶν εἶναι Πιταναίου μαθητάς.



1) ἀνδριάντα] Cod. Moſc. ἀνδριάντος, quod ferri poteſt, ſi ſcribas τοῦ pro τόν.

2) οὐχ ἥκιστα, ἀλλὰ καὶ μάλιστα] *non parum, ſed maxime.* Pleonaſtica dicendi ratio. Sed Suidas, qui Pauſaniam hic, uti ſaepius, verbotenus exſcripſit, οὐχ ἥκιστα, ἀλλὰ καὶ omiſit.

3) Κλέανδρος] In Plutarcho vit. Philopoem. ſ. 1. legitur Κάσανδρος. Suid. l. c. cum Pauſania exhibet Κλέανδρος.

4) Μεγαλοφάνει τε καὶ Ἐκδήλῳ] Plutarch. Philop. ſ. 1. haec nomina aliter exhibet, Δημοφάνης καὶ Ἔκδημος, et Suidas, qui v. Φιλοπ. in iis, quae de illo refert, cum alium ſcriptorem ſecutus eſt, tum Pauſaniam, uti jam diximus, verbotenus exſcripſit, ex illo dat Δημοφάνης et Ἔκδημος, ex hoc vero Μεγαλοφάνει τε καὶ Ἐκδήλῳ.

μέγεθος μὲν δὴ καὶ σώματος ῥώμην ἀπέδει Πελοποννησίων οὐδενός· τὸ δὲ εἶδος ἦν τοῦ προσώπου κακός. καὶ ἐπὶ μὲν τοὺς στεφανίτας [5]) ἀγῶνας ὑπερεφρόνησεν ἀσκῆσαι, γῆν δὲ, ἣν ἐκέκτητο, ἐργαζόμενος, οὐδὲ τὰ θηρία ἠμέλει τὰ ἄγρια ἐξαίρειν. ἐπιλέγεσθαι δὲ καὶ βιβλία φασὶν αὐτὸν, σοφιστῶν [6]) τε τῶν εὐδοκιμούντων παρ' Ἕλλησι, καὶ ὅσα ἐς πολέμων μνήμην, καὶ εἰ δή τι ἔχει [7]) διδασκαλίαν στρατηγημάτων. καταστήσασθαι δὲ τὸν βίον πάντα ἐθέλων, γνώμης τῆς Ἐπαμινώνδου καὶ ἔργων εἶναι τῶν ἐκείνου μίμησιν, οὐ τὰ πάντα ἦν [8]) ἐξισωθῆναι δυνατός. Ἐπαμινώνδα γὰρ τά τε ἄλλα ἡ ψυχὴ καὶ μάλιστα πρᾴως εἶχε τὰ ἐς ὀργήν [9])· τῷ δὲ Ἀρκάδι μετῆν γε θυμοῦ. Καταλαβόντος δὲ Κλεομένους Μεγάλην πόλιν, Φιλοποίμην οὔτε τῆς συμφορᾶς ἐξεπλάγη τὸ ἀπροσδόκητον, καὶ τῶν ἐν ἡλικίᾳ τὰ δύο μάλιστα μέρη καὶ γυναῖκας καὶ παῖδας ἀπέσωσεν ἐς Μεσσήνην, συμμάχων σφίσιν ἐν τῷ τότε καὶ εὔνων τῶν Μεσσηνίων ὄντων· καὶ (ἦσαν γὰρ τῶν διαπεφευγότων, οἷς ὁ Κλεομένης ἐπεκηρυκεύετο· μεταγιγνώσκων τε ἐπὶ τῷ τολμήματι, πρὸς Μεγαλοπολίτας ἐθέλει σπένδεσθαι, κατιόντας ἐπὶ τὴν ἑαυτῶν) ἔπεισεν ἐν κοινῷ τοὺς πολίτας ὁ Φιλοποίμην, μεθ' ὅπλων τὴν κάθοδον οἴκαδε εὑρίσκεσθαι, μὴ ἐς ὁμολογίας τε καὶ σπονδὰς ἰέναι. Γενομένης δὲ ἐν

5) καὶ ἐπὶ μὲν τοὺς στ.] Suid. l. c. καὶ τοὺς μὲν στ. Mox pro ἐξαίρειν *Sylb.* mavult ἐξαιρεῖν, et *Valkenar.* ad Euripid. Hippolyt. v. 17.

6) σοφιστῶν] Suid. l. c. σοφῶν.

7) καὶ εἰ δή τι ἔχει] Suid. l. c. καὶ εἴ τι ᾔδει ἔχειν.

8) οὐ τὰ πάντα ἦν] Suid. l. c. οὐ μὴν πάντα ἦν.

9) ἡ ψυχὴ — ὀργήν] Suid. l. c. ἡ ψυχὴ κάλλιστα ἔχουσα ἦν, καὶ πρᾴως μάλιστα τὰ ἐς ὀργήν.

ἐν Σελλασίᾳ πρὸς Κλεομένην τε [10]) καὶ Λακεδαιμονίους μάχης, ἣν Ἀχαιοὶ καὶ Ἀρκάδες ἀπὸ τῶν πόλεων πασῶν, σὺν δέ σφισιν καὶ Ἀντίγονος ἐμαχέσατο ἄγων ἐκ Μακεδονίας στρατιὰν, ἐτέτακτο μὲν τηνικαῦτα ὁ Φιλοποίμην ἐν τοῖς ἱππεῦσιν· ἐπεὶ δ' ἐν τῷ πεζῷ τοῦ ἔργου τὸ πλεῖστον ἑώρα ληψόμενον τὴν κρίσιν [11]), ὁπλίτης ἑκὼν ἐγένετο· καὶ αὐτὸν λόγου κινδυνεύοντα ἀξίως τῶν τις ἐναντίων δι' ἀμφοτέρων ἔπειρε τῶν μηρῶν. ὁ δὲ καὶ ἐς τοσοῦτον ὅμως πεπεδημένος [12]), τά τε γόνατα ἐνέκλινε, καὶ ἐς τὸ πρόσω χωρεῖν ἐβιάζετο, ὥστε καὶ ὑπὸ τῶν ποδῶν τοῦ κινήματος τὸ δόρυ ἔκλασεν. ἐπεὶ δὲ οἱ Λακεδαιμόνιοι καὶ ὁ Κλεομένης ἐκρατήθησαν, καὶ ἐς τὸ στρατόπεδον ἀνέστρεψε Φιλοποίμην, ἐνταῦθα ἐξ ἀμφοτέρων αὐτοῦ μηρῶν [13]) οἱ ἰατροὶ τῇ μὲν τὸν σαυρωτῆρα ἐξεῖλκον, τῇ δὲ τὴν αἰχμήν. Ἀντίγονος δὲ ὡς ἐπύθετο καὶ εἶδεν αὐτοῦ τὰ τολμήματα, ἐποιεῖτο σπουδὴν, ἐπάγεσθαι Φιλοποίμενα ἐς Μακεδονίαν. τῷ δὲ Ἀντιγόνου μὲν ὀλίγον μελήσειν ἔμελλε· περαιωσάμενος δὲ νηὶ ἐς Κρήτην (πόλεμος γὰρ κατεῖχεν αὐτὴν ἐμφύλιος) ἐπετέτακτο ἡγεμὼν μισθοφόρος [14]). ἐπανήκων δὲ ἐς Μεγά-



10) Σελλασίᾳ πρὸς Κλεομένην τε etc.] In Aldin. et Mosc. male Σικελίᾳ legitur, pro quo *Xyland.* bene restituit Σελλασίᾳ. Vide supra L. II. C. 9. §. 2. et Plutarch. Cleom. f. 26. et Philop. f. 6. init. Κλεομένην reposui pro Κλεομένη ex Cod. Mosc., Plutarcho ipsoque Pausania hunc accusativum constanter ita exhibentibus.

11) ἐν τῷ πεζῷ — ἑώρα λ. τὴν κρίσιν] Suid. l. c. haec brevius ad sensum ita enunciavit: ὁρῶν τὸ πεζὸν λειπόμενον, et mox pro ἐναντίων scripsit Λακεδαιμονίων.

12) ὁ δὲ καὶ ἐς τοσοῦτον ὅμως πεπ.] Suid. l. c. ὁ δὲ καί τοι οὕτως π.

13) αὐτοῦ μηρῶν] Suid. αὐτῶν τῶν μηρῶν. Praestat scribere αὐτοῦ τῶν μηρῶν.

14) μισθοφόρος] *Sylb.* mavult μισθοφόροις. Sed Suid. quoque — φόρος exhibet.

Μεγάλην πόλιν, αὐτίκα ὑπὸ τῶν Ἀχαιῶν ᾑρεῖτο ἄρχειν καὶ τοῦ ἱππικοῦ· καὶ σφᾶς ἀρίστους Ἑλλήνων ἀπέφαινεν ἱππεύειν Ἀχαιῶν τε [15]) καὶ ὅσοι συντεταγμένοι τοῖς Ἀχαιοῖς ἦσαν. Καὶ περὶ Λάρισον μαχομένων ποταμὸν πρὸς Ἠλείους, καὶ τὸ Αἰτωλικὸν ἐπικουροῦν κατὰ συγγένειαν Ἠλείοις, πρῶτα μὲν Δημόφαντον [16]) ἀπέκτεινεν αὐτοχειρίᾳ τοῖς ἐναντίοις ἡγεμόνα ὄντα τῆς ἵππου, δεύτερα δὲ καὶ τὸ ἄλλο ἱππικὸν τῶν Αἰτωλῶν καὶ τῶν Ἠλείων ἐτρέψατο.

## CAPUT L.

Philopoemen arma Achaeorum cum aliis mutat — in pugna ad Mantineam bene rem gerit — in ludis Nemeis plauſu excipitur — ad eum occidendum a Philippo Demetrii filio percuſſores mittuntur — de Philopoemenis rebus contra Nabin et Lacedaemonios geſtis.

Ἅτε δὲ ἤδη τῶν Ἀχαιῶν ἀφορώντων ἐς αὐτὸν καὶ τὰ πάντα ἐκεῖνον ποιουμένων [1]), τοῖς τεταγμένοις αὐτῶν ἐν τῷ πεζῷ μετέβαλε τῶν ὅπλων τὴν σκευήν. Φοροῦντες γὰρ [2]) μικρὰ δοράτια καὶ ἐπιμηκέστερα ὅπλα

15) Ἀχαιῶν τε] *Goldhagen* in interpret. germ. mavult Ἀχαιούς τε.

16) Δημόφαντον] In Plutarch. Philop. ſ. 7. in fine legitur Δαμόφαντος.

1) καὶ τὰ πάντα ἐκεῖνον ποιουμένων] *et cum eum maximi facerent.* Sed *Amaſ.*, qui interpretatur: *omniaque ad eum unum deferrent*, forte legit καὶ τὰ πάντα δι' ἐκεῖνον ποιουμένων. Mallem equidem καὶ τὰ πάντα ἐκείνου ποιουμένου.

2) Φοροῦντες γὰρ etc.] Ad haec conf. Plutarch. Philop. ſ. 9.

ὅπλα κατὰ τοὺς Κελτικοὺς θυρεοὺς, ἢ τὰ γέῤῥα τὰ Περσῶν, ἔπεισε θώρακάς τε ἐνδύεσθαι, καὶ ἐπιτίθεσθαι κνημῖδας, πρὸς δὲ ἀσπίσιν Ἀργολικαῖς χρῆσθαι, καὶ τοῖς δόρασι μεγάλοις. Μαχανίδου 2
δὲ ἐν Λακεδαίμονι ἀναφύντος τυράννου, καὶ αὖθις πολέμου τοῖς Ἀχαιοῖς πρὸς Λακεδαιμονίους καὶ Μαχανίδαν συνεστηκότος, ἡγεῖτο μὲν τοῦ Ἀχαϊκοῦ Φιλοποίμην· γινομένης δὲ πρὸς Μαντινείᾳ μάχης, Λακεδαιμονίων μὲν οἱ ψιλοὶ τοὺς ἀσκαίους [3]) τῶν Ἀχαιῶν νικῶσι, καὶ φεύγουσιν αὐτοῖς ἐπέκειτο ὁ Μαχανίδας. τῇ δὲ φάλαγγι ὁ Φιλοποίμην τῶν πεζῶν τρέπεται τῶν Λακεδαιμονίων τοὺς ὁπλίτας, καὶ ἀναχωροῦντι ἀπὸ τῆς διώξεως Μαχανίδᾳ συντυχὼν, ἀποκτείννυσιν [4]) αὐτόν. Λακεδαιμονίοις δὲ ἠτυχηκόσι τῇ μάχῃ περιεγεγόνει μείζων ἡ κατὰ τὸ πταῖσμα εὐτυχία, γεγονόσιν ἐλευθέροις ἀπὸ τοῦ τυράννου. Μετὰ δὲ οὐ πολὺ ἀγόντων Νέμεια Ἀργείων, 3
ἔτυχε μὲν τῶν κιθαρῳδῶν τῷ ἀγῶνι ὁ Φιλοποίμην παρών. Πυλάδου δὲ Μεγαλοπολίτου μὲν ἀνδρὸς γένος, κιθαρῳδοῦ δὲ τῶν ἐφ᾽ αὑτοῦ δοκιμωτάτων καὶ ἀνῃρημένου Πυθικὴν νίκην, τότε δὲ ᾄδοντος Τιμοθέου [5])



3) τοὺς ἀσκαίους] Cum ἀσκαίους, quod *Amas.* vertit *veteranos*, vox nihili sit, *Sylb.* et *Kuhn.* haud male emendarunt ἀσκεύους, *leviter armatos*. Pollux L. X. s. 15. ἄσκευος, ὁ ψιλὸς, et Hesych. ἀσκεύοις, ψιλοῖς. Id quod firmat Plutarch. Philop. s. 10. τοὺς τῶν Ἀχαιῶν προτεταγμένους ἀκοντιστάς. Nihilominus alia quoque emendatio locum habere possit, scilicet τοὺς σκαιοὺς τ. Ἀχ., *a sinistra parte positos*.

4) ἀποκτείννυσιν] Cod. Mosc. ἀποκτείνυσιν.

5) Τιμοθέου] De hoc vide not. 19. ad L. III. C. 12. Mox in versu exhibito Plutarchus, qui in vita Philopoem. s. 11. eadem refert, pro τεύχων habet τεύχω.

νόμον τοῦ Μιλησίου, Πέρσας, καὶ καταρξαμένου τῆς ᾠδῆς,

Κλεινὸν ἐλευθερίας τεύχων μέγαν Ἑλλάδι κόσμον·

ἀπεῖδεν ἐς τὸν Φιλοποίμενα τὸ Ἑλληνικὸν, καὶ
ἐπεσημήναντο τῷ κρότῳ, φέρειν ἐς ἐκεῖνον τὸ ᾆσμα.
τοιοῦτο ἐς Θεμιστοκλέα 6) ἄλλο ἐν Ὀλυμπίᾳ πυν-
θάνομαι συμβῆναι· καὶ γὰρ Θεμιστοκλέους ἐς
4 τιμὴν ἐπανέστη τὸ ἐν Ὀλυμπίᾳ θέατρον. Φίλιππος
δὲ ὁ Δημητρίου Μακεδόνων βασιλεὺς, ὃς καὶ
Ἄρατον 7) φαρμάκῳ τὸν Σικυώνιον ἀπέκτεινεν, ἀπ-
έστειλεν ἄνδρας ἐς Μεγάλην πόλιν, φονεῦσαί σφισι
Φιλοποίμενα ἐντειλάμενος· ἁμαρτὼν δὲ, ἀνὰ τὴν
Ἑλλάδα ἐμισήθη πᾶσαν. Θηβαῖοι δὲ κεκρατη-
κότες μάχῃ Μεγαρέας, καὶ ἤδη τοῦ Μεγαρικοῦ
τείχους ἐπιβαίνοντες, ἀπάτῃ τῶν Μεγαρέων μετ-
ελθόντων αὐτοὺς, ὡς ἥκοι Φιλοποίμην σφίσιν
ἐς τὴν πόλιν, ἐς τοσοῦτον εὐλαβείας προῆλθον,
ὡς οἴκαδε ἀποχωρῆσαι καταλιπόντες ἄπρακτον τοῦ
5 πολέμου τὸ ἔργον. Ἐν δὲ Λακεδαίμονι αὖθις
ἐπανέστη τύραννος Νάβις, ὃς Πελοποννησίων πρώ-
τοις ἐπέθετο Μεσσηνίοις· ἐπελθὼν δέ σφισιν ἐν
νυκτὶ, καὶ οὐδαμῶς τὴν ἔφοδον ἐλπίζουσιν, εἷλε
μὲν πλὴν τῆς ἀκροπόλεως τὸ ἄστυ· ἀφικομένου δὲ
ἐς τὴν ὑστεραίαν στρατιᾷ Φιλοποίμενος, ἐξέπεσεν
ὑπόσπονδος ἐκ Μεσσήνης. Φιλοποίμην δὲ, ὡς
ἐξῆκέν οἱ στρατηγοῦντι ὁ χρόνος, καὶ ἄρχειν ἄλ-
λοι

6) τοιοῦτο ἐς Θεμιστοκλέα etc.] Vide Plutarch. Themiſtocl. c. 17.

7) ὃς καὶ Ἄρατον etc.] Vide L. II. C. 9. §. 4.

λοι τῶν Ἀχαιῶν ᾕρηντο, αὖθις ἐς Κρήτην διέβη, καὶ ἐπεκούρησε Γορτυνίοις πολέμῳ πιεζομένοις. ποιουμένων δὲ ἐν ὀργῇ διὰ τὴν ἀποδημίαν τῶν Ἀρκάδων αὐτὸν, ἐπάνεισί τε ἐκ Κρήτης, καὶ Ῥωμαίους πόλεμον κατελάμβανεν ἐπανῃρημένους πρὸς Νάβιν. παρεσκευασμένων δὲ ἐπὶ τὸν Νάβιν ναυτικὸν τῶν Ῥωμαίων, ὁ Φιλοποίμην ὑπὸ προθυμίας μεθέξειν ἔμελλε τοῦ ἀγῶνος· ἅτε δὲ ἐς ἅπαν ἀπείρως θαλάσσης ἔχων, τριήρους ἔλαθεν ἐπιβὰς ῥεούσης [8])· ὥστε καὶ ἐσῆλθε Ῥωμαίους καὶ τὸ ἄλλο συμμαχικὸν μνήμη τῶν ἐπῶν, ὧν ἐν καταλόγῳ πεποίηκεν Ὅμηρος [9]) ἐπὶ τῇ Ἀρκάδων ἀμαθίᾳ τῇ ἐς θάλασσαν. ἡμέραις δὲ ὕστερον τῆς ναυμαχίας οὐ πολλαῖς Φιλοποίμην καὶ ὁ σὺν αὐτῷ λόχος φυλάξαντες νύκτα ἀσέληνον, τὸ στρατόπεδον τῶν Λακεδαιμονίων κατεμπιπρᾶσιν ἐν Γυθίῳ. ἐνταῦθα ἀπέλαβεν ἐν δυσχωρίαις Νάβις Φιλοποίμενά τε αὐτὸν, καὶ ὅσοι περὶ αὐτὸν τῶν Ἀρκάδων ἦσαν· ἦσαν δὲ ἄλλως μὲν ἀγαθοὶ τὰ ἐς πόλεμον, ἀριθμὸν δὲ οὐ πολλοί. Φιλοποίμην δὲ τὴν τάξιν, ἣν τεταγμένους ἀπῆγεν ὀπίσω, ταύτην ὑπαλλάξας, τὰ μάλιστα ἰσχυρὰ τῶν χωρίων πρὸς αὐτοῦ, καὶ οὐ πρὸς τῶν πολεμίων ἐποίησεν εἶναι· κρατήσας δὲ τῇ μάχῃ Νάβιν, καὶ τῶν Λακεδαιμονίων ἐν τῇ νυκτὶ καταφονεύσας πολλοὺς, δόξης ἔτι ἐς πλέον παρὰ τοῖς Ἕλλησιν ἤρθη. μετὰ δὲ ταῦτα Νάβις μὲν ἐς εἰρημένον χρόνον σπονδὰς παρὰ Ῥωμαίων εὑράμενος, τελευτᾷ,

8) ῥεούσης] Amaſ. *rimoſam.* Proprie *diffluentem, fragilem.* Plutarch. Philop. ſ. 14. παλαιὰν vocat καὶ μὴ στέγουσαν.

9) Ὅμηρος] Vide Iliad. β. v. 614. et ibi Euſtath.

τελευτᾷ, πρὶν ἢ οἱ τοῦ πολέμου τὰς ἀνοχὰς ἐξήκειν, ὑπὸ ἀνδρὸς Καλυδωνίου [10]), κατὰ μὲν συμμαχίας πρόφασιν ἥκοντος, πολεμίου δὲ τῷ ἔργῳ, καὶ ἐπ' αὐτὸ ἐςαλμένου τοῦτο ὑπὸ τῶν Αἰτωλῶν.

## CAPUT LI.

Philopoemenis res gestae porro enumerantur — de Philopoemenis morte.

Φιλοποίμην δὲ ὑπὸ τὸν καιρὸν ἐςπεσὼν τοῦτον ἐς τὴν Σπάρτην, ἠνάγκασεν εἰς τὸ Ἀχαϊκὸν Λακεδαιμονίους συντελέσαι. μετὰ δὲ οὐ πολὺν χρόνον Τίτος [1]) μὲν Ῥωμαίων τῶν περὶ τὴν Ἑλλάδα ἡγεμὼν, καὶ Διοφάνης ὁ Διαίου Μεγαλοπολίτης, ἄρχειν ἐν τῷ τότε ᾑρημένος τῶν Ἀχαιῶν, ἤλαυνον ἐπὶ τὴν Λακεδαίμονα, ἐπενεγκόντες αἰτίαν Λακεδαιμονίοις, βουλεύειν σφᾶς νεώτερα ἐς Ῥωμαίους. Φιλοποίμην δὲ, καί περ ἐν τῷ παρόντι ἰδιώτης ὢν, ἀπέκλεισεν ὅμως ἐπιοῦσιν αὐτοῖς πύλας. Λακεδαιμόνιοί τε τούτων τε εἵνεκα, καὶ ὧν εἰς ἀμφοτέρους τοὺς τυράννους ἐτόλμησεν, ἐδίδοσαν οἶκον αὐτῷ τὸν Νάβιδος ἐς πλέον ἢ τάλαντα ἑκατόν [2]). ὁ δὲ ὑπερεφρόνησέ τε τῶν χρημάτων, καὶ ἐκέλευε τοὺς Λακεδαιμονίους θεραπεύειν δόσεσιν ἀνθ' αὐτοῦ τῶν [3]) ἐν

10) ὑπὸ ἀνδρὸς Καλυδωνίου] Vide Livium Histor. L. XXXV. C. 35., ubi ille Alexamenus appellatur.

1) Τίτος] Titus Quinctius Flamininus. Vide Livium L. XXXII. C. 8. sq.

2) οἶκον — ἑκατόν] Plutarch. Philop. f. 15. addit: καὶ οὐσίαν — γενομένην εἴκοσι καὶ ἑκατὸν ταλάντων.

3) θεραπεύειν δόσεσιν — τῶν] Cod. Mosc. male dat δόσεων. Pro τῶν *Sylb.* recte emendat τούς.

ἐν τῷ συλλόγῳ τῶν Ἀχαιῶν πιθανοὺς τῷ πλήθει· ταῦτα δὲ ἐς Τιμόλαον [4]) αὐτῷ λέγουσιν ὑποσημαίνεσθαι. ἀπεδείχθη δὲ καὶ αὖθις Ἀχαιῶν ϛρατηγός. Λακεδαιμονίων δὲ [5]) τηνικαῦτα ἐς ἔμφυλον προηγμένων ϛάσιν, τριακοσίους μὲν τῆς ϛάσεως μάλιϛα αἰτίους ἐξέβαλεν ἐκ Πελοποννήσου, καὶ τῶν Εἱλώτων τε ἀπέδοτο ὅσον τρισχιλίους· τείχη δὲ περιεῖλε τῆς Σπάρτης, καὶ τοῖς ἐφήβοις προεῖπε, μὴ τὰ ἐκ τῶν νόμων τῶν Λυκούργου μελετᾷν, ἐφήβοις δὲ τοῖς Ἀχαιῶν κατὰ ταυτὰ ἀσκεῖσθαι· καὶ τοῖς μὲν ὕϛερον ἀποδώσειν ἔμελλον Ῥωμαῖοι παιδείαν τὴν ἐπιχώριον. Ἀντίοχον δὲ ἀπόγονον Σελεύκου τοῦ ὀνομασθέντος Νικάτορος, καὶ Σύρων τὴν σὺν αὐτῷ ϛρατιὰν, Μανίου [6]) καὶ Ῥωμαίων ἐν Θερμοπύλαις νικησάντων, καὶ Ἀριϛαίνου [7]) τοῖς Ἀχαιοῖς τοῦ Μεγαλοπολίτου παραινοῦντος, ἐπαινεῖν τὰ Ῥωμαίοις ἀρέσκοντα ἐπὶ παντὶ, μηδὲ ἀνθίϛασθαί σφισιν ὑπὲρ μηδενὸς, ὁ Φιλοποίμην ἀπεῖδεν ἐς τὸν Ἀρίϛαινον σὺν ὀργῇ, καὶ αὐτὸν τῇ Ἑλλάδι ἔφη τὴν πεπρωμένην ἐπιταχύνειν· Λακεδαιμονίων δὲ τοὺς φεύγοντας Μανίου [8]) καταδέξασθαι θέλοντος, τῷ μὲν ἀντέπραξεν ἐς τὸ βούλευμα· ἐκείνου δὲ ἀπελθόντος, τότε ἤδη κατελθεῖν

4) Τιμόλαον] Hunc Philopoemenis hospitem et a Lacedaemoniis ad ista dona Philopoemeni offerenda subornatum fuisse, Plutarch. refert in vita Philop. ſ. 15.

5) Λακεδαιμονίων δὲ etc.] Haec paullo aliter enarrare videtur Plutarch. Philop ſ. 16.

6) Μανίου] Pro vulgato Μανιλίου hoc nomen restitui ex Codice Moſc., Plutarch. Philop. ſ. 17. et Livio L. XXXVI. ab init. et C. 16. ſq., nec non L. XXXVII. C. 46., in quo legitur M. Acilius Glabrio.

7) Ἀριϛαίνου] Plutarch. Philop. ſ. 17. Ἀριϛαινέτου exhibet; ſed Polyb. Excerpt. cum Pauſania facit.

8) Μανίου] Ex Codice Moſc. pro vulgato Μανιλίου.

ἐλθεῖν τοὺς φυγάδας ἐφίησιν ἐς Σπάρτην. Ἔμελλε δ' ἄρα ὑπεροψίας δίκη περιήξειν καὶ Φιλοποίμενα. ὡς γὰρ δὴ τῶν Ἀχαιῶν ὄγδοον ἀπεδείχθη τότε ἡγεμὼν, ἀνδρὶ οὐ τῶν ἀδόξων ὠνείδισεν ἁλῶναι ζῶντα ὑπὸ τῶν πολεμίων αὐτόν· καὶ (ἦν γὰρ τηνικαῦτα ἐς Μεσσηνίους Ἀχαιοῖς ἔγκλημα) Λυκόρταν σὺν τῇ στρατιᾷ ὁ Φιλοποίμην ἀποστέλλει δῃώσοντα τῶν Μεσσηνίων τὴν χώραν. αὐτὸς δὲ τρίτῃ μάλιστα ὕστερον ἡμέρᾳ πυρετῷ τε ἐχόμενος πολλῷ, καὶ πρόσω βεβιωκὼς ἑβδομήκοντα ἐτῶν, ὅμως ἠπείγετο μετασχεῖν Λυκόρτα τοῦ ἔργου· ἱππέας δὲ καὶ πέλτας [9]) ἦγεν ὅσον ἑξήκοντα. Λυκόρτας μὲν δὴ καὶ ὁ σὺν αὐτῷ στρατὸς ἀνέστρεφον [10]) ἤδη τηνικαῦτα ἐς τὴν οἰκίαν, οὔτε ἐργασάμενοι μέγα Μεσσηνίους οὐδὲν, οὔτε αὐτοὶ παθόντες· Φιλοποίμενα δὲ (ἐβλήθη γὰρ ἐν τῇ μάχῃ τὴν κεφαλὴν, καὶ ἀπέπεσεν ἀπὸ τοῦ ἵππου) ζῶντα ἐς Μεσσήνην ἄγουσιν αὐτόν. συνελθόντων δὲ αὐτίκα ἐς ἐκκλησίαν, διάφοροι παρὰ πολὺ, καὶ οὐ πάντων κατὰ ταυτὰ ἐγίνοντο αἱ γνῶμαι. Δεινοκράτης δὲ καὶ ὅσοι τῶν Μεσσηνίων ἦσαν δυνατοὶ χρήμασι, παρεκελεύοντο ἀποκτεῖναι Φιλοποίμενα· οἱ δὲ τοῦ δήμου περιποιῆσαι τὰ μάλιστα εἶχον σπουδὴν, πλέον τι ἢ παντὸς τοῦ Ἑλληνικοῦ πατέρα ὀνομάζοντες. Δεινοκράτης δὲ καὶ ἀκόντων Μεσσηνίων ἔμελλέ τι ἄρα Φιλοποίμενα ἀναιρήσειν, ἐσπέμψας φάρμακον. Λυκόρτας δὲ μετ' οὐ πολὺ, ἀθροίσας ἔκ τε Ἀρκαδίας καὶ παρὰ Ἀχαιῶν δύναμιν, ἐστράτευσεν ἐπὶ Μεσσή-

9) πέλτας] *Sylb.* pro πελταστὰς dictum esse censet, sicuti ἡ ἵππος pro οἱ ἱππεῖς. Sed πέλτας mendosum et scribendum esse πελταστὰς nullus dubito.

10) ἀνέστρεφον] Cod. Mosq. ἀνέστρεφεν.

Μεσσήνην. καὶ ὁ δῆμος αὐτίκα ὁ τῶν Μεσσηνίων προσεχώρησε τοῖς Ἀρκάσι· καὶ Φιλοποίμενι αἰτίαν θανάτου παρασχόντες, ἁλόντες, πλὴν Δεινοκράτους, ὑπέσχον τιμωρίαν οἱ ἄλλοι· Δεινοκράτης δὲ ἀφίησιν αὐτοχειρίᾳ τὴν ψυχήν· κατάγουσι δὲ καὶ ἐς Μεγάλην πόλιν τοῦ Φιλοποίμενος τὰ ὀστᾶ οἱ Ἀρκάδες.

## CAPUT LII.

De fortium virorum Graeciae proventu in Philopoemene exſtincto — viri fortes Graeciae breviter recenſentur — verſus Philopoemenis ſigno inſcripti memorantur.

Καὶ ἤδη τὸ μετὰ τοῦτο ἐς ἀνδρῶν ἀγαθῶν φορὰν
ἔληξεν ἡ Ἑλλάς. Μιλτιάδης μὲν γὰρ ὁ Κίμωνος τούς 2
τε ἐς Μαραθῶνα ἀποβάντας τῶν βαρβάρων κρατήσας
μάχῃ, καὶ τὸν πρὸς τὸν Μῆδον ἐπισχὼν στόλον[1]), ἐγένετο εὐεργέτης πρῶτος κοινῇ τῆς Ἑλλάδος· Φιλοποίμην δὲ ὁ Κραύγιδος ἔσχατος. οἱ δὲ πρότερον Μιλτιάδου λαμπρὰ ἔργα ἀποδειξάμενοι, Κόδρος τε ὁ Μελάνθου, καὶ ὁ Σπαρτιάτης Πολύδωρος, καὶ Ἀριστομένης ὁ Μεσσήνιος, καὶ εἰ δή τις ἄλλος, πατρίδας ἕκαστοι τὰς αὐτῶν, καὶ οὐκ ἀθρόον φανοῦνται τὴν Ἑλλάδα ὠφελήσαντες. Μιλτιάδου δὲ ὕστερον Λεωνίδας ὁ Ἀναξανδρίδου καὶ Θεμιστοκλῆς ὁ Νεοκλέους ἀπώσαντο ἐκ τῆς Ἑλλάδος Ξέρξην, ὁ μὲν ταῖς ναυμαχίαις ἀμφοτέραις, Λεωνίδας δὲ ἀγῶνι τῷ ἐν Θερμοπύλαις. Ἀριστεί-

1) τὸν πρὸς τὸν Μῆδον ἐπισχὼν στόλον] *qui claſſem contra Perſarum regem intendit*, h. e. *direxit, duxit. Kuhn.* tamen mavult τὸν πρὸς τῶν Μήδων ἐπισχὼν στόλον, *qui claſſem a Perſarum rege immiſſam repreſſit.*

Ἀριστείδην δὲ τὸν Λυσιμάχου καὶ Παυσανίαν τὸν Κλεομβρότου Πλαταιάσιν ἡγησάμενον [2]), τὸν μὲν τὰ ὕστερον ἀφεῖλεν ἀδικήματα εὐεργέτην μὴ ὀνομασθῆναι τῆς Ἑλλάδος· Ἀριστείδην δὲ, ὅτι ἔταξε φόρους τοῖς τὰς νήσους ἔχουσιν Ἕλλησι· πρὸ Ἀριστείδου δὲ ἦν ἅπαν τὸ Ἑλληνικὸν ἀτελὲς φόρων. Ξάνθιππος δὲ ὁ Ἀρίφρονος καὶ Κίμων, ὁ μὲν ὁμοῦ Λεωτυχίδῃ τῷ βασιλεύοντι ἐν Σπάρτῃ τὸ Μήδων ναυτικὸν ἔφθειρεν ἐν Μυκάλῃ· Κίμωνι δὲ πολλὰ καὶ ἄξια ζήλου κατειργασμένα ἐστὶν ὑπὲρ τῶν Ἑλλήνων. τοὺς δὲ ἐπὶ τοῦ Πελοποννησιακοῦ πρὸς Ἀθηναίους πολέμου, καὶ μάλιστα αὐτῶν τοὺς εὐδοκιμήσαντας, φαίη τις ἂν αὐτόχειρας, καὶ ὅτι ἐγγύτατα ποντιστὰς [3]) εἶναι σφᾶς τῆς Ἑλλάδος. κεκακωμένον δὲ ἤδη τὸ Ἑλληνικὸν Κόνων ὁ Τιμοθέου καὶ Ἐπαμινώνδας ἀνεκτήσατο ὁ Πολύμνιδος· ὁ μὲν ἐκ τῶν νήσων καὶ ὅσα ἐγγυτάτω θαλάσσης, Ἐπαμινώνδας δὲ ἐκ τῶν πόλεων τῶν ἀπὸ θαλάσσης ἄνω Λακεδαιμονίων τὰς φρουρὰς καὶ ἁρμοστὰς [4]) ἐκβαλόντες καὶ δεκαρχίας καταπαύσαντες. Ἐπαμινώνδας δὲ καὶ πόλεσιν οὐκ ἀφανέσι Μεσσήνῃ

2) ἡγησάμενον] Male vulgatum fuit ἡγησαμένου. Ad Παυσανίαν enim haec vox pertinet. Quare ex Codice Mosc. restitui ἡγησάμενον. Mox pro ἀφεῖλεν ἀδικήματα Cod. Mosc. dat ἀφεῖλε τὰ ἀδικήματα.

3) καὶ ὅτι ἐγγύτατα ποντιστὰς etc.] *et quam simillime eos dicere possis, qui Graeciam quasi demerserunt.* Insolentia tamen vocis ποντιστὴς motus *Sylb.* forte scribendum esse putat: καὶ οἱονεὶ καταποντιστὰς etc.

4) ἄνω Λακεδαιμονίων τὰς φρουρὰς καὶ ἁρμοστὰς] Ex Codice Mosc. inserui Λακεδαιμονίων, quod etiam *Amas.* habet. Ἁρμοσταὶ *illi* appellabantur *magistratus, qui a Spartanis in provincias et urbes suae ditionis mittebantur ad res ordinandas et componendas*; de quibus vide Wesseling. ad Diodor. Sicul. L. XIII. s. 66.

Μεσσήνῃ καὶ Μεγάλῃ πόλει τῇ Ἀρκάδων λογιμωτέραν τὴν Ἑλλάδα ἐποίησεν. εἶναι δὲ ἁπάντων Ἑλλήνων καὶ Λεωσθένην τίθεμαι [5]) καὶ Ἄρατον εὐεργέτας· ὁ μέν γε τὸ Ἑλλήνων μισθοφορικὸν, καὶ ἐν Πέρσαις περὶ πέντε που μυριάδας ἐπὶ θάλασσαν καταβάντας, ναυσὶν ἐς τὴν Ἑλλάδα ἀνέσωσε καὶ ἄκοντος Ἀλεξάνδρου [6])· τὰ δὲ ἐς Ἄρατον, ἐδήλωσε δή μοι τοῦ λόγου τὰ ἐς Σικυωνίους [7]). Τὸ δὲ ἐπίγραμμά ἐςιν ἐπὶ τῷ 3
Φιλοποίμενι τὸ ἐν Τεγέᾳ·

Τοῦδ' ἀρετὰ καὶ δόξα καθ' Ἑλλάδα, πολλὰ μὲν ἀλκαῖς,
Πολλὰ δὲ καὶ βουλαῖς ἔργα πονησαμένου,
Ἀρκάδος αἰχμητᾶ Φιλοποίμενος· ᾧ μέγα κῦδος
Ἕσπετ' ἐνὶ πτολέμῳ δούρατος ἁγεμόνι.
Μανύει δὲ τρόπαια τετυγμένα δισσὰ τυράννων
Σπάρτας· αὐξομέναν δ' ἄρατο δουλοσύναν.
Ὧν ἕνεκεν Τεγέα μεγαλόφρονα Κραύγιδος υἱὸν
Στᾶσεν ἀμωμήτου κράντορ' ἐλευθερίας.

τοῦτο μὲν δὴ ἐνταῦθά ἐςιν ἐπίγραμμα.

5) τίθεμαι] *duco, existimo.* Sic ex Sylburgii recta conjectura rescribere non haesitavi pro vulgata mendosa τιθέναι.

6) ὁ μέν γε — Ἀλεξάνδρου] De hoc vide supra L. I. C. 25. §. 4.

7) ἐδήλωσε — Σικυωνίους] Vide L. II. C. 8.

## CAPUT LIII.

Cur Tegeatae Apollini Agyieo ſigna dedicaverint, enarratur — de Cydone, Gortyne et Catreo Tegeatarum et Cretenſium diverſa narratio — de Rhadamantho — quatuor ſignis Apollinis Agyiei et aliis templis ac ſignis Tegeae — cultu Jovis Clarii — reliquis Tegeae memorandis.

Τῷ δὲ Ἀπόλλωνι οἱ Τεγεάται τῷ Ἀγυιεῖ τὰ ἀγάλματα ἐπ' αἰτίᾳ φασὶν ἱδρύσασθαι τοιᾷδε. Ἀπόλλωνα καὶ Ἄρτεμιν ἐπὶ πᾶσαν λέγουσι χώραν τιμωρεῖσθαι τότε ἀνθρώπων, ὅσοι Λητοῦς, ἡνίκα εἶχεν ἐν τῇ γαστρὶ, πλανωμένης καὶ ἀφικομένης ἐς τὴν γῆν ἐκείνην, οὐδένα ἐποιήσαντο αὐτῆς λόγον. ὡς δὲ ἄρα καὶ εἰς τὴν Τεγεατῶν ἐληλυθέναι τοὺς θεοὺς, ἐνταῦθα υἱὸν Τεγεάτου Σκέφρον προσελθόντα τῷ Ἀπόλλωνι ἐν ἀποῤῥήτῳ διαλέγεσθαι πρὸς αὐτὸν Λειμῶνα [1]). ἦν δὲ ὁ Λειμὼν οὗτος Τεγεάτου τῶν παίδων· ὑπονοήσας δὲ ἔγκλημα ἔχειν ἐς ἑαυτὸν τὰ ὑπὸ Σκέφρου λεγόμενα, ἀποκτείνυσιν ἐπιδραμὼν τὸν ἀδελφόν. καὶ Λειμῶνα μὲν τοξευθέντα ὑπὸ Ἀρτέμιδος περιῆλθεν αὐτίκα ἡ δίκη τοῦ φόνου· Τεγεάτης δὲ καὶ Μαιρὰ τὸ μὲν παραυτίκα Ἀπόλλωνι καὶ Ἀρτέμιδι θύουσιν· ὕστερον δὲ ἐπιλαβούσης ἀκαρπίας ἰσχυρᾶς, ἦλθε μάντευμα ἐκ Δελφῶν, Σκέφρον θρηνεῖν. καὶ ἄλλα τε ἐν τοῦ Ἀγυιέως

1) διαλέγεσθαι πρὸς αὐτὸν Λειμῶνα] *cum Apolline collocutum eſſe contra ipſum (fratrem) Limonem.* Sic iſta interpunxi, et πρὸς αὐτὸν ex Codice Moſc. emendavi pro vulgatis: διαλέγεσθαι. πρὸς δὲ τὸν Λειμῶνα, ἦν etc., quae ſic diſtincta interpretibus non temere negotium faceſſiverunt.

Ἀγυιέως τῇ ἑορτῇ δρῶσιν ἐς τιμὴν τοῦ Σκέφρου,
καὶ ἡ τῆς Ἀρτεμιδος ἱέρεια διώκει τινὰ, ἅτε αὐτὴ
τὸν Λειμῶνα ἡ Ἄρτεμις. Λέγουσι δὲ καὶ ὡς Τε- 2
γεάτου τῶν παίδων ἔδει τὸν τόπον μετοικῆσαι
σφᾶς ἑκουσίως[2]) ἐς Κρήτην, Κύδωνα, καὶ Ἀρχίδιον[3]),
καὶ Γόρτυνα· καὶ ἀπὸ τούτων φασὶν ὀνομασθῆναι
τὰς πόλεις Κυδωνίαν, καὶ Γόρτυνά τε, καὶ Κατρέα.
Κρῆτες δὲ οὐχ ὁμολογοῦντες τῷ Τεγεατῶν λόγῳ,
Κύδωνα μὲν Ἀκακαλλίδος[4]) θυγατρὸς Μίνω καὶ
Ἑρμοῦ, Κατρεα δέ φασιν εἶναι Μίνω, τὸν δὲ
Γορτυνα Ῥαδαμάνθυος. Ἐς δὲ αὐτὸν Ῥαδάμαν-
θυν Ὁμήρου μέν[5]) ἐστιν ἐν Πρωτέως πρὸς Μενέλαον
λόγοις, ὡς ἐς τὸ πεδίον ἥξοι Μενέλαος τὸ Ἠλύ-
σιον, πρότερον δὲ ἔτι Ῥαδάμανθυν ἐνταῦθα οἰκεῖν.
Κιναιθὼν δὲ ἐν τοῖς ἔπεσιν ἐποίησεν, ὡς Ῥαδά-
μανθυς μὲν Ἡφαίστου, Ἥφαιστος δὲ εἴη Τάλω[6]),
Τάλων δὲ εἶναι Κρητὸς παῖδα. οἱ μὲν δὴ Ἑλλή-
νων λόγοι διάφοροι τὰ πλέονα, καὶ οὐχ ἥκιστα



2) ὡς Τεγ. τῶν παίδων ἔδει τὸν τόπον μετοικῆσαι σφᾶς ἑκουσίως etc.] In his verbis vel corrupti vel mutili aliquid inesse, jam *Kuhn.* vidit, et emendavit τῶν τόπων μετ. Sed nec sic loci difficultas sublata est. Nam ἔδει et ἑκουσίως sibi repugnant, et verba τῶν παίδων et σφᾶς constructionis nexu carent. Equidem, si quid sentio, verba ἔδει τὸν τόπον corrupta et ista ita restituenda esse censeo: Λέγουσι δὲ καὶ, ὅσοι Τεγεάτου τῶν παίδων ἘΛΕΙ'ΚΟΝΤΟ, μετοικῆσαι σφᾶς etc.

3) Ἀρχίδιον] Cod. Mosc. Ἀρχύδιον. Sed nomen Κατρέα excidisse vel pro Ἀρχίδιον reponendum esse videtur.

4) Ἀκακαλλίδος] Apollodor. L. III C. 1. §. 2. in fine Ἀκάλλην exhibet, ubi vide Heyne V. C. p. 535. 536.

5) Ὁμήρου μέν etc.] Vide Odyss. δ. v. 581. 582.

6) Τάλω] De hoc et pluribus Talis vide Heyne V. C. ad Apollodor. p. 220. 221.

3 ἐπὶ τοῖς γένεσίν εἰσι. Τεγεάταις δὲ τοῦ Ἀγυιέως
τὰ ἀγάλματα τέσσαρά εἰσιν ἀριθμὸν, ὑπὸ Φυ-
λῆς ἑκάστης ἱδρυμένα· ὀνόματα δὲ αἱ Φυλαὶ παρ-
έχονται, Κλαρεῶτις, Ἱπποθοΐτις [7]), Ἀπολλωνεά-
τις, Ἀθανεάτις· καλοῦνται δὲ ἀπὸ τοῦ κλήρου,
ὃν τοῖς παισὶν Ἀρκὰς ἐποίησεν ὑπὲρ τῆς χώρας,
καὶ ἀπὸ Ἱππόθου τοῦ Κερκύωνος. ἔστι δὲ καὶ Δή-
μητρος ἐν Τεγέᾳ καὶ Κόρης ναὸς, ἃς ἐπονομάζουσι
Καρποφόρους· πλησίον δὲ Ἀφροδίτης καλουμένης
Παφίας· ἱδρύσατο αὐτὴν Λαοδίκη, γεγονυῖα μὲν,
ὡς καὶ πρότερον ἐδήλωσα [8]), ἀπὸ Ἀγαπήνορος,
ὃς ἐς Τροίην ἡγήσατο Ἀρκάσιν, οἰκοῦσα δ' ἐν Πάφῳ.
τούτου δέ ἐστιν οὐ πόῤῥω Διονύσου τε ἱερὰ δύο καὶ
Κόρης βωμὸς, καὶ Ἀπόλλωνος ναὸς, καὶ ἄγαλμα
ἐπίχρυσον· Χειρίσοφος ἐποίησε, Κρὴς μὲν γένος,
ἡλικίαν δὲ αὐτοῦ καὶ τὸν διδάξαντα οὐκ ἴσμεν.
ἡ δὲ δίαιτα ἡ ἐν Κνώσσῳ Δαιδάλῳ παρὰ Μίνω συμ-
βᾶσα ἐπὶ μακρότερον, δόξαν τοῖς Κρησὶ καὶ ἐπὶ
ξοάνων ποιήσει παρεσκεύασε. παρὰ δὲ τῷ Ἀπόλ-
λωνι ὁ Χειρίσοφος ἕστηκε λίθου πεποιημένος. καλοῦσι
δὲ οἱ Τεγεάται καὶ Ἑστίαν Ἀρκάδων κοινήν· ἐνταῦθά
ἐστιν ἄγαλμα Ἡρακλέους· πεποίηται δέ οἱ ἐπὶ τοῦ
μηροῦ τραῦμα ἀπὸ τῆς μάχης, ἣν πρῶτος [9]) Ἱππο-
4 κόωντος τοῖς παισὶν ἐμαχέσατο. Τὸ δὲ χωρίον τὸ
ὑψηλὸν, ἐφ' οὗ καὶ οἱ βωμοὶ Τεγεάταις εἰσὶν οἱ πολ-
λοὶ, καλεῖται μὲν Διὸς Κλαρίου· δῆλα δὲ, ὡς
ἐγένετο ἡ ἐπίκλησις τῷ θεῷ τοῦ κλήρου τῶν παίδων
εἵνεκα τῶν Ἀρκάδος. ἄγουσι δὲ ἑορτὴν αὐτόθι
Τεγεά-

7) Ἱπποθοΐτις] Cod. Mosc.
ω
Ἱπποθοΐτις.

8) ὡς — ἐδήλωσα] Vide supra C. 5.

9) ἣν πρῶτος] *Sylb.* mavult ἣν πρῶτον vel πρώτην.

Τεγεάται κατὰ ἔτος· καί σφισιν ἐπιςρατεῦσαι Λακεδαιμονίους τότε ὑπὸ τὸν καιρὸν τῆς ἑορτῆς λέγουσι, καὶ (νίφειν [10]) γὰρ τὸν θεὸν) τοὺς μὲν ῥιγοῦν, καὶ ὄντας ἐν τοῖς ὅπλοις κάμνειν· αὐτοὶ δὲ ἐκείνων κρύφα πῦρ καῦσαι, καὶ ὡς οὐκ ἠνωχλοῦντο ὑπὸ τοῦ κρυμοῦ, τὰ ὅπλα ἐνδύντας [11]) ἐξελθεῖν τε ἐπὶ τοὺς Λακεδαιμονίους, καὶ σχεῖν ἐν τῷ ἔργῳ πλέον φασίν. Ἐθεασάμην δὲ καὶ ἄλλα ἐν Τεγέᾳ τοσάδε· Ἀλεοῦ οἰκίαν καὶ Ἐχέμου μνῆμα, καὶ ἐπειργασμένην ἐς ςήλην τὴν Ἐχέμου [12]) τὴν πρὸς τὸν Ὕλλον μάχην. ἐκ Τεγέας δὲ ἰόντι ἐς τὴν Λακωνικὴν, ἔςι μὲν βωμὸς, ἐν ἀριςερᾷ τῆς ὁδοῦ, Πανὸς, ἔςι δὲ καὶ Λυκαίου Διός· λείπεται δὲ καὶ θεμέλια ἱερῶν. οὗτοι μὲν δή εἰσιν οἱ βωμοὶ ςαδίοις δύο ἀπωτέρω τοῦ τείχους· προελθόντι δὲ ἀπ' αὐτῶν μάλιςά που ςαδίους ἑπτὰ, ἱερὸν Ἀρτέμιδος ἐπίκλησιν Λιμνάτιδος, καὶ ἄγαλμά ἐςιν ἐβένου ξύλου· τρόπος δὲ τῆς ἐργασίας ὁ Αἰγιναῖος καλούμενος ὑπὸ Ἑλλήνων. τούτων ὅσον δέκα ἀπωτέρω ςαδίοις Ἀρτέμιδος Κνατεάτιδος, ἔςιν Ἀλεοῦ τὰ ἐρείπια [13]).

10) νίφειν] Cod. Moſc. νείφειν, quae forma etiam obvia eſt.

11) τὰ ὅπλα ἐνδύντας] Pro vulgata ἐνδοῦντας, quae a ſenſu abhorrebat, vel invitis Codicibus cum *Sylburgio* ἐνδύντας reſcribere non dubitavi. Nominativus ἐνδυντες, quem Cod. Moſc exhibet, non minus locum habere poſſit propter αὐτοὶ, quod antecedit.

12) τὴν Ἐχ.] Cod. Moſc. vitioſe dat τὸ Ἐχ. Forte praeſtet legere τοῦ Ἐχ.

13) Ἀρτέμιδος Κνατεάτ., ἔςιν Ἀλεοῦ τὰ ἐρείπια] In his mutili aliquid ineſſe, in dubium vocari nequit. *Amaſ.*, qui interpretatur *et Alei ruinae*, legiſſe videtur ἔςι καὶ Ἀλεοῦ. Sic ex iis, quae praecedunt, huc revocandum eſſe ἱεροῦ, facile patet. Forte tamen Ἀλείου, Alei heroi, ſcribere praeſtet. At cum ſtatim Cap. ſequ. plura de Alpheo flumine memorentur, emendationem *Sylburgii* magis probandam duco ſcribentis: ἔςιν ἐπ' Ἀλφειοῦ τὰ ἐρείπια.

## CAPUT LIV.

De Alpheo flumine Lacedaemoniorum et Tegeatarum fines conſtituente — Alphei ſingulari curſu — Oreſtis ſepulcro et fluvio Garate — memorandis in via, quae a Tegea Argos ducit, templo Bacchi Myſtae — monte Parthenio.

Λακεδαιμονίοις δὲ καὶ Τεγεάταις ὅροι τῆς γῆς ὁ ποταμός ἐστιν ὁ Ἀλφειός· τούτου τὸ ὕδωρ ἄρχεται μὲν ἐν Φυλάκῃ, κάτεισι δὲ οὐ πόῤῥω τῆς γῆς καὶ ἄλλο ὕδωρ ἐς αὐτὸν ἀπὸ πηγῶν μεγέθει μὲν οὐ μεγάλων, πλεόνων δὲ ἀριθμόν· καὶ διὰ τοῦτο τῷ χωρίῳ Σύμβολα
2 γέγονεν ὄνομα. Φαίνεται δὲ ὁ Ἀλφειὸς παρὰ τοὺς ἄλλους ποταμοὺς φύσιν τινὰ ἰδίαν παρεχόμενος τοιάνδε· ἀφανίζεσθαί τε γὰρ κατὰ γῆς ἐθέλει πολλάκις, καὶ αὖθις ἀναφαίνεσθαι. προελθὼν μέν γε ἐκ Φυλάκης καὶ τῶν καλουμένων Συμβόλων, ἐς τὸ πεδίον κατέδυ τὸ Τεγεατικόν· ἀνατείλας δὲ ἐν Ἀσέᾳ [1]), καὶ τὸ ῥεῦμα ἀναμίξας τῷ Εὐρώτᾳ, τὸ δεύτερον ἔτι κάτεισιν ἐς τὴν γῆν· ἀνασχὼν δὲ, ἔνθα Πηγὰς ὀνομάζουσιν οἱ Ἀρκάδες, καὶ παρὰ γῆν τε τὴν Πισαίαν καὶ παρὰ Ὀλυμπίαν ἐξελθὼν, ἐκδίδωσιν ὑπὲρ Κυλλήνης ἐπινείου τοῦ Ἠλείων ἐς τὴν θάλασσαν. ἔμελλε δὲ ἄρα μηδὲ Ἀδρίας ἐπισχήσειν αὐτὸν τοῦ πρόσω· διανηξάμενος δὲ [2]) καὶ τοῦτο πέλαγος μέγα οὕτω καὶ βίαιον, ἐν Ὀρτυγίᾳ τῇ πρὸ Συρακουσῶν ἐπιδείκνυσιν Ἀλφειός τε ὢν καὶ πρὸς Ἀρέθουσαν τὸ ὕδωρ ἀνακοινούμενος.

1) Ἀσέᾳ] Sic pro vulgata Ἀσαίᾳ ſcripſi ex ipſo Pauſania C. 54. hujus Libri, Strabone et Stephano Conf. not. ad C. 3. hujus Libri.

2) διανηξάμενος δὲ etc.] De hoc conf. ſupra L. V. C. 7.

νούμενος. Ἡ δ' εὐθεῖα ἐπὶ Θυρέαν τε καὶ κώμας 3
τὰς ἐν τῇ Θυρεάτιδι ἐκ Τεγέας παρείχετο ἐς συγγραφὴν Ὀρέστου τοῦ Ἀγαμέμνονος μνῆμα· καὶ ὑφελέσθαι Σπαρτιάτην [3]) τὰ ὀστᾶ αὐτόθεν οἱ Τεγεάται λέγουσι· καθ' ἡμᾶς δὲ οὐκέτι πυλῶν ἐντὸς ἐγίνετο ὁ τάφος. ῥεῖ δὲ καὶ Γαράτης [4]) ποταμὸς κατὰ τὴν ὁδόν. διαβάντι δὲ τὸν Γαράτην, καὶ προελθόντι σταδίους δέκα, Πανός ἐστιν ἱερὸν, καὶ πρὸς αὐτῷ δρῦς ἱερὰ καὶ αὕτη τοῦ Πανός. Ἡ δὲ ἐς Ἄργος ἐκ Τεγέας ὀχήματι 4
ἐπιτηδειοτάτη καὶ τὰ μάλιστά ἐστι λεωφόρος. ἔστι δὲ ἐπὶ τῆς ὁδοῦ, πρῶτα μὲν ναὸς καὶ ἄγαλμα Ἀσκληπιοῦ· μετὰ δὲ ἐκτραπεῖσιν ἐς ἀριστερὰν ὅσον στάδιον, Ἀπόλλωνος ἐπίκλησιν Πυθίου καταλελυμένον ἐστὶν ἱερὸν, καὶ ἐρείπια ἐς ἅπαν. κατὰ δὲ τὴν εὐθεῖαν αἵ τε δρῦς εἰσι πολλαὶ, καὶ Δήμητρος ἐν τῷ ἄλσει τῶν δρυῶν ναὸς ἐκ Κορυθέουσι [5]) καλουμένης· πλησίον δὲ ἄλλο ἐστὶν ἱερὸν Διονύσου Μύστου. Τὸ ἀπὸ τούτου δὲ 5
ἄρχεται τὸ ὄρος τὸ Παρθένιον· ἐν δὲ αὐτῷ τέμενος δείκνυται Τηλέφου· καὶ ἐνταῦθα παῖδα ἐκκείμενόν φασιν αὐτὸν ὑπὸ ἐλάφου τραφῆναι. ἀπωτέρω δὲ ὀλίγον Πανός ἐστιν ἱερόν· ἔνθα Φιλιππίδῃ [6]) φανῆναι τὸν Πᾶνα καὶ εἰπεῖν τὰ πρὸς αὐτὸν, Ἀθηναῖοί τε καὶ κατὰ ταὐτὰ Τεγεάται λέγουσι. παρέχεται δὲ τὸ Παρθένιον καὶ ἐς λύρας ποίησιν χελώνας ἐπιτηδειοτάτας, ἃς οἱ περὶ τὸ ὄρος ἄνθρωποι καὶ αὐτοὶ λαμβάνειν δεδοί-

3) καὶ ὑφελέσθαι Σπαρτιάτην etc.] De hoc vide ſupra L. III C 3.

4) Γαράτης] *Sylb.* mavult Γαρεάτης a Gareate vico C. 45 init., ſicuti Βρενθεάτης a Brenthe C. 28. in fine, et Γαθεάτης a Gatheis C. 34. in fine.

5) ἐκ Κορυθέουσι] Legendum eſſe ἐν Κορυθεῦσι ex C 45. init., recte monet *Sylburg*.

6) ἔνθα Φιλιππίδῃ etc.] De hoc vide ſupra L. I. C. 28 § 4. et ibi not. Tangit illud quoque Clemens Alex. Admonit. p. 28.

δεδοίκασιν ἀεὶ, καὶ ξένους οὐ περιορῶσιν αἱροῦντας· ἱερὰς γὰρ σφᾶς εἶναι τοῦ Πανὸς ἥγηνται. ὑπερβάλλοντι δὲ τὴν κορυφὴν τοῦ ὄρους, ἔστιν ἐν τοῖς ἤδη γεωργουμένοις Τεγεατῶν ὅροι καὶ Ἀργείων, καθ' ἃ καὶ ἐν τῇ κατὰ Ὑσιὰς [7]) ἐν Ἀργολίδι. αἵδε μὲν Πελοποννήσου μοῖραι καὶ πόλεις τε ἐν ταῖς μοίραις, καὶ ἐν ἑκάστῃ πόλει τὰ ἀξιολογώτατά ἐστιν ἐς μνήμην.

7) ἔστιν — ὅροι —, καθ' ἃ καὶ ἐν τῇ κατὰ Ὑσιὰς etc.] Pro ἔστιν rectius esset εἰσίν. Sed similiter ὅροι — ἐστὶν legitur ab initio hujus Capitis. καὶ rescribere non dubitavi cum Sylburgio pro vulgato αἱ, quod nihili erat. Firmatur haec necessaria emendatio C. 6. huj. Libri: εἰσὶν οὖν ἐς Ἀρκαδίαν ἐσβολαὶ κατὰ τὴν Ἀργείαν πρὸς μὲν Ὑσιῶν, καὶ κατὰ τὸ ὄρος τὸ Παρθένιον ἐς τὴν Τεγεατικήν. Ceterum ad ἐν τῇ supple χώρᾳ.

Finis Tomi II.